andrino charactere minore exaratae leguntur sub Origenis signis diacriticis ·⁜· aut × aut ÷ a glossis maiore ex parte supponuntur, velut 4^{4}. 10^{34}. 14^{17}. 15^{5}. 16^{8}. 22^{3}. $23^{12 sq.}$. 24^{21}. 29^{9}. 30^{19}. 31^{3}. 32^{11}. 37^{24}. 47^{12}. 48^{1}. 53^{10}. 54^{17}. $57^{5.18.20}$. $60^{3.13}$. $63^{3.6.11}$. 64^{5}; ex parte quidem non minus certe secluduntur, velut 16^{10}. 21^{12}. 38^{14-16}. 40^{10}. 66^{3}. eiusmodi additamenta codicis Alexandrini singulis locis siglo A^{3} comprehensa notavi. quae in A „inter uncos" leguntur, nonnunquam etiam quae obelo ÷ indicantur, Tischendorf manui primae addixit alia additamenta prorsus omittens.

15. Sic igitur *apparatum criticum* textus biblici huius editionis instituendum existimavi: textus Vaticani graeci 347 nullam fere rationem habui. *pro fundamento* posui *textum codicis Alexandrini*, quia eius lectiones saepius quam Vaticani cum glossis concordant. lectiones A^3 in calce paginarum adnotavi; ubicumque vero Hesychium idem quod A^3 legisse constat, lectionem textui biblico inserui nota in calce addita. discrepantiae inter codicem Vaticanum et Sinaiticum et inter Alexandrinum illis dumtaxat locis aut supra insertae aut infra appositae sunt, ubi ad intellegendas glossas necessariae vel saltem congruae videbantur; alias plane omisi, quia apud Tischendorf a quovis inspici possunt. ne quis ergo textum codicis Vaticani neve editionum quae circumferuntur in hoc volumine inquirat. ubi Hesychium peculiarem lectionem quae nunc in ABSA^3 deest in manibus habuisse e glossis cognovero, singulis locis in margine inferiore adnotabo, velut 5^{14}. 27^4. $33^{3\,sq.}$. 37^{13}. 40^{22}. 44^{15}. 45^7. 47^6.

16. Ex iis quae dixi satis apparet, quantum utilitatis ad *textum Isaiae critice emendandum* e glossis Hesychii redundet. eo ipso quod verbis Scripturae meram paraphrasim adnectit (cf. supra num. 11), multis locis quisnam textus fuerit qui ecclesiae graecae illius temporis inserviebat memoriae prodit. novus ergo textuum Isaiae nascitur testis, eo pluris aestimandus quo magis aetatem qua antiquissimi et optimi codices ABS exarati sunt attingit, quo certius ad illa saecula pertinet quibus versio Alexandrina tamquam authentica in universali usu ecclesiae graecae erat.

Nec minus *in textu Isaiae interpungendo* glossae Hesychii interpretes criticos iuvabunt. cum enim in antiquissimis codicibus nulla fere distinctionis signa inveniantur, editores in textu Scripturae interpungendo haud raro dissentiunt. nunc hic illic e glossis colligere possumus, quomodo Hesychius interpunxerit, ex. gr. 27^5: βοήσονται οἱ ἐνοικοῦντες ἐν αὐτῇ Ποιήσωμεν (Tischendorf: βοήσονται οἱ ἐνοικοῦντες ἐν αὐτῇ, ποιήσωμεν); 28^4: ὡς πρόδρομος σύκου· ὁ ἰδὼν αὐτό (Tischendorf: . . . σύκου, ὁ ἰδὼν αὐτό); $32^{13\,sq.}$ et alias.

17. Hesychium in exponendis prophetis versionem Septuaginta iuxta Origenis recognitionem secutum esse iam supra (num. 11) commemoravi. Hebraeum nonnisi raro velut 14^{9}. 19^{20} consuluisse videtur. alias quoque Hexaplorum columnas se inspexisse bis expresse profitetur: 10^{32} (οὕτω γὰρ οἱ ἄλλοι τῶν ἑρμηνευτῶν ἐξέθεντο) et 42^{1}. saepius autem tacito nomine lectiones Hexaplorum cum tertiae et sextae tum quartae columnae allegat: illae enim brevissimae glossae uno vel duobus vocabulis constantes non sunt expositiones, sed *lectiones Hexaplorum, cum Akylae et Theodotionis tum Symmachi.* haec igitur in Isaiam interpretatio ad Hexaplorum fragmenta et vetera comprobanda et nova restituenda magnum affert adiumentum. apud Fridericum Field (Origenis Hexaplorum quae supersunt . . . fragmenta tom. II. Oxonii 1875) partim in luce prostant, partim desiderantur.

Aliorum interpretum veterum — Akylae (Ἀ.), Symmachi (Σ.), Theodotionis (Θ.) — lectiones e columnis Hexaplorum ad haec vocabula textui Septuaginta (Ο΄.) apponuntur:

2^{6} ἀνῆκε Ο΄. ἀπέρριψε Σ.[1]
5^{2} Σωρήκ Ο΄. ἐκλεκτήν Σ.[2]
6^{13} ὡς τερέβινθος Ο΄. ὡς δρῦς Σ.[3]
7^{1} βασιλεὺς Ἀράμ Ο΄. βασιλεὺς Συρίας Ἀ. Σ.
7^{8} Ἀράμ Ο΄. Συρίας Ἀ. Σ.
7^{11} εἰς ὕψος Ο΄. εἰς ᾅδην Ἀ. Σ. Θ.
10^{10} τὰς χώρας Ο΄. τὰς βασιλείας Θ.
10^{32} οἱ βουνοὶ οἱ ἐν Ἱερουσαλήμ Ο΄. τοὺς βουνοὺς Ἱερουσαλήμ «Οἱ λοιποί».[4]
14^{16} ὁ παροξύνων Ο΄. ὁ ταράσσων Σ.[5]
19^{9} σχιστόν Ο΄. κτενιστόν Σ.[6]
28^{1} τῆς ὕβρεως Ο΄. τῆς ὑπερηφανίας Ἀ. Σ. Θ.
29^{10} κατανύξεως Ο΄. ἐκστάσεως.[7]

---

[1] Field II, 434 adnotat: Σ. ἀπέρριψας. [2] „Vineam Sorec quam solus Sym. ‚electam' interpretatus est" Hieron. apud Field II, 438. [3] οἱ ἄλλοι: ὡς δρῦς Procop. Field II, 441. [4] deest apud Field II, 452. [5] Field II, 456: Σ. ὁ ταράξας. [6] a Field II, 463 uncinis inclusum. [7] dubium est, utrum Σ. an Θ. Field II, 484.

30^{22} ἀποκαθημένης Ο'. ἀφέδρου Σ.[1]
31^{7} ἀπαρνήσονται aut ἀπαρνηθήσονται Ο'. ἀποβαλοῦνται Σ.[2]
34^{3} ὀσμὴ Ο'. δυσωδία Σ.
35^{4} παρακαλέσατε Ο'. κρατύνατε Σ.
36^{9} ἀποστρέψαι Ο'. ὑποστῆναι Σ.[3]
37^{24} δι' ἀγγέλων σου Ο'. διὰ τῶν δούλων σου Ἀ. Σ. Θ.
39^{7} σπάδοντας Ο'. εὐνούχους Ἀ. Σ. Θ.[4]
42^{1} προσεδέξατο Ο'. εὐδόκησε «Οἱ λοιποί».[5]
46^{1} Δαγών aut Ναβώ Ο'. Ναβών Ἀ. Θ.[6]
47^{5} κάθισον Ο'. σιώπα Σ.[7]
57^{14} σκῶλα Ο'. σκάνδαλα Ἀ.[8]
58^{4} πυγμαῖς Ο'. ἐν γρόνθῳ Ἀ.
58^{6} στραγγαλίας Ο'. δεσμοὺς Σ.
60^{18} γλύμμα Ο'. ὕμνησις Ἀ.
61^{3} καταστολήν Ο'. περιβόλαιον Σ. Θ.
63^{12} κατίσχυσεν Ο'. ἔρρηξεν.[9]

Multa etiam alia Hexaplorum fragmenta hactenus incognita allegantur, sed cuiusnam interpretis sint, ex Field demonstrare non possum[10], velut haec:

3^{8} καταλέλειπται.	13^{9} ἀνελεής.
5^{1} τῷ ἀγαπητῷ.	13^{11} διατάξομαι.
5^{15} οἱ ὑπερήφανοι.	13^{11} κακωτικά.
5^{25} οὐκ ἐπαύσατο.	14^{9} ἐστύγνασε.
7^{3} περιλειφθείς.	14^{21} ὑψωθῶσι.
7^{4} δειλιάτω.	20^{5} καύχημα.
8^{9} ὑποτάγητε.	21^{10} οἱ περιλελειμμένοι.
9^{14} πρεσβύτερον.	22^{2} θορυβούντων.
10^{7} φαντασθήσεται.	22^{4} μὴ ἐπιμείνητε.

---

[1] Field II, 488: Σ. (ὡς) ἄφεδρον. [2] recte igitur Field II, 491 adnotat Montefalconium perperam ἀποκαλοῦνται allegasse. [3] Field II, 501: ὑποστήσῃ; Procop.: ὑποστήσει. cod. 88: ὑποστη (sic). [4] Field II, 508: Ἀ. Σ. Θ. καὶ ἔσονται εὐνοῦχοι. [5] apud Field II, 515 deest. [6] Field II, 522: Ἀ. Θ. Ναβώ. Σ. Νεβούς. [7] Field II, 523: Σ. σιωπῶσα pro sequenti κατανενυγμένη. [8] Field II, 544: Ἀ. σκάνδαλον. [9] Field II, 559: Σ. ὁ ῥήξας.
[10] fortasse etiam ad aliam versionem, ad Quintam aut Sextam aut Septimam pertinent ex Octaplis aut ex Enneaplis desumpta.

22^{14} φανερά.
22^{25} μετενεχθήσεται.
23^{9} τὴν ὑπερηφανίαν.
23^{16} κατανυκτικῶς.
24^{20} παρετράπη.
26^{21} γυμνώσει.
29^{15} οἱ ἐν εἰρωνείᾳ.
29^{22} ἐξελέξατο.
33^{22} οὐ παρόψεται.
34^{1} ἐγγίσατε.
34^{5} ἐχορέσθη.
34^{10} πλεονάσει.
35^{3} παρειμέναι.
35^{4} κατάκρισιν.[1]
36^{11} Ἑβραϊστί.
36^{16} εὖ πρᾶξαι.
37^{32} προελεύσονται.
38^{1} ἠρρώστησεν.[2]
38^{1} διατύπωσαι.
38^{17} ἐξείλου.
43^{3} ἐξίλασμα.
44^{8} μὴ ἀπατᾶσθε.
45^{24} οἱ χωρίζοντες.
48^{16} ἐγγίσατε.
48^{17} ἔδειξα.
50^{10} ἐπιστηρίχθητε.
53^{5} τέθλασται.
64^{9} κατανόησον.

18. S. Scripturam inde a saeculo XIII demum in illa capitula quae hodie in omnibus editionibus inveniuntur distributam esse satis constat. nonnulli libri quidem iam antiquitus (V aut VI saeculo) in capitula quaedam distincti erant, cf. Hieron., De vir. ill. c. 55; Cursus Scripturae Sacrae, Introductio I, 38 sq. quibus locis vero ab antiquis incisiones textus factae fuerint ignoramus. ad Isaiae librum quod attinet, hac editione primum innotescit, *qua ratione in 88 capitula* divisus fuerit; quam distinctionem sermonibus et argumentis prophetae multo magis respondere quam nostram modernam neminem fugiet qui duas distinctiones inter se voluerit comparare.

19. Iam de *apparatu critico editionis capitulorum* (cf. supra num. 6) paucis mihi agendum est. haec secunda capitulorum recensio innititur codice Chisiano R. VIII. 54 (C) membranaceo saec. X fol. 85—88^{v}, codice Ottoboniano graeco 452 (O) membranaceo saec. XI fol. 62^{rv}, codice Vaticano graeco 1794 (V) membranaceo saec. XI vel XII fol. 82^{v}—168 passim.

---

[1] κρίσιν Ο'. ἐκδίκησιν Θ.

[2] ἐμαλακίσθη Ο'; conferas 38^{9}: ἐκ τῆς μαλακίας Ο'. ἀπὸ τῆς ἀρρωστίας Ἀ. Σ. Θ.

Primum quidem capitula in lucem prodierunt apud *Migne 93, 1369—1386*. editionem Mignianam ex unico et deteriore M fonte, e codice *Monacensi graeco 472* olim Augustano (M) membranaceo saec. XI fol. 82^{v}—92, fluxisse ab editore quidem tacetur, probatur vero communibus lacunis et mendis quae Antonius Seitz amicus doctissimus in usum meum contulit. sunt autem inter alia haec: in κεφ. ι' deest τῆς τοῦ βασιλέως Συρίας καὶ (Migne 1372 coll. Monac. fol. 83^{v}); in κεφ. μβ' deest in fine τοῖς ἔθνεσιν (Migne 1377 coll. Monac. fol. 87); in κεφ. νς' mendose ἐκθρένουσι pro ἐχθραίνουσι (Migne 1380 coll. Monac. fol. 88^{v}; in κεφ. οε' σαββάτων pro σάββατα (Migne 1384 coll. Monac. fol. 90^{v}). varias lectiones editionis Mignianae in calce paginarum adnotavi, lacunas in integrum restituens, menda emendans, velut in κεφ. ι'. κ'. λς'. μβ'. μγ'. νς'. ξβ'. ξη'. ξθ'. οα'. οβ'. ογ'. οε'. πα'.

CO Chisianum et Ottobonianum ex eodem archetypo originem traxisse et in libro meo cui titulus „Die Propheten-Catenen nach römischen Handschriften“ pag. 7 demonstravi et novis argumentis hic illustrare possum; in utroque enim haec menda communia leguntur: κεφ. θ' κήρυξ pro κηρῦξαι; κεφ. ις' παιδειῶν sine articulo; κεφ. ιθ' διαφθείρῃ pro διαφθερεῖ; κεφ. με' τούτῳ pro τῷ; κεφ. ξζ' πολυπαιδείας pro πολυπαιδίας; κεφ. πβ' τῇ Σιών pro τῆς Σιών.

COM Cum his duobus codex Monacensis, unde etiam editio Migniana, arctissime cohaeret; concinunt enim in his mendis et erroribus orthographicis: κεφ. γ' ἀνθ' ὧν τὰ κατὰ τῶν pro ἀνθ' ὧν τὰ τῶν; κεφ. μθ' σείονται pro σεισθήσονται; κεφ. νγ' ἐπειδὴ ἔδειξεν pro ἐπέδειξεν; κεφ. νς' σκοπεῖ pro σκώπτει; κεφ. ογ' προσμεμφθήσεται pro προσληφθήσεται; cf. etiam κεφ. κς'. μδ'. νη'. ξβ'. ξδ'. οε'. οη'. πς'. Monacensis aeque ac Chisianus in κεφ. νθ' habet οὐ καθελόντος pro οὐκ ἐθέλοντος. etiam arctiore vinculo Monacensis cum Ottoboniano coniungitur; in utroque enim: κεφ. λθ' ἀναθήσεσθαι pro ἀνασωθήσεσθαι; κεφ. οζ' ποίοις pro καὶ ποίοις; cf. κεφ. κζ'. κη'. με'. hi tres ergo ad unum exemplar redeunt.

V Aliquo modo Vaticanum 1794 aliis tribus cognatum esse ex iis quae in κεφ. ιγ'. κζ'. ος' communia habent cognoscitur, licet ex eodem fonte non manaverint. in V capitula in margine sunt apposita; desiderantur κεφ. α' et ιδ' usque ιθ'. non semel

V unicus genuinam lectionem servavit. ex eo solo ubi textus κεφ. ζ'. ιδ'. ιε'. κγ'. λθ'. οε'. πδ' initium sumat cognovi.

Praeter codices qui catenam in Isaiam concinnatam continent et praeter illos quos modo enarravi, capitula etiam in codice Vaticano graeco 1764 bombycino saec. XV fol. 30ᵛ—33 et in Vaticano graeco 1153 membranaceo saec. XII vel XIII fol. 78ᵛ—81ᵛ occurrunt. cum autem horum uterque linea recta ex ipso Chisiano derivatus sit (cf. in libro meo supra citato pag. 10—13 et pag. 17), nec Vaticani 1764 nec Vaticani 1153 varias lectiones quae adnotarentur dignas putavi; neque enim quidquam ad emendandum capitulorum textum proficiunt.

20. Neque hoc lectorem ignorare velim me in verbis graecis exprimendis orthographiam quae nunc ubique adhibetur secutum esse. ν ἐφελκυστικόν, ι subscriptum secundum regulam grammaticae posui, in apparatu critico nihil adnotans. eodem modo itacismos ut aiunt aliaque minutiora, velut errores in notando accentu et in reliquis quae ad res orthographicas pertinent, non tantum in textu biblico sed etiam in glossis tacite emendavi, velut ὁμοιώθην, δικαιωσύνης, ἰδώλοις, λήμψεται. pauca menda quae oculum subterfugerant, ultima hora apprehensa pag. 210 eliminavi.

Vaticani graeci 347 folium versum 65 quod specimen in tabula phototypica huic editioni praemitto eo loco quem primae quattuor Isaiae glossae obtinent rescriptum est, neque ubique litterae utrius manus sint facile dignoscuntur. facilius vero in codice ipso manu scripto ex atramento pallidiore quae prima manus exaraverit quaeque secunda apparet. vocabulum δίκαιοι tertiam glossam terminans quod antea propter pallidum colorem atramenti in Vaticano 347 manui primae addicendum existimavi nunc (cf. corrigenda pag. 210) propter interpunctionis signum (:~) secundae attribuo. quae ut censores praeveniam adnotare velim.

Restat, ut viris qui in editione paranda alius aliter me adiuverunt publicas gratias agam: Rev. P. Ehrle S. J. doctissimo

et dilectissimo praefecto bibliothecae Vaticanae, Professori D. Cugnoni illustrissimo praefecto bibliothecae Chisianae, D. Ioanni Mercati praestantissimo investigatori qui nonnullos locos codicis F a me rogatus denuo in meum usum accurate contulit. Professoris A. Ehrhard qui et consilio et re me sibi devinxit benignitatem iam supra grato animo laudavi.

Scripsi Wirceburgi exeunte anno 1899.

Michael Faulhaber.

Clavis siglorum.

A = codex Alexandrinus.
A^3 = codicis Alexandrini additamenta (cf. num. 14).
B = codex Vaticanus.
S = codex Sinaiticus.
C = codex Chisianus R. VIII. 54.
O = codex Ottobonianus graecus 452.
V = codex Vaticanus graecus 1794.
M = codex Monacensis graecus 472.
F = codex Vaticanus graecus 347.
ed. rom. = editio Veteris Testamenti graeci Sistina a. 1586.
Tisch. = Tischendorf-Nestle, Vetus Testamentum graece iuxta LXX interpretes edit. VI. Lipsiae 1880.
Holmes-Parsons = eorundem Vetus Testamentum graecum cum variis lectionibus. Tomus IV. Oxonii 1827.
Field = Origenis Hexaplorum quae supersunt . . . fragmenta concinnavit Fridericus Field. Tomus II. Oxonii 1875.

ʽΗσαΐας 1$^{1-15}$. Κεφ. α΄.

Διαμαρτυρία τῶν στοιχείων ἐπὶ τῇ τῶν Ἰουδαίων παρανομίᾳ καὶ διήγησις τῆς ἐκείνων πληγῆς· καὶ προφητεία τῆς τῶν ἑορτῶν καὶ θυσιῶν τῶν παρ᾽ αὐτοῖς ἀποβολῆς ἀνθ᾽ ὧν πονηρὰς πράξεις καὶ μιαιφόνους μετήρχοντο.

Vat. gr. 347

1 1 Ὅρασις ἣν εἶδεν Ἡσαΐας υἱὸς
2 Ἀμώς . . . ²ἄκουε οὐρανέ, καὶ ἐν-
ωτίζου γῆ, ὅτι κύριος ἐλάλησεν (α).
υἱοὺς (β) ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ
3 δέ με ἠθέτησαν. ³ἔγνω βοῦς (γ) τὸν
κτησάμενον καὶ ὄνος τὴν φάτνην (δ)
τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με
οὐκ ἔγνω, καὶ ὁ λαός (ε) με οὐ
4 συνῆκεν. ⁴οὐαὶ ἔθνος ἁμαρτωλόν,
. . . σπέρμα πονηρὸν (ϛ), υἱοὶ
ἄνομοι· ἐγκατελείπετε τὸν κύ-
5 ριον . . . ⁵. . . πᾶσα κεφαλὴ εἰς
πόνον (ζ), καὶ πᾶσα καρδία εἰς
6 λύπην (η) ⁶ἀπὸ ποδῶν ἕως κε-
φαλῆς (θ)· οὐκ ἔστιν ἐν αὐτῷ
ὁλοκληρία οὔτε τραῦμα (ι) οὔτε
μώλωψ οὔτε πληγὴ φλεγμαίνουσα·
οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι (ια)
οὔτε ἔλαιον οὔτε καταδέσμους . . . .
9 ⁹καὶ εἰ μὴ κύριος Σαβαὼθ ἐγκατ-
έλειπεν ἡμῖν σπέρμα (ιβ), ὡς Σόδομα

(α) θεοῦ λαλοῦντος οὐδὲν τῶν στοι- f. 65ᵛ
χείων ἀναίσθητον εἶναι προσήκει.
(β) τοὺς Ἰουδαίους.
(γ) οἱ ἐκ περιτομῆς.
(δ) ὁ ἐξ ἐθνῶν λαὸς τὴν ἐν Βηθ-
λεὲμ ἢ τὴν μυστικὴν τράπεζαν.
(ε) ὁ ἀγελαῖος τῶν Ἰουδαίων.
(ϛ) ἐπειδὴ τῷ διαβολικῷ προσ-
εχώρησαν σπέρματι.
(ζ) διὰ τῆς τιμωρίας.
(η) διὰ τὸν ζῆλον ὃν ἐπὶ τοῖς ἀγα-
θοῖς τῶν ἐθνῶν ὑπομένουσιν.
(θ) ἐπειδὴ μετὰ τοῦ λαοῦ παρ-
ηνόμουν καὶ οἱ ἄρχοντες.
(ι) τουτέστιν ὑπὲρ πᾶσαν πληγὴν
τὸ τοῦ λαοῦ τῶν Ἰουδαίων ἀρ-
ρώστημα.
(ια) οὐδὲ γὰρ τῆς τῶν θεοφόρων
διδασκαλίας ἠνείχοντο.
(ιβ) τοὺς ἀποστόλους. f. 66

Κεφ. α΄: τῶν Ἰουδαίων > Ἰουδαίων CO. V om. κεφ. α΄. 6 ἀπὸ + ἴχνους A³. - οὐκ ἔστιν ἐν αὐτῷ ὁλοκληρία A³.

ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν
10 ὡμοιώθημεν (ιγ). [10] ἀκούσατε λόγον
κυρίου, ἄρχοντες Σοδόμων (ιδ)·
προσέχετε νόμον θεοῦ, λαὸς Γο-
11 μόρρας. [11] τί ἐμοὶ πλῆθος τῶν θυ-
σιῶν ὑμῶν; λέγει κύριος· πλήρης
εἰμὶ (ιε) ὁλοκαυτωμάτων κριῶν, καὶ
στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ
12 τράγων οὐ βούλομαι, [12] οὐδ' ἂν ἔρ-
χησθε ὀφθῆναί μοι (ιϛ). τίς γὰρ
ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν
13 ὑμῶν; (ιζ) . . . [13] . . . ἡμέραν με-
14 γάλην (ιη) οὐκ ἀνέχομαι· . . . [14] . . .
ἐγενήθητέ μοι εἰς πλησμονὴν (ιθ),
οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν.
15 [15] . . . καὶ ἐὰν πληθύνητε τὴν δέησιν,
οὐκ εἰσακούσομαι ὑμῶν· αἱ γὰρ
χεῖρες ὑμῶν αἵματος πλήρεις (κ).

(ιγ) παντελὴς γὰρ ἔμελλεν εἶναι τοῦ Ἰσραὴλ ἡ ἀπώλεια.

(ιδ) τοὺς Ἰουδαϊκοὺς λέγει, ἐπειδὴ τὴν Σοδόμων καὶ Γομόρρων πανουργίαν ἐζήλωσαν.

(ιε) τουτέστι κεκόρεσμαι τῶν Ἰουδαϊκῶν θυσιῶν καὶ οὐκέτι τοιαῦτα προσφερόντων ἀνέχομαι.

(ιϛ) ἐπειδὴ οὐχ οὕτως ἑαυτοὺς ἐμφανίζουσι, καθάπερ ἐγὼ βούλομαι.

(ιζ) ἀρνεῖται τὰς νομικὰς θυσίας, ἐπειδήπερ οἱ Ἰουδαῖοι τοῦ νόμου τὸν σκοπὸν οὐκ ἐφύλαξαν.

(ιη) ἐν ᾗ τὸ πάσχα τὸ τυπικὸν ἐθύετο.

(ιθ) τουτέστι προσκορεῖς καὶ ὀχληροί.

(κ) τῆς τοῦ ἄλλου μιαιφονίας καὶ ἣν ἐτόλμησαν κατὰ προφητῶν μάλιστα.

1^{16-31}. Κεφ. β'.

Προτροπὴ πρὸς τὸ βάπτισμα· καὶ κατηγορία τῆς ἀρχαίας Ἱερουσαλήμ· καὶ ἀπειλὴ κατὰ τῶν ταύτης ἀρχόντων· καὶ ὑπόσχεσις ἀνανεώσεως τῆς Ἱερουσαλὴμ ἥτις εἰς τὴν νέαν μὲν ἐκλαμβάνεται, ἀνανεουμένης δὲ ταύτης ὄλεθρος πάντων τῶν ἐπὶ τῆς ἀρχαίας Ἱερουσαλὴμ παρανόμων ἐπήγγελται.

16 Λούσασθε (α), καθαροὶ γένεσθε,
ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν
ψυχῶν ὑμῶν (β) ἀπέναντι τῶν
17 ὀφθαλμῶν μου· . . . [17] μάθετε καλὸν

(α) τῇ δωρεᾷ τοῦ βαπτίσματος.

(β) χρὴ γὰρ τὸν μετανοοῦντα καὶ ὅλῃ ψυχῇ καὶ ὡς ἀρέσκει θεῷ πάσης πονηρίας ἀπέχεσθαι.

---

9 ἐγενήθημεν > ἐγεννήθημεν A. 10 νόμον θεοῦ + ἡμῶν A^3. Κεφ. β': κατηγορία > κατηγορίας C. τῆς ἀρχαίας > ἀρχαίας Migne. ἀνανεώσεως > ἀναστάσεως V. πάντων > πάντος (sic) O.

ποιεῖν, ἐκζητήσατε κρίσιν (γ) . . . .
18 [18]καὶ δεῦτε καὶ διελεγχθῶμεν (δ),
λέγει κύριος· καὶ ἐὰν ὦσιν αἱ ἁμαρ-
τίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα
λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον,
19 ὡς ἔριον λευκανῶ (ε). [19]καὶ ἐὰν
θέλητε καὶ εἰσακούσητέ μου, τὰ
ἀγαθὰ τῆς γῆς (ϛ) φάγεσθε· . . .
21 [21]πῶς ἐγένετο πόρνη πόλις πιστή,
Σιὼν πλήρης κρίσεως (ζ); ἐν ᾗ
δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν
22 δὲ φονευταί. [22]τὸ ἀργύριον ὑμῶν (η)
ἀδόκιμον· οἱ καπηλοί σου μίσγουσι
23 τὸν οἶνον ὕδατι (θ)· [23]οἱ ἄρχοντές
σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν,
ἀγαπῶντες δῶρα, διώκοντες ἀντ-
24 απόδομα (ι), . . . [24] . . . Οὐαὶ οἱ ἰσχύ-
οντες Ἰσραήλ· οὐ παύσεται γάρ μου
ὁ θυμὸς ἐν τοῖς ὑπεναντίοις (ια),
καὶ κρίσιν ἐκ τῶν ἐχθρῶν μου (ιβ)
25 ποιήσω. [25]καὶ ἐπάξω τὴν χεῖρά
μου (ιγ) ἐπὶ σὲ καὶ πυρώσω σε εἰς
26 καθαρὸν (ιδ), ... [26]καὶ ἐπιστήσω
τοὺς κριτάς σου ὡς τὸ πρότερον καὶ
τοὺς συμβούλους σου ὡς τὸ ἀπ' ἀρ-
28 χῆς (ιε)· . . . [28]. . . καὶ οἱ ἐγ-
καταλείποντες τὸν κύριον συντελεσ-
29 θήσονται (ιϛ)· [29]διότι καταισχυν-
θήσονται ἐπὶ τοῖς εἰδώλοις αὐτῶν (ιζ)
ἃ αὐτοὶ ἠβούλοντο, καὶ ἐπαισχυν-
θήσονται ἐπὶ τοῖς κήποις αὐτῶν (ιη)

(γ) ὀρθῶς ἑαυτοῖς καὶ τῷ πλησίον f. 66v
κρίνοντες.
(δ) ἐμοῦ τὰς εἰς ὑμᾶς εὐεργεσίας
λέγοντος καὶ ὑμῶν τὰ φθάσαντα
ὁμολογούντων πταίσματα.
(ε) τουτέστι κἂν μικρὰ τύχῃ κἂν
μεγάλα, ὁλόκληρον ὑμῖν τὸν
καθαρμὸν χαρίζομαι.
(ϛ) τῆς νοητῆς, ἤτοι τοῦ παρα-
δείσου.
(ζ) τουτέστιν ἡ ποτε ἀληθείας
πλήρης νῦν εἰς τὸ ψεῦδος
ἐκπορνεύει καὶ φθείρεται.
(η) ἡ τοῦ νόμου διδασκαλία.
(θ) τὸ πνεῦμα τῇ καπηλείᾳ τοῦ
γράμματος.
(ι) τουτέστιν ἀπαιτοῦντες μισθὸν,
ἡνίκα κρίσιν ἐκφέρουσιν.
(ια) κατὰ τῶν ὑπεναντίων.
(ιβ) καὶ κατάκρισιν ἐν τοῖς ἐχθροῖς,
τοῖς παρανόμοις ἀνθρώποις καὶ
τοῖς δαίμοσιν.
(ιγ) τὴν τιμωρόν.
(ιδ) διὰ τῶν πειρασμῶν καὶ τῶν
παιδειῶν διδασκάλους καθαροὺς
ἐργαζόμενος.
(ιε) ὡς τὸν Ἰησοῦν, τὸν Γεδεὼν, τὸν
Σαμουὴλ καὶ ὅσοι τοιοῦτοι κριταὶ
καὶ σύμβουλοι τοῦ Ἰσραὴλ ἐγέ-
νοντο.
(ιϛ) ἀναλωθήσονται. f. 67
(ιζ) ὅταν αὐτὰ παρὰ τῶν ἐθνῶν ἴδωσι
πυρπολούμενα.
(ιη) ἐν οἷς δηλαδὴ τοῖς εἰδώλοις
ἐδούλευον.

18 καὶ δεῦτε + δὴ A^{a}. 22 post ἀδόκιμον add. A αἱ πόλεις ὑμῶν πυρί-
καυστοι. 24 Ἰσραὴλ > Ἱερουσαλὴμ A.

30 ἃ ἐπεθύμησαν. [30]ἔσονται γὰρ ὡς τερέ-
βινθος ἀποβεβληκυῖα τὰ φύλλα (ιθ),
31 . . . [31]καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν
ὡς καλάμη στιππύου, καὶ αἱ ἐργα-
σίαι αὐτῶν ὡς σπινθῆρες πυρὸς (κ),
καὶ κατακαυθήσονται οἱ ἄνομοι καὶ
οἱ ἁμαρτωλοὶ ἅμα (κα), καὶ οὐκ
ἔσται ὁ σβέσων.

(ιθ) ὅταν ἀφαιρεθῶσι τῆς πολιτείας τοῦ γράμματος· ἡ γὰρ τερέβινθος τῶν φύλλων ἐκτινασσομένων ὥσπερ ὁ Ἰσραὴλ ἐκτιναχθείσης αὐτοῦ τῆς πολιτείας τοῦ γράμματος.

(κ) ἐδαπανήθη γὰρ τοῖς πονηροῖς αὐτῶν ἔργοις ἡ ἐν αὐτοῖς ἰσχύς, ἡ νομικὴ θεοσέβεια.

(κα) οἱ ἐν νόμῳ καὶ οἱ χωρὶς νόμου ἁμαρτήσαντες.

2^{1-21}. Κεφ. γ'.

Προτροπὴ ἐμφανῆ τὴν νέαν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν πᾶσι τοῖς ἔθνεσιν ἔσεσθαι· καὶ ἀποβολὴ τοῦ ἀρχαίου λαοῦ ἀνθ' ὧν τὰ τῶν ἐθνῶν τῶν παρανόμων ἐζήλωσαν· καὶ πρόρρησις εἰδώλων ἀπωλείας καὶ βλασφήμων ὀλοθρεύσεως.

2 1 Ὁ λόγος ὁ γενόμενος παρὰ κυ-
ρίου πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς περὶ
τῆς Ἰουδαίας καὶ περὶ Ἱερουσαλήμ.
2 [2]ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις
ἐμφανὲς τὸ ὄρος τοῦ κυρίου (α), καὶ
ὁ οἶκος τοῦ θεοῦ (β) ἐπ' ἄκρων τῶν
ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν
βουνῶν, καὶ ἥξουσιν (γ) ἐπ' αὐτὸ
3 πάντα τὰ ἔθνη. [3]καὶ πορεύσονται ἔθνη
πολλὰ καὶ ἐροῦσι Δεῦτε ἀναβῶμεν
εἰς τὸ ὄρος τοῦ κυρίου (δ) . . . καὶ
ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ (ε),
. . . ἐκ γὰρ Σιὼν ἐξελεύσεται
νόμος (ϛ), καὶ λόγος κυρίου ἐξ
4 Ἱερουσαλὴμ (ζ)· [4]καὶ κρινεῖ (η) ἀνὰ

(α) ἐν τῇ ἐπιδημίᾳ τοῦ Χριστοῦ ὁ Γολγοθᾶς.

(β) ἡ ἀνάστασις· οἶκος γὰρ αὕτη τοῦ Χριστοῦ ὑπὲρ πᾶσαν τὴν γῆν ὑψωθήσεται.

(γ) εἰς προσκύνησιν.

(δ) ὑπ' ἀλλήλων γὰρ τὰ ἔθνη μετὰ τὴν ἐπιδημίαν τοῦ Χριστοῦ χειραγωγεῖται πρὸς εὐσέβειαν.

(ε) τὴν πολιτείαν ἣν αὐτὸς ἔργοις τε καὶ λόγοις εἰσηγήσατο.

(ϛ) ὁ εὐαγγελικός. f. 67v

(ζ) ὁ τῆς χάριτος ὡς ἐκεῖθεν ἀρξάμενος.

(η) κρίσιν ἥτις αὐτοῦ τῆς πλάνης παύει καὶ τῆς ἀπάτης ἀφίστησιν.

Κεφ. γ': τοῦ ἀρχαίου > τοῦ ἄρχοντος V. ἀνθ' ὧν τὰ τῶν > ἀνθ' ὧν τὰ κατὰ τῶν CO Migne.

μέσον τῶν ἐθνῶν καὶ ἐλέγξει λαὸν
πολὺν (θ)· καὶ συγκόψουσι τὰς μα-
χαίρας αὐτῶν εἰς ἄροτρα (ι) καὶ
τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ
οὐ λήψεται ἔτι ἔθνος ἐπ' ἔθνος μά-
χαιραν (ια), καὶ οὐ μὴ μάθωσιν ἔτι
5 πολεμεῖν (ιβ). 5 καὶ νῦν, ὁ οἶκος τοῦ
Ἰακώβ, δεῦτε (ιγ) πορευθῶμεν τῷ
6 φωτὶ κυρίου. 6 ἀνῆκε (ιδ) γὰρ τὸν
λαὸν αὐτοῦ τὸν οἶκον τοῦ Ἰσραήλ (ιε)·
ὅτι ἐνεπλήσθη ὡς τὸ ἀπ' ἀρχῆς (ις)
ἡ χώρα αὐτῶν κληδονισμῶν ὡς ἡ τῶν
ἀλλοφύλων, καὶ τέκνα πολλὰ ἀλλό-
7 φυλα (ιζ) ἐγενήθη αὐτοῖς. 7 ἐνεπλήσθη
γὰρ ἡ χώρα αὐτῶν ἀργυρίου (ιη) καὶ
χρυσίου, καὶ οὐκ ἦν ἀριθμὸς τῶν
θησαυρῶν αὐτῶν (ιθ)· καὶ ἐνεπλήσθη
ἡ γῆ ἵππων (κ), καὶ οὐκ ἦν ἀριθμὸς
8 τῶν ἁρμάτων αὐτῶν (κα)· 8 καὶ
ἐνεπλήσθη ἡ γῆ αὐτῶν βδελυγμάτων
(κβ) τῶν ἔργων τῶν χειρῶν αὐτῶν,
9 . . . 9 καὶ ἔκυψεν (κγ) ἄνθρωπος, καὶ
ἐταπεινώθη ἀνὴρ (κδ), καὶ οὐ μὴ ἀνήσω
10 αὐτούς (κε). 10 καὶ νῦν εἰσέλθετε εἰς τὰς
πέτρας καὶ κρύπτεσθε εἰς τὴν γῆν (κς)
ἀπὸ προσώπου τοῦ φόβου κυρίου καὶ
ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ,
ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν (κζ).
11 11 οἱ γὰρ ὀφθαλμοὶ κυρίου ὑψηλοί, ὁ δὲ
ἄνθρωπος ταπεινός (κη)· καὶ ταπεινω-
θήσεται τὸ ὕψος (κθ) τῶν ἀνθρώ-
πων, καὶ ὑψωθήσεται κύριος μόνος
12 ἐν τῇ ἡμέρᾳ ἐκείνῃ (λ). 12 ἡμέρα γὰρ

(θ) τὸν Ἰουδαϊκόν.
(ι) τὰς Ἑλληνικὰς γλώσσας εἰς ὄργανα τοῦ εὐαγγελικοῦ λόγου ἐν οἷς ἡ εὐσέβεια σπείρεται καὶ θερίζεται.
(ια) οὐκέτι γὰρ ἀλλήλοις ἐναντία φρονήσουσιν.
(ιβ) τὸν ἐν τοῖς λογισμοῖς τοῖς σοφιστικοῖς πόλεμον.
(ιγ) συμβουλὴ πρὸς τὴν συναγωγήν.
(ιδ) ἀπέρριψε.
(ιε) τὸν αἰσθητόν, δηλαδὴ τὴν συναγωγήν.
(ις) ὡς ὅτε ἦν ἡ γῆ, ἡνίκα ὑπὸ τῶν Χαναναίων κατείχετο.
(ιζ) τὰ τῶν ἀλλοφύλων φρονοῦντα.
(ιη) φιλαργυρίας.
(ιθ) διὰ τὴν πλεονεξίαν τὴν ἄμετρον.
(κ) θηλυμανῶν ἡδονῶν.
(κα) ἀμέτρους γὰρ συζυγίας ἀσελγειῶν ἐκέκτηντο.
(κβ) εἰδωλικῶν.
(κγ) τουτέστιν ἀπώλεσε τὸ λογικόν.
(κδ) τὸ ἀνδρεῖον μεταβεβληκὼς φρόνημα.
(κε) οὐ παύσομαι τιμωρούμενος.
(κς) συμφέρει γὰρ τοῖς ἁμαρτωλοῖς, αἰσχύνεσθαι καὶ μὴ παρρησιάζεσθαι.
(κζ) ἐν τῷ κριτηρίῳ τῷ μέλλοντι· τότε γὰρ θραύει τοὺς φρονοῦντας τὰ γήϊνα.
(κη) ἐπειδὴ τὴν εἰκόνα τοῦ ὑψηλοῦ οὐκ ἐφύλαξεν.
(κθ) τὸ ὑπερήφανον φρόνημα.
(λ) ἐν ᾗ κρίνει τὴν οἰκουμένην καὶ f. 68

10 εἰσέλθετε > εἰσέλθατε AS.

κυρίου Σαβαὼθ ἐπὶ πάντα ὑβριστὴν
καὶ ὑπερήφανον (λα), καὶ ἐπὶ πάντα
ὑψηλὸν (λβ) καὶ μετέωρον, καὶ
13 ταπεινωθήσονται, [13]καὶ ἐπὶ πᾶσαν
κέδρον τοῦ Λιβάνου (λγ) τῶν ὑψηλῶν
καὶ μετεώρων, καὶ ἐπὶ πᾶν δένδρον
14 βαλάνου Βασάν (λδ), [14]καὶ ἐπὶ πᾶν
ὄρος (λε), καὶ ἐπὶ πάντα βουνὸν ὑψη-
15 λὸν (λϛ), [15]καὶ ἐπὶ πάντα πύργον
ὑψηλὸν (λζ), καὶ ἐπὶ πᾶν τεῖχος
16 ὑψηλὸν, [16]καὶ ἐπὶ πᾶν πλοῖον θαλάσ-
σης (λη), καὶ ἐπὶ πᾶσαν θέαν πλοίων
17 κάλλους (λθ)· [17]καὶ ταπεινωθήσεται
πᾶς ἄνθρωπος (μ), καὶ πεσεῖται ὕψος
ἀνθρώπων (μα), καὶ ὑψωθήσεται κύ-
ριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ (μβ).
18 [18]καὶ τὰ χειροποίητα πάντα (μγ)
19 κατακρύψουσιν (μδ), [19]εἰσενέγκαντες
εἰς τὰ σπήλαια καὶ εἰς τὰς σχισμὰς
τῶν πετρῶν καὶ εἰς τὰς τρώγλας
τῆς γῆς, ἀπὸ προσώπου τοῦ φόβου
κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς
ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι
20 τὴν γῆν. [20]τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ-
βαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ
τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ ἐποίησεν
προσκυνεῖν τοῖς ματαίοις καὶ ταῖς
21 νυκτερίσι, [21]τοῦ εἰσελθεῖν εἰς τὰς
τρώγλας τῆς στερεᾶς πέτρας καὶ

μόνος κρίνεται πρὸς ἀλήθειαν δίκαιος.

(λα) τὸν εἰκῇ ἑαυτὸν ὑψοῦντα.

(λβ) τὸν ῥεμβαστὴν καὶ μάτην ἐπαιρόμενον.

(λγ) τὸν ἐν ἀσεβείᾳ ἀλαζονευόμενον.

(λδ) τὸν ἐν αἰσχύνῃ πολιτευόμενον· Βασὰν γὰρ αἰσχύνη ἑρμηνεύεται.

(λε) τὸν διάβολον.

(λϛ) τοὺς τοῦ διαβόλου δευτερεύοντας δαίμονας.

(λζ) τὸν ἐν ὑπερηφανίᾳ ἠσφαλίσθαι νομίζοντα.

(λη) τὴν ψυχὴν τὴν ἐν τῷ βιωτικῷ χειμαζομένην κλύδωνι.

(λθ) τὴν πεφαντασμένην ταῖς ἡδοναῖς διάνοιαν αἵτινες ἐν τῷ πελάγει τοῦ βίου καθάπερ πλοῖα νήχονται.

(μ) ὁ τοῖς προειρημένοις ὑπεύθυνος.

(μα) ὑπερηφανία ἀνθρώπων.

(μβ) πάντα εὔδηλον ὑποκυπτούσης τῆς κρίσεως.

(μγ) τὰ εἴδωλα.

(μδ) τοῦτο πεπλήρωται μὲν νῦν ἐν τῷ καιρῷ τῆς τοῦ σωτῆρος ἀφίξεως, πολὺ δὲ μᾶλλον ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ πληρωθήσεται· τότε γὰρ φόβῳ τοῦ κριτοῦ κρύπτουσι μὲν ἐν τοῖς ἔσω ταμείοις τὴν πλάνην τῶν εἰδώλων ἀρνούμενοι, ἐκβαλεῖν δὲ πάλιν αὐτὴν ὑπὸ τῶν οἰκείων ἐλεγχόμενοι λογισμῶν ἀναγκάζονται· οὐδὲν γὰρ

---

14 ἐπὶ πᾶν + ὑψηλὸν A^3. 17 πεσεῖται ὕβρις τῶν ἀνθρώπων B. πεσεῖται (πεσεῖτε A) ὕψος ἀνθρώπων AS. (μβ) πάντα > πάσης F.

εἰς τὰς σχισμὰς τῶν πετρῶν, ἀπὸ προσώπου τοῦ φόβου κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν (με).

ἐστι κεκρυμμένον ὃ μὴ τότε γνωσθήσεται.[a]

(με) τουτέστι καταλῦσαι τὴν ἐν τῇ γῇ κεκρατηκυῖαν ἀσέβειαν.

3[1—10]. Κεφ. δ΄.

Πρόρρησις τὴν ἀρχαίαν Ἱερουσαλὴμ τὰ ἀγαθὰ τῆς τοῦ Χριστοῦ παρουσίας ζημιωθήσεσθαι ἀνθ᾽ ὧν μετὰ τῆς ἄλλης κακίας ἐν τῇ ἀντάρσει τῇ κατὰ τοῦ Χριστοῦ τὴν Σοδόμων ἀνομίαν ἐζήλωσαν.

3 1 Ἰδοὺ δὴ ὁ δεσπότης κύριος Σα-
βαὼθ ἀφελεῖ (α) ἀπὸ τῆς Ἰουδαίας
καὶ ἀπὸ Ἱερουσαλὴμ ἰσχύοντα καὶ
ἰσχύουσαν (β), ἰσχὺν ἄρτου καὶ ἰσχὺν
2 ὕδατος (γ), ²γίγαντα (δ) καὶ ἰσχύ-
οντα καὶ ἄνθρωπον πολεμιστὴν (ε)
καὶ δικαστὴν (ϛ) καὶ προφήτην (ζ)
καὶ στοχαστὴν (η) καὶ πρεσβύτερον
3 (θ) ³καὶ πεντηκόνταρχον (ι) καὶ
θαυμαστὸν σύμβουλον (ια) καὶ σοφὸν

(α) ἐπληρώθη ταῦτα τοῖς Ἰουδαίοις τῷ πράγματι καὶ τῷ πνεύματι. f. 68v
(β) τὸν Χριστὸν καὶ τὴν ἐκκλησίαν.
(γ) τὴν μυστικὴν τράπεζαν καὶ τὸ βάπτισμα.
(δ) τὸν Χριστόν· περὶ αὐτοῦ γὰρ Δαυίδ «ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν.»[b]
(ε) ἐπολέμησε γὰρ τῷ σταυρῷ ὁ Χριστὸς τὸν διάβολον.
(ϛ) τὸν Χριστόν· κριτὴς γὰρ πάντων ἔρχεται.
(ζ) τὸν Χριστόν· οὕτω γὰρ αὐτὸν Μωϋσῆς ἀνεφώνησεν.[c]
(η) τὸν Χριστὸν, ἐπειδὴ τὰ ἐν ἡμῖν κεκρυμμένα ἐπίσταται.
(θ) τὸν Χριστὸν, ἐπειδὴ «ἐν ἀρχῇ ἦν ὁ Λόγος».[d]
(ι) τῆς γὰρ τοῦ πνεύματος διανομῆς ἐν ἡμέρᾳ πεντηκοστῆς ἤρξατο.
(ια) τοῦ πατρὸς τὸν Χριστόν.

21 A[8] in fine add. παύσασθε ὑμῖν ἀπὸ τοῦ ἀνθρώπου ᾧ ἀναπνοὴ ἐν μυκτῆρι αὐτοῦ· ὅτι ἐν τινι ἐλογίσθη αὐτός.

[a] Mat. 10[26]. Marc. 4[22]. Luc. 8[17]. [b] Ps. 18 (19)[6].
[c] Deut. 8[18]. [d] Io. 1[1].

ἀρχιτέκτονα (ιβ) καὶ συνετὸν ἀκροα-
4 τήν (ιγ)· [4]καὶ ἐπιστήσω νεανίσκους
ἄρχοντας αὐτῶν (ιδ), καὶ ἐμπαῖκται
5 κυριεύσουσιν αὐτῶν. [5]καὶ συμπεσεῖται
ὁ λαὸς (ιε), ἄνθρωπος πρὸς ἄνθρω-
πον καὶ ἄνθρωπος πρὸς τὸν πλησίον
αὐτοῦ· προσκόψει τὸ παιδίον πρὸς
τὸν πρεσβύτην (ις), ὁ ἄτιμος πρὸς
6 τὸν ἔντιμον (ιζ). [6]ὅτι ἐπιλήψεται
ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ (ιη)
ἢ τοῦ οἰκείου τοῦ πατρὸς αὐτοῦ
λέγων Ἱμάτιον (ιθ) ἔχεις, ἀρχηγὸς
ἡμῶν γενοῦ, καὶ τὸ βρῶμα τὸ ἐμὸν
7 (κ) ὑπὸ σὲ ἔστω. [7]καὶ ἀποκριθεὶς ἐρεῖ
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Οὐκ ἔσομαί
σου ἀρχηγός· οὐ γάρ ἐστιν ἐν τῷ
οἴκῳ μου (κα) ἄρτος οὐδὲ ἱμάτιον· οὐκ
ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου (κβ),
8 [8]ὅτι ἀνεῖται (κγ) Ἱερουσαλήμ,
καὶ ἡ Ἰουδαία συμπέπτωκε, καὶ αἱ
γλῶσσαι αὐτῶν (κδ) μετὰ ἀνομίας,
τὰ πρὸς κύριον ἀπειθοῦντες· διότι
νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν (κε),
9 [9]. . . τὴν δὲ ἁμαρτίαν αὐτῶν ὡς
Σοδόμων ἀνήγγειλαν καὶ ἐνεφάνι-
σαν (κς). οὐαὶ τῇ ψυχῇ αὐτῶν, ὅτι
βεβούλευνται βουλὴν πονηρὰν καθ'
10 ἑαυτῶν [10]εἰπόντες Δήσωμεν τὸν
δίκαιον (κζ), ὅτι δύσχρηστος ἡμῖν
ἐστιν (κη)· τοίνυν τὰ γεννήματα

(ιβ) τὸν Χριστὸν τῆς κτίσεως.

(ιγ) ἀκροᾶται γὰρ συνετῶς ὁ Χριστὸς τὰ ἡμέτερα.

(ιδ) τοὺς ἀτελεῖς καὶ ὑποκριτὰς διδασκάλους τῶν Ἰουδαίων αἰνίττεται.

(ιε) τουτέστι πᾶς ὁ λαὸς ἐν ἀλλήλοις προσκόψουσιν.

(ις) ὁρῶν τὸν πρεσβύτην οὐδὲν τέλειον ἔχοντα.

(ιζ) συγχεομένης διὰ κακίαν τῆς τάξεως.

(ιη) ὁ Ἰουδαϊκὸς λαὸς ἐν ὑποκρίσει ἐπιλήψεται τοῦ Χριστοῦ· οἰκεῖος γὰρ αὐτοῖς ἀδελφὸς κατὰ σάρκα ἐτύγχανεν.

(ιθ) τὴν εὐαγγελικὴν χάριν.

(κ) ἡ τοῦ νόμου τροφή.

(κα) ἐν τῷ ναῷ· οἶκος γὰρ αὐτοῦ τὸ ἀρχαῖον ἐτύγχανεν.[a]

(κβ) αὐτοὶ γὰρ τὴν ἐμὴν βασιλείαν ἀρνήσονται.[b]

(κγ) καταλέλειπται.

(κδ) Φαρισαίων καὶ λοιπῶν ὅσοι τοῦ νόμου τὴν ἑρμηνείαν διέστρεφον.

(κε) ἐπειδὴ τοῦ νομικοῦ προσχήματος ἀφῃρέθησαν.

(κς) εἰπόντες Σταύρου, σταύρου αὐτόν[c]· ἡ κραυγὴ γὰρ αὐτῶν ὡς Σοδόμων εἰς τὸν οὐρανὸν ἔφθασεν.

(κζ) τὸν Χριστόν. f. 69

(κη) οὐδὲ γὰρ ἐβούλοντο τῇ παρ'

---

5 Hes. προσκόψει (non προκόψει B) legisse ex (ις) videmus. 9 ed. rom. disting. πονηρὰν, καθ' ἑαυτῶν. 10 εἰπόντες > εἴπαντες A. γεννήματα > γενήματα ABS.

---

[a] III Reg. 6^{1} et al. [b] Io. 19^{15}. [c] Luc. 23^{21}.

τῶν ἔργων αὐτῶν (κθ) φάγονται.

αὐτοῦ κηρυττομένῃ πολιτείᾳ χρήσασθαι.

(κθ) τὰς τιμωρίας· καρποὶ γὰρ ἔργων τῶν πονηρῶν αἱ μάστιγες.

3^{11}—4^{6}. Κεφ. ε'.

Διαβολὴ τῆς ἀσελγείας τοῦ Ἰουδαϊκοῦ λαοῦ· καὶ πρόρρησις τῆς τῶν ἐνδόξων τῶν παρ' αὐτοῖς γυμνώσεως· καὶ προφητεία τὰς ἐνεργείας τοῦ πνεύματος τῇ οἰκονομίᾳ τοῦ Χριστοῦ συναφθήσεσθαι, οὕτω τε τοὺς ἐκ περιτομῆς πιστεύοντας εἰς ζωὴν ἀπογράφεσθαι, καὶ πᾶσαν ἐκκλησίαν τειχίζεσθαι τῇ παρουσίᾳ τοῦ πνεύματος.

11 Οὐαὶ τῷ ἀνόμῳ . . . [12]λαός
12 μου, οἱ πράκτορες ὑμῶν καλαμῶν-
13 ται ὑμᾶς (α) . . . [13]ἀλλὰ νῦν κατα-
στήσεται εἰς κρίσιν κύριος (β) καὶ
στήσει εἰς κρίσιν τὸν λαὸν αὐτοῦ·
14 [14]αὐτὸς κύριος εἰς κρίσιν ἥξει μετὰ
τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ μετὰ
τῶν ἀρχόντων αὐτοῦ· ὑμεῖς δὲ τί
ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου (γ),
καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ (δ) ἐν
15 τοῖς οἴκοις ὑμῶν; [15]τί ὑμεῖς ἀδικεῖτε
τὸν λαόν μου καὶ τὸ πρόσωπον τῶν
16 πτωχῶν καταισχύνετε (ε); [16]τάδε
λέγει κύριος Ἀνθ' ὧν ὑψώθησαν αἱ
θυγατέρες Σιὼν (ϛ) καὶ ἐπορεύθησαν

(α) οἱ ἐξουσίαν ἐν ὑμῖν τοῦ φορολογεῖν ἔχοντες· οὗτοι τὴν ἄκαρπον καλάμην τῶν ἔργων τῶν ὑμετέρων θερίζουσιν.

(β) οὐ μόνον ὅταν κριτὴς παραγίνηται, ἀλλὰ καὶ παρὰ Πιλάτῳ πρὸς τὸν Ἰουδαϊκὸν λαὸν καὶ τοὺς πρεσβυτέρους τοὺς ἐκείνων κρινόμενος.

(γ) τῇ πονηρᾷ διδασκαλίᾳ τὸν Ἰουδαϊκὸν λαόν.

(δ) τοῦ λαοῦ τοῦ τῆς θεογνωσίας πενομένου· τούτου γὰρ τὴν ἁρπαγήν, δηλαδὴ τὰ δῶρα ἅπερ αὐτοῖς ἐκόμιζεν ἀπατώμενοι, ἐν τοῖς οἴκοις οἱ διδάσκαλοι τῶν Ἰουδαίων ἐκέκτηντο.

(ε) προσωποληπτοῦντες.

(ϛ) αἱ τῶν Ἰουδαίων συναγωγαί· ταῦτα αἰσθητῶς τοῖς Ἰουδαίοις,

---

Κεφ. ε': πᾶσαν ἐκκλησίαν > τὴν ἐκκλησίαν CV, cf. infra glossam (ξβ) huius cap.
15 A^{3} in fine add. φησι κύριος κύριος τῶν στρατιῶν.
(δ) τῆς θεογνωσίας > τῇ θεογνωσίᾳ F. ἀπατώμενοι sic F.

ὑψηλῷ τραχήλῳ (ζ) καὶ νεύμασιν (η)
ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν πο-
δῶν ἅμα σύρουσαι τοὺς χιτῶνας (θ)
17 καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, [17]...
καὶ κύριος ἀποκαλύψει τὸ σχῆμα
18 αὐτῶν (ι) [18] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ·
καὶ ἀφελεῖ κύριος τὴν δόξαν τοῦ
ἱματισμοῦ αὐτῶν (ια) καὶ τοὺς κόσ-
μους αὐτῶν καὶ τὰ ἐμπλόκια καὶ
τοὺς κοσύμβους (ιβ) καὶ τοὺς μη-
19 νίσκους [19] καὶ τὸ κάθεμα (ιγ) καὶ τὸν
κόσμον (ιδ) τοῦ προσώπου αὐτῶν (ιε)
20 [20] καὶ τὴν σύνθεσιν τοῦ κόσμου
τῆς δόξης αὐτῶν (ις) καὶ τοὺς χλι-
δῶνας (ιζ) καὶ τὰ ψέλια (ιη) καὶ
τὸ ἐμπλόκιον (ιθ) καὶ τὰ περιδέξια (κ)
καὶ τοὺς δακτυλίους (κα) καὶ
21 τὰ ἐνώτια (κβ) [21] καὶ τὰ περι-
πόρφυρα (κγ) καὶ τὰ μεσοπόρφυρα
22 [22] καὶ τὰ ἐπιβλήματα τὰ κατὰ τὴν
οἰκίαν (κδ) καὶ τὰ διαφανῆ Λακω-
23 νικὰ (κε) [23] καὶ τὰ βύσσινα (κς) καὶ
τὰ ὑακίνθινα (κζ)

νοητῶς δὲ πολὺ μᾶλλον γε-
γένηται.
(ζ) τῇ ὑπερηφανίᾳ.
(η) τῷ ῥεμβασμῷ καὶ τοῖς πορνικοῖς
σχήμασιν.
(θ) τουτέστι τὰς νομικὰς ἐντολὰς εἰς
τὸ γήϊνον περισύρουσαι φρόνημα.
(ι) γυμνώσει τὴν ὑπόκρισιν ἐν τῷ
καιρῷ τῆς κατ' αὐτῶν ἐκδική-
σεως.
(ια) τῆς πολιτείας τὸ πρόσχημα.
(ιβ) τὰς ἱερατικὰς στολάς· κοσσυμ- f. 69v
βωταὶ γὰρ ἐτύγχανον.
(ιγ) τὰς ἐντολάς· κοσμοῦσι γὰρ τὸν
τράχηλον τῆς ψυχῆς, δηλονότι
τὸ φρόνημα.
(ιδ) τὸν νόμον ὡς ἐξαίρετον κόσμον
καὶ πρὸ τοῦ στήθους τιθέμενον.
(ιε) τοῦ ναοῦ τὴν εὐπρέπειαν.
(ις) τῆς κιβωτοῦ καὶ τῶν ἄλλων ἃ
μετὰ δόξης συνέκειτο.
(ιζ) τὰς τῶν χλαμύδων πόρπας·
λέγει δὲ τῆς οὐρανίου στρατιᾶς
τὰ συνθήματα.
(ιη) τὰς τῶν δικαίων πράξεις· χορῶν
γὰρ κόσμος ὑπάρχουσιν.
(ιθ) τὰ πεπλεγμένα δόγματα.
(κ) τὰ σημεῖα ἐν οἷς τοῦ θεοῦ τὴν
δεξιὰν ἐπέγνωσαν.
(κα) τὰς δωρεὰς τοῦ πνεύματος.
(κβ) τῆς ἀκοῆς τὴν διάκρισιν.
(κγ) τῆς βασιλείας τοῦ Ἰσραὴλ τὰ
γνωρίσματα.
(κδ) τὰς ἐντολὰς αἳ τοὺς ἰδίους
οἴκους κυβερνᾶν ἐκελεύσθησαν.
(κε) τὰς ἐντολὰς τὰς φανερὰς καὶ
τοῖς ἔθνεσιν.
(κς) τὰ τῶν δογμάτων βαθύτερα.
(κζ) τὰ ὑψηλὰ καὶ οὐράνια δόγματα.

καὶ τὰ κόκκινα (κη) καὶ τὴν
βύσσον (κθ) σὺν χρυσίῳ καὶ ὑακίνθῳ
συγκαθυφασμένα, καὶ θέριστρα
24 κατάκλιτα (λ). [24] καὶ ἔσται ἀντὶ
ὀσμῆς ἡδείας (λα) κονιορτὸς (λβ),
καὶ ἀντὶ ζώνης (λγ) σχοινίῳ (λδ)
ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς
κεφαλῆς τοῦ χρυσίου (λε) φαλά-
κρωμα (λϛ) ἕξεις διὰ τὰ ἔργα σου,
καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσο-
πορφύρου (λζ) περιζώσῃ σάκκον (λη).
25 [25] καὶ ὁ υἱός σου ὁ κάλλιστος (λθ)
ὃν ἀγαπᾷς μαχαίρᾳ (μ) πεσεῖται,
καὶ οἱ ἰσχύοντες ὑμῶν (μα) μαχαίρᾳ
πεσοῦνται καὶ ταπεινωθήσονται (μβ)·
26 [26] καὶ πενθήσουσιν αἱ θῆκαι (μγ) τοῦ
κόσμου ὑμῶν, καὶ καταλειφθήσῃ
μόνη καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ (μδ).
4 1 Καὶ ἐπιλήψονται ἑπτὰ γυναῖκες
(με) ἀνθρώπου ἑνὸς (μϛ) λέγουσαι
Τὸν ἄρτον ἡμῶν (μζ) φαγόμεθα καὶ
τὰ ἱμάτια ἡμῶν (μη) περιβαλούμεθα,
πλὴν τὸ ὄνομα τὸ σὸν κεκλήσθω
ἐφ' ἡμᾶς (μθ), ἄφελε τὸν ὀνειδισμὸν
2 (ν) ἡμῶν. [2] τῇ δὲ ἡμέρᾳ ἐκείνῃ

(κη) τὰς ἐν αἵματι θυσίας.
(κθ) τὴν πολιτείαν ἣν ὁ νόμος καὶ πατριάρχαι καὶ προφῆται συνέστησαν.
(λ) τὰ λεπτὰ τῶν ἐγκοιτίων ἐνδύματα· φησὶ δὲ τῶν ἀποστόλων τὰ δόγματα.
(λα) τῶν νομικῶν θυσιῶν.
(λβ) ὁ τῆς ἁλώσεως.
(λγ) τῆς εὐαγγελικῆς χάριτος.
(λδ) τῷ νομικῷ γράμματι.
(λε) τῆς πίστεως· κοσμεῖ γὰρ ὡς κεφαλὴν τὴν διάνοιαν.
(λϛ) τὴν ἀπιστίαν.
(λζ) τῆς βασιλικῆς δόξης.
(λη) τὸ πένθιμον τῆς αἰσχύνης πρόσχημα.
(λθ) ὁ τῶν ἱερέων κλῆρος.
(μ) τῇ εὐαγγελικῇ ἀποφάσει.
(μα) οἱ τῆς συναγωγῆς ἄρχοντες.
(μβ) γυμνουμένης αὐτῶν τῆς ὑποκρίσεως.
(μγ) ἑορταὶ καὶ σάββατα ἐν αἷς ἔχειν ἐδόκουν τὴν εὐπρέπειαν.
(μδ) εἰς τὸ γήϊνον κατανιχθήσῃ φρόνημα.
(με) αἱ ἑπτὰ ἐνέργειαι τοῦ πνεύματος.
(μϛ) τοῦ Χριστοῦ· μόνος γὰρ καὶ εἷς ἐκ παρθένου.
(μζ) τὸν μυστικόν.
(μη) τὰς θείας ἐντολὰς αἷς ἡ ψυχὴ σκέπεται.
(μθ) ἵνα χριστιανοὶ οἱ πνευματικοὶ λέγωνται.
(ν) ὃν παρὰ τῶν ἐθνῶν διὰ τὴν τῶν f. 70

---

24 ἡδείας > ἰδίας A. 4 1 γυναῖκες + ἐν τῇ ἡμέρᾳ ἐκείνῃ A^3.
(μδ) κατανιχθήσῃ > κατενιχθήσῃ F.

λάμψει ὁ θεὸς ἐν βουλῇ (να) μετὰ
δόξης (νβ) ἐπὶ τῆς γῆς (νγ) τοῦ
ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν
3 τοῦ Ἰσραήλ (νδ)· [3]καὶ ἔσται τὸ
ὑπολειφθὲν ἐν Σιὼν καὶ τὸ κατα-
λειφθὲν ἐν Ἱερουσαλήμ (νε), ἅγιοι
κληθήσονται πάντες οἱ γραφέντες (νϛ)
4 εἰς ζωὴν ἐν Ἱερουσαλήμ. [4]ὅτι ἐκ-
πλυνεῖ (νζ) κύριος τὸν ῥύπον τῶν
υἱῶν καὶ τῶν θυγατέρων Σιὼν (νη),
καὶ τὸ αἷμα Ἱερουσαλὴμ (νθ) ἐκ-
καθαριεῖ ἐκ μέσου αὐτῶν (ξ) ἐν
πνεύματι κρίσεως καὶ πνεύματι καύ-
5 σεως (ξα). [5]καὶ ἥξει (ξβ), καὶ ἔσται
πᾶς τόπος τοῦ ὄρους Σιών, καὶ πάντα
τὰ περικύκλῳ αὐτῆς σκιάσει νεφέλη
ἡμέρας, καὶ ὡς καπνοῦ καὶ ὡς φωτὸς
πυρὸς καιομένου νυκτὸς πάσῃ τῇ
6 δόξῃ σκεπασθήσεται· [6]καὶ ἔσται εἰς
σκιὰν ἀπὸ καύματος (ξγ) καὶ ἐν
σκέπῃ καὶ ἐν ἀποκρύφῳ (ξδ) ἀπὸ
σκληρότητος καὶ ὑετοῦ (ξε).

Ἰουδαίων κακίαν αἱ δωρεαὶ τοῦ πνεύματος ὀνειδίζονται.

(να) ὁ Χριστὸς ἐν τῇ τοῦ πατρός.

(νβ) τῆς θεότητος.

(νγ) σαρκούμενος.

(νδ) τοὺς ἐκ τοῦ Ἰσραὴλ πιστεύσαντας.

(νε) καὶ οἱ ἀπὸ τῶν ἀπιστησάντων Ἰουδαίων περιλειφθέντες καὶ πιστεύσαντες.

(νϛ) οἱ ἀπογραφέντες, δηλαδὴ τῷ βαπτίσματι.

(νζ) διὰ λουτροῦ παλιγγενεσίας.

(νη) τῶν ἐκ περιτομῆς πιστευσάντων.

(νθ) τὸ ἐκχυθὲν τῶν προφητῶν ἐν Ἱερουσαλήμ.

(ξ) τῶν ἐκ περιτομῆς βαπτιζομένων.

(ξα) ἐν τῷ ἁγίῳ πνεύματι κατακρίνοντι τὸν διάβολον καὶ τὰ ἁμαρτήματα καίοντι.

(ξβ) ἡ ἐνδημία τοῦ πνεύματος· αὕτη γὰρ πᾶσαν ἐκκλησίαν καὶ τὰ κύκλῳ τῶν ἁγίων σκηνώματα ἐν καιρῷ μὲν εἰρήνης ὡς ἐν ἡμέρᾳ νεφέλη δροσίζει, ἐν διωγμῷ δὲ ὡς ἐν νυκτὶ καπνὸς τοῖς ἐναντίοις, φῶς δὲ πυρὸς τοῖς πιστοῖς γίνεται[a] οἳ καὶ μετὰ δόξης σκέπονται.

(ξγ) ἀνάψυξις τῶν πειρασμῶν.

(ξδ) τουτέστι σκεπασθήσεται καὶ ἀποκρυβήσεται.

(ξε) τῶν διωγμῶν· ὡς ὑετοὶ γὰρ σκληροὶ τοὺς ἀσθενεῖς κατακλύζουσιν.

---

4 αἷμα + Ἱερουσαλὴμ Hes. (vide νθ) cum A[8]. καὶ (S + ἐν) πνεύματι καύσεως (καύσωνος A[8]) Hes. A[8] BS. 5 σκεπασθήσεται > κυρίου πασθήσεται (sic) A. 6 εἰς σκιὰν + ἡμέρας A[8]. ἀπὸ sec. A[8].

---

[a] Ex. 14^{21 sq.}

5[1–7.] Κεφ. ϛ'.

Ἀποβολὴ τοῦ Ἰουδαϊκοῦ ἀμπελῶνος ἀνθ' ὧν ἐν τῇ παρουσίᾳ τοῦ Χριστοῦ ἐκαρποφόρησαν ἄνταρσιν.

5 1 Ἄισω δὴ τῷ ἠγαπημένῳ (α)
ᾆσμα (β) τοῦ ἀγαπητοῦ (γ) τῷ ἀμπε-
λῶνί μου (δ). ἀμπελὼν (ε) ἐγενήθη
τῷ ἠγαπημένῳ (ϛ) ἐν κέρατι (ζ)
2 ἐν τόπῳ πίονι (η). [2]καὶ φραγ-
μὸν (θ) περιέθηκα καὶ ἐχαράκωσα (ι)
καὶ ἐφύτευσα ἄμπελον Σωρὴκ (ια)
καὶ ᾠκοδόμησα πύργον (ιβ) ἐν
μέσῳ αὐτοῦ καὶ προλήνιον (ιγ) ὤρυξα
ἐν αὐτῷ καὶ ἔμεινα τοῦ ποιῆσαι
σταφυλὴν (ιδ), ἐποίησε δὲ ἀκάνθας (ιε).
3 [3]καὶ νῦν, ἄνθρωπος τοῦ Ἰούδα
καὶ οἱ ἐνοικοῦντες ἐν Ἱερουσαλήμ,
κρίνατε ἐν ἐμοὶ (ιϛ) καὶ ἀνὰ μέσον
4 τοῦ ἀμπελῶνός μου. [4]τί ποιήσω ἔτι
τῷ ἀμπελῶνί μου καὶ οὐκ ἐποίησα
5 αὐτῷ (ιζ); . . . . [5]. . . ἀφελῶ τὸν
φραγμὸν (ιη) αὐτοῦ, καὶ ἔσται εἰς
διαρπαγήν (ιθ)· καὶ καθελῶ τὸν
τοῖχον (κ) αὐτοῦ, καὶ ἔσται εἰς κατα-
πάτημα (κα)·

(α) τῷ Χριστῷ.
(β) τὸ ἁρμόττον.
(γ) τῷ ἀγαπητῷ.
(δ) περὶ τοῦ ἀμπελῶνός μου.
(ε) ὁ Ἰουδαϊκὸς λαός.
(ϛ) τῷ Χριστῷ.
(ζ) ἐν ταῖς δοθείσαις ἐπαγγελίαις τῷ Ἰσραήλ.
(η) ἐξαιρέτῳ.
(θ) τὸν νόμον.
(ι) ὠχύρωσα τοῖς προστάγμασιν.
(ια) ἐκλεκτήν.
(ιβ) τὴν Ἱερουσαλὴμ διὰ τὸ ἐπίσημον.
(ιγ) τὸν ναὸν διὰ τὰς ἀπαρχὰς τῶν καρπῶν.
(ιδ) καρπὸν ἀραιόν.
(ιε) τὴν παρακοήν· αὕτη γὰρ τῷ Ἀδὰμ τὰς ἀκάνθας ἐγέννησεν.[a]
(ιϛ) ἀνὰ μέσον ἐμοῦ.
(ιζ) τουτέστι ποῖον εἶδος ἐπισκοπῆς f. 70v
ἢ προνοίας παρέλιπον;
(ιη) τὸν νόμον· ταῖς γὰρ ἐν αὐτῷ κατάραις ὡς ἀκάνθαις ὁ Ἰσραὴλ κατείχετο.
(ιθ) αἰσθητὴν καὶ νοητήν.
(κ) ἥνπερ εἶχεν ἐκ προφητῶν ἀσφάλειαν.
(κα) αἰσθητὸν καὶ νοητόν.

3 κρίνατε + δὴ A[3]. 5 καταπάτημα > διαρπαγήν A. 6 οὐ > οὐ μὴ A.

[a] Gen. 3[18].

6 [6]καὶ ἀνήσω (κβ) τὸν ἀμπελῶνά
μου, καὶ οὐ τμηθῇ (κγ) οὐδὲ μὴ
σκαφῇ, καὶ ἀναβήσεται εἰς αὐτὸν
ὡς εἰς χέρσον ἄκανθα (κδ)· καὶ
ταῖς νεφέλαις (κε) ἐντελοῦμαι
τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν (κϛ).
7 [7]ὁ γὰρ ἀμπελὼν κυρίου Σαβαὼθ
οἶκος τοῦ Ἰσραήλ ἐστι, καὶ ἄνθρωπος
τοῦ Ἰούδα νεόφυτον (κζ) ἠγαπη-
μένον· ἔμεινα τοῦ ποιῆσαι κρίσιν,
ἐποίησε δὲ ἀνομίαν (κη) καὶ οὐ
δικαιοσύνην, ἀλλὰ κραυγήν (κθ).

(κβ) καταλείψω ἀφρόνιστον.
(κγ) διδασκαλικοῖς λόγοις οὐ γεωρ-γηθῇ.
(κδ) ὡς εἰς τὰ ἔθνη ἡ πλάνη, πρὶν τὴν χάριν τὴν θεόπνευστον δέξονται.
(κε) τοῖς προφήταις τὸν λόγον τὸν οὐράνιον.
(κϛ) θεῖον λόγον.
(κζ) μετὰ γὰρ πατριάρχας καὶ πολλοὺς δικαίους ὁ Ἰουδαϊκὸς λαὸς ἐφυτεύοντο νόμῳ.
(κη) ὅταν τὸν Χριστὸν παρανόμως ἐσταύρωσαν.
(κθ) ἐκείνην ἣν ἐβόησαν Αἶρε, αἶρε, σταύρου αὐτόν.[a]

5 8-17. Κεφ. ζʹ.

Σχετλιασμὸς κατὰ τῶν ἐν πλεονεξίᾳ καὶ ἐν παρανόμῳ βιούντων τρυφῇ· καὶ ὅπως ἐπ᾽ ἐκείνοις μὲν ὁ ᾅδης ὁ νοητὸς πλατύνεται, ὁ θεὸς δὲ ἐν τῇ κρίσει δοξασθήσεται ἀπολαμβανόντων τότε τῶν δικαίων ὅσα νῦν ἀφηρέθησαν.

8 Οὐαὶ οἱ συνάπτοντες οἰκίαν
9 πρὸς οἰκίαν, . . . [9]ἠκούσθη γὰρ εἰς
τὰ ὦτα κυρίου Σαβαὼθ ταῦτα (α)·
ἐὰν γὰρ γένωνται οἰκίαι πολλαὶ (β),
10 εἰς ἔρημον ἔσονται . . . [10]οὗ γὰρ
ἐργῶνται (γ) δέκα ζεύγη (δ) βοῶν,
ποιήσει κεράμιον ἓν (ε), καὶ ὁ
σπείρων (ϛ) ἀρτάβας ἓξ (ζ) ποιήσει
11 μέτρα τρία (η). [11]οὐαὶ οἱ ἐγειρόμενοι

(α) ἅπερ ὑμεῖς ἐν ἀπληστίᾳ λογίζεσθε.
(β) ἐκ πλεονεξίας.
(γ) μετὰ τοῦ γράμματος καὶ τὸ πνεῦμα νοήσωμεν.
(δ) αἱ ἐντολαὶ τοῦ νόμου διπλαῖ μετὰ τοῦ γράμματος καὶ τὸ πνεῦμα ἐργαζόμεναι.
(ε) τὴν πηγὴν τοῦ βαπτίσματος.
(ϛ) ὁ διδάσκων.
(ζ) τὴν ἑξαήμερον δημιουργίαν.
(η) τὸ τῆς τριάδος μυστήριον· ταῦ-

[a] Io. 19 15.

τὸ πρωὶ (θ) καὶ τὸ σίκερα διώκοντες,
οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος
12 αὐτοὺς συγκαύσει (ι). [12]μετὰ γὰρ
κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων
καὶ αὐλῶν τὸν οἶνον πίνουσι (ια),
τὰ δὲ ἔργα κυρίου οὐκ ἐμβλέπουσι
καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ
13 κατανοοῦσιν (ιβ). [13]τοίνυν αἰχμάλωτος
ὁ λαός μου ἐγενήθη (ιγ) διὰ τὸ μὴ
εἰδέναι αὐτοὺς τὸν κύριον, καὶ πλῆθος
ἐγενήθη νεκρῶν (ιδ) διὰ λιμὸν καὶ
14 δίψος ὕδατος (ιε). [14]καὶ ἐπλάτυνεν
ὁ ᾅδης (ις) τὴν ψυχὴν αὐτοῦ καὶ
διήνοιξε τὸ στόμα αὐτοῦ τοῦ μὴ
διαλείπειν (ιζ), καὶ καταβήσονται
οἱ ἔνδοξοι (ιη) καὶ οἱ μεγάλοι καὶ
οἱ πλούσιοι καὶ οἱ λοιμοὶ αὐτῆς (ιθ)
καὶ ὁ ἀγαλλιώμενος ἐν αὐτῇ (κ).
15 [15]καὶ ταπεινωθήσεται ἄνθρωπος (κα),
καὶ ἀτιμασθήσεται ἀνὴρ (κβ), καὶ οἱ
ὀφθαλμοὶ οἱ μετέωροι (κγ) ταπεινω-
16 θήσονται· [16]καὶ ὑψωθήσεται κύριος
17 Σαβαὼθ ἐν κρίματι (κδ) . . . [17]καὶ
βοσκηθήσονται οἱ διηρπασμένοι ὡς
ταῦροι (κε), καὶ τὰς ἐρήμους τῶν
ἀπειλημμένων ἄρνες φάγονται (κς).

τά φησιν ἐργάζεσθαι δεῖ, πλεονεξίας δὲ ἀπέχεσθαι.

(θ) τουτέστιν οἱ εἰς μέθην ὀρθρίζοντες καὶ σικερίζοντες.

(ι) εἰς ἡδονάς.

(ια) τουτέστιν οὐ μετὰ δοξολογίας θεῷ, ἀλλὰ μετὰ παρανόμων ᾀσμάτων συμποσιάζουσιν.

(ιβ) οἱ γὰρ μέθῃ καὶ ἀσελγείᾳ σχο- f. 71
λάζοντες οὔτε τὰ ποιήματα τοῦ θεοῦ καθαρῶς ὁρᾶν δύνανται οὔτε τὸν ποιητὴν ἐξ αὐτῶν ὃν δεῖ τρόπον στοχάζεσθαι.

(ιγ) τῷ διαβόλῳ· ἀποκλείει γὰρ τὴν γνῶσιν ἡ ἀσέλγεια.

(ιδ) ἀπίστων.

(ιε) διὰ σπάνιν θεογνωσίας.

(ις) ὁ νοητὸς, ὁ διάβολος.

(ιζ) ὥστε μὴ παύσασθαι καταπίνων τοὺς ἐξ ἀπιστίας ἀποθνήσκοντας.

(ιη) οἱ τοῦ παρόντος βίου.

(ιθ) τῆς παρούσης πολιτείας.

(κ) ἐν τῇ κοσμικῇ φαντασίᾳ.

(κα) ὁ μὴ φυλάξας τὸ τοῦ ἀνθρώπου ἀξίωμα.

(κβ) ὅστις τὴν ἐν ἀρεταῖς ἀνδρείαν οὐ κατώρθωσεν.

(κγ) οἱ ὑπερήφανοι.

(κδ) ἐν τῇ κρίσει πρόσωπον μὴ λαβεῖν ἀνεχόμενος.

(κε) ἐν τῷ αἰῶνι τῷ μέλλοντι πάντες οἱ νῦν ἀδικηθέντες τρυφήσουσιν.

(κς) τουτέστι τοὺς κλήρους τῶν ἀπολειφθέντων τῇ κατακρίσει οἱ δίκαιοι φάγονται· ἔρημοι γὰρ ὡς κληρονόμους μὴ ἔχοντες οἱ κλῆροι οὓς ἀπώλεσαν οἱ ἁμαρτωλοὶ λέγονται.

13 δίψος > δεῖψαν A. 14 καὶ ὁ ἀγαλλιώμενος ἐν αὐτῇ om. A (etiam A[3]) BS.

5^{18-30} Κεφ. η'.

Ταλανισμὸς τῶν ἁμαρτίας ἁμαρτίαις συναπτόντων καὶ τὰ καλὰ διαβαλλόντων, τὰ κακὰ δὲ συνιστώντων καὶ ἐπὶ σοφίᾳ οἰκείᾳ θαρρούντων, μέθῃ δὲ καὶ δωροδοκίᾳ σχολαζόντων· καὶ προφητεία ὧν οὗτοι τιμωρεῖσθαι μέλλουσι· καὶ ὑπόσχεσις κλήσεως ἐθνῶν καὶ ἀποστολικοῦ κηρύγματος καὶ θορύβου ὃν ἐντεῦθεν ἔμελλεν ὁ διάβολος πείσεσθαι.

18 Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁ-
μαρτίας (α) ὡς σχοινίῳ μακρῷ καὶ ὡς
ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας,
19 [19]οἱ λέγοντες Τὸ τάχος ἐγγισάτω ἃ
20 ποιήσει (β), ἵνα ἴδωμεν . . . . [20]οὐαὶ
. . . οἱ τιθέντες τὸ σκότος φῶς (γ)
καὶ τὸ φῶς σκότος (δ), οἱ τιθέντες
τὸ πικρὸν γλυκὺ (ε) καὶ τὸ γλυκὺ
21 πικρόν. [21]οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς
καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες (ϛ).
22 [22]οὐαὶ οἱ ἰσχύοντες ὑμῶν οἱ τὸν
οἶνον πίνοντες (ζ), καὶ οἱ δυνάσται
23 οἱ κεραννύντες τὸ σίκερα, [23]οἱ
δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων
καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες (η).
24 [24]διὰ τοῦτο ὃν τρόπον καυθήσεται
καλάμη ὑπὸ ἄνθρακος πυρὸς καὶ συγ-
καυθήσεται ὑπὸ φλογὸς ἀνειμένης (θ),
ἡ ῥίζα αὐτῶν ὡς χνοῦς ἔσται . . .
οὐ γὰρ ἠθέλησαν τὸν νόμον κυρίου

(α) τουτέστιν οἱ ταῖς ἑξῆς ἁμαρτίαις προσδεσμοῦντες τὰς ἔμπροσθεν καὶ μακροτέρας αὐτὰς καθ' ἑαυτῶν ἐργαζόμενοι.

(β) ὁ κριτής· ἔθος γὰρ τοῖς παρανόμοις ἐξ ἀλαζονείας προκαλεῖσθαι καὶ φαυλίζειν τοῦ θεοῦ τὸ κριτήριον.

(γ) ἐν τῷ τὰ ἔργα τοῦ σκότους ἐπαινεῖν.

(δ) ἐν τῷ σκώπτειν τὰ ἔργα τοῦ φωτός.

(ε) οἱ διὰ χάριν ἢ ἀπέχθειαν παρερμηνεύοντες τὴν ἀληθῆ τοῦ πράγματος ὑπόστασιν.

(ϛ) τουτέστιν οἱ φυσιούμενοι[a] ὡς σοφίαν ἐξ ἑαυτῶν ἢ ἐπιστήμην ἔχοντες.

(ζ) νήφειν γὰρ ὀφείλουσιν οἱ ἐν δυνάμει μάλιστα.

(η) ἀφαιρούμενοι ἐν τῷ κρίνειν ἢ f. 71v
συνηγορεῖν ἀδίκως.

(θ) τουτέστι μαλθακῶς καὶ ἰσχυρῶς· τοιαύτη γὰρ ἡ τοῦ θεοῦ κρίσις· μετὰ μακροθυμίας μὲν, δυνατὴ δὲ ἐπέρχεται.

Κεφ. η': τὰ κακὰ δὲ > τὰ δὲ κακὰ C. ὃν ἐντεῦθεν > ὧν ἐντεῦθεν C. πείσεσθαι > πεύσεσθαι C. ἐπείσεσθαι V. 22 κεραννύντες > κεραυνύντες A. 23 αἴροντες + ἀπ' αὐτοῦ A^3. 24 Ἰσραὴλ praem. ἁγίου A^3.

[a] I. Cor. 8^{1}.

Σαβαὼθ (ι), ἀλλὰ τὸ λόγιον τοῦ
25 Ἰσραὴλ παρώξυναν. [25]καὶ ἐθυμώθη
ὀργῇ κύριος Σαβαὼθ εἰς τὸν λαὸν
αὐτοῦ (ια) καὶ ἐπέβαλε τὴν χεῖρα
αὐτοῦ (ιβ) ἐπ' αὐτοὺς καὶ ἐπάταξεν
αὐτούς· καὶ παρωξύνθη τὰ ὄρη (ιγ),
καὶ ἐγενήθη τὰ θνησιμαῖα αὐτῶν (ιδ)
ὡς κόπρια ἐν μέσῳ ὁδοῦ (ιε)· ἐν
πᾶσι τούτοις οὐκ ἀπεστράφη (ις) ὁ
θυμὸς (ιζ), ἀλλ' ἔτι ἡ χεὶρ ὑψη-
26 λή (ιη). [26]τοιγαροῦν ἀρεῖ (ιθ) σύσση-
μον (κ) ἐν τοῖς ἔθνεσι τοῖς μακρὰν
καὶ συριεῖ (κα) αὐτοὺς ἐπ' ἄκρου τῆς
γῆς, καὶ ἰδοὺ ταχὺ κούφως ἔρχον-
27 ται (κβ). [27]οὐ πεινάσουσιν (κγ) οὐδὲ
κοπιάσουσιν (κδ) οὐδὲ νυστάξουσιν (κε)
οὐδὲ κοιμηθήσονται (κς) οὐδ' οὐ
μὴ λύσουσι τὰς ζώνας αὐτῶν (κζ)
ἀπὸ τῆς ὀσφύος αὐτῶν, οὐδὲ μὴ
ῥαγῶσιν οἱ ἱμάντες τῶν ὑποδημά-
28 των αὐτῶν (κη)· [28]ὧν τὰ βέλη (κθ)
ὀξέα ἐστί, καὶ τὰ τόξα (λ) αὐτῶν
ἐντεταμένα· οἱ πόδες τῶν ἵππων (λα)
αὐτῶν ὡς στερεὰ πέτρα ἐλογίσθη-
σαν (λβ), οἱ τροχοὶ τῶν ἁρμάτων
αὐτῶν ὡς καταιγίς (λγ).

(ι) οὐ βουληθέντες τὰς ἀρετὰς ἐργάζεσθαι.
(ια) τὸν Ἰουδαϊκόν.
(ιβ) τὴν παιδευτικήν.
(ιγ) τοῦ γὰρ ἀνθρώπου μαστιζομένου καὶ ἡ κτίσις ταράττεται.
(ιδ) τῶν παρανόμων.
(ιε) ἄτιμα καὶ παρὰ πάντων πατούμενα.
(ις) οὐκ ἐπαύσατο.
(ιζ) τοῦ κριτοῦ.
(ιη) κατὰ τῶν παρανόμων εἰς μάστιγας.
(ιθ) εἰς ὕψος.
(κ) τὸ τοῦ Χριστοῦ σημεῖον.
(κα) κελεύει τῷ εὐαγγελικῷ κηρύγματι.
(κβ) κοῦφος γὰρ ὁ ζυγὸς τῆς χάριτος.[a]
(κγ) ἐπειδὴ τὸν ἄρτον ἔχουσι τῆς ζωῆς.[b]
(κδ) τὸ γὰρ φορτίον ἐλαφρὸν τὸ τῆς χάριτος.[c]
(κε) οὐ ῥαθυμήσουσιν.
(κς) τὸν ἐν ἡδονῇ ὕπνον.
(κζ) τὰς ἀρετάς· ταύτας γὰρ οἱ πιστοὶ περιζώννυνται.
(κη) οἱ λόγοι τῶν θείων ἐντολῶν· αὐτοῖς γὰρ τὰ τῆς ψυχῆς ὑποδήματα σφίγγεται.
(κθ) τὰ τῆς ὁμολογίας ῥήματα.
(λ) ἡ πίστις καὶ ὁ ζῆλος.
(λα) τῶν ἀποστόλων.
(λβ) οὐδὲ γὰρ ἔκαμνον τρέχοντες.
(λγ) οἱ δρόμοι τῶν εὐαγγελίων διὰ τὴν σφοδρότητα.

24 Ἰσραὴλ A[3] praem. ἁγίου. 25 ὁ θυμὸς + αὐτοῦ A[3]. 27 πεινάσουσιν οὐδὲ om. A, non item Hes. (vide κγ). λύσουσι sic Hes. (vide κζ).

[a] Mat. 11[30]. [b] Io. 6[35]. [c] Mat. 11[30].

29 [29] ὁρμῶσιν (λδ) ὡς λέοντες (λε), καὶ
παρεστήκασιν ὡς σκύμνος λέοντος·
καὶ ἐπιλήψεται καὶ βοήσεται ὡς θη-
ρίον (λϛ) καὶ ἐκβαλεῖ (λζ) . . .
30 [30] καὶ βοήσεται δι' αὐτοὺς ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ (λη) ὡς φωνὴ θα-
λάσσης κυμαινούσης· καὶ ἐμβλέψον-
ται εἰς τὴν γῆν (λθ), καὶ ἰδοὺ σκότος
σκληρὸν ἐν τῇ ἀπορίᾳ αὐτῶν (μ).

(λδ) κατὰ τῆς ἀσεβείας ὠρύονται. f. 72
(λε) τουτέστι λεόντων ἔχουσιν ἀκμαζόντων φρόνημα καὶ παράστημα.
(λϛ) τῶν ἀποστόλων ἕκαστος· θηρία γὰρ ὡς περὶ τὴν θήραν τῆς εὐσεβείας ἠσχολημένοι λέγονται.
(λζ) ἐκ τῆς γῆς ἐξορίσει τοὺς δαίμονας.
(λη) ὁ διάβολος διὰ τὸν χειμῶνα ὃν καὶ αὐτὸς ἐν τῷ καιρῷ, ὅταν οἱ δαίμονες διωχθῶσιν, ὑφίσταται.
(λθ) οἱ τοῖς γηΐνοις θαρρήσαντες.
(μ) ὁρώντων τὰ τῆς γηΐνης πολιτείας καταλυόμενα φάσματα.

6[1—13]. Κεφ. θ'.

Θεωρία δόξης θεοῦ καὶ τῆς τῶν Σεραφὶμ στάσεώς τε καὶ ὑμνῳδίας· καὶ χειροτονία τοῦ προφήτου κατηγορῆσαι τῶν Ἰουδαίων πεμφθέντος καὶ κηρύξαι ἅπερ ἐκ τῆς ὑπακοῆς ἔμελλον ὑποστήσεσθαι.

6 1 Καὶ ἐγένετο . . . εἶδον τὸν κύριον
καθήμενον ἐπὶ θρόνου (α) ὑψηλοῦ
καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος
2 τῆς δόξης αὐτοῦ (β). [2] καὶ Σερα-
φὶμ (γ) εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ
πτέρυγες τῷ ἑνὶ καὶ ἓξ πτέρυγες
τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ κατ-
εκάλυπτον τὸ πρόσωπον (δ) καὶ ταῖς
δυσὶ κατεκάλυπτον τοὺς πόδας (ε)
3 καὶ ταῖς δυσὶν ἐπέταντο. [3] καὶ ἐκ-
έκραγον ἕτερος πρὸς τὸν ἕτερον (ϛ)

(α) τῶν Χερουβίμ.
(β) ὁ οὐρανός.
(γ) δυνάμεις ἔμπυροι καὶ οὐράνιοι· Σεραφὶμ γὰρ ἐμπρησμὸς ἑρμηνεύεται.
(δ) εἰς ἔνδειξιν, ὅτι ἀόρατος ὁ θεὸς ᾧ παρίστανται.
(ε) εὐλαβούμενοι τὰς ἀστραπὰς τῆς θεότητος καὶ τοὺς δρόμους ἀσφαλιζόμενοι.
(ϛ) τὴν δοξολογίαν ἀντιφωνοῦντες.

---

29 ὁρμῶσιν AS. ὀργιῶσιν B. Κεφ. θ': Σεραφεὶμ C. κηρύξαι > κήρυξ CO. 2 Σεραφεὶν AS. τὸ πρόσωπον + ἑαυτῶν A[3]. τοὺς πόδας + ἑαυτῶν A[3].

(λη) ὑφίσταται > ὑφίστανται F.

καὶ ἔλεγον Ἅγιος ἅγιος ἅγιος κύ-
4 ριος Σαβαὼθ (ζ) . . . 4 καὶ ἐπήρθη
τὸ ὑπέρθυρον (η) ἀπὸ τῆς φωνῆς ἧς
ἐκέκραγον, καὶ ὁ οἶκος ἐπλήσθη κα-
5 πνοῦ (θ). 5 καὶ εἶπα Ὦ τάλας ἐγώ,
ὅτι κατανένυγμαι (ι), ὅτι ἄνθρωπος
ὢν καὶ ἀκάθαρτα χείλη ἔχων ἐν
μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχον-
τος ἐγὼ οἰκῶ καὶ τὸν βασιλέα κύ-
ριον Σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς
6 μου (ια). 6 καὶ ἀπεστάλη πρὸς μὲ ἓν
τῶν Σεραφὶμ, καὶ ἐν τῇ χειρὶ εἶχεν
ἄνθρακα πυρὸς (ιβ) ὃν τῇ λαβί-
δι (ιγ) ἔλαβεν ἀπὸ τοῦ θυσιαστη-
7 ρίου (ιδ), 7 καὶ ἥψατο τοῦ στόματός
μου καὶ εἶπεν Ἰδοὺ ἥψατο τοῦτο
τῶν χειλέων σου καὶ ἀφελεῖ τὰς ἀνο-
8 μίας σου (ιε) . . . 8 καὶ ἤκουσα τῆς
φωνῆς κυρίου λέγοντος Τίνα ἀπο-
στείλω, καὶ τίς πορεύσεται πρὸς τὸν
9 λαὸν τοῦτον (ις); . . . 9 καὶ εἶπε
Πορεύθητι καὶ εἰπὸν τῷ λαῷ τού-
τῳ (ιζ) Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ
συνῆτε (ιη), καὶ βλέποντες βλέψετε
10 καὶ οὐ μὴ ἴδητε (ιθ) . 10 ἐπαχύνθη
γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου (κ),
καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκου-
11 σαν (κα) . . . 11 καὶ εἶπα Ἕως
πότε, κύριε; καὶ εἶπεν Ἕως ἂν

(ζ) τρὶς τὸ «ἅγιος», ἅπαξ δὲ τὸ «κύριος»· τρία γὰρ τὰ τῆς τριάδος πρόσωπα, εἷς δὲ ὁ ἐν αὐτῇ δοξολογούμενος κύριος.

(η) τὸ τῆς ἡμετέρας ἀγνωσίας καταπέτασμα.

(θ) ἡ ἄνω Ἱερουσαλὴμ τῆς ἀτμίδος τοῦ πνεύματος ὅπερ ἡ ἐκκλησία περίκειται, περὶ ἧς ἐν τοῖς Ἄσμασιν εἴρηται «Ὡς στελέχη καπνοῦ τεθυμιαμένη σμύρναν καὶ λίβανον ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ.»[a]

(ι) ὑπὸ τοῦ φόβου τὴν διάνοιαν τέτρωμαι.

(ια) τουτέστιν ἀκάθαρτος ὢν καὶ ἀκαθάρτου λαοῦ διδάσκαλος τῆς τοῦ καθαροῦ θεοῦ θεωρίας ἠξίωμαι.

(ιβ) τὸ θεῖον μυστήριον.

(ιγ) τῷ νόμῳ καὶ τῇ χάριτι.

(ιδ) τοῦ θρόνου τοῦ θεοῦ.

(ιε) οὔπω γὰρ τῆς τοῦ μυστηρίου f. 72 v
καιρὸς ὑπῆρχε βρώσεως, καὶ διὰ τοῦτο οὐκ εἶπεν «ἀφεῖλεν», ἀλλὰ «ἀφελεῖ τὰς ἀνομίας σου».

(ις) τουτέστι τίς εἰς τὴν ἀποστολὴν ἑαυτὸν ἐπιδίδωσι; πανταχοῦ γὰρ ὁ θεὸς ἡμῖν φυλάττει τὸ αὐτεξούσιον.

(ιζ) τῷ Ἰουδαϊκῷ.

(ιη) ἐπειδὴ ῥαθύμως καὶ παρέργως ἀκούετε.

(ιθ) οὐδὲ γὰρ τοῖς ὀφθαλμοῖς ἰδεῖν τῆς διανοίας βούλεσθε.

(κ) ὑπὸ τῶν βιωτικῶν περισπασμῶν.

(κα) φεύγουσι γὰρ τοὺς ὑπὲρ εὐ-

6 Σεραφεὶμ A. ἐν τῇ χειρὶ + αὐτοῦ A[8]. 9 ἀκούσετε > ἀκούσητε A.

[a] Cant. 3[6].

ἐρημωθῶσι πόλεις (κβ) παρὰ τὸ μὴ κατοικεῖσθαι (κγ), καὶ οἶκοι (κδ) παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, καὶ ἡ γῆ (κε) καταλειφθήσεται ἔρημος.
12 [12] καὶ μετὰ ταῦτα (κϛ) μακρυνεῖ (κζ) ὁ θεὸς τοὺς ἀνθρώπους, καὶ οἱ καταλειφθέντες (κη) πληθυνθήσονται ἐπὶ
13 τῆς γῆς, [13] καὶ ἔτι ἐπ' αὐτῆς (κθ) ἐστι τὸ ἐπιδέκατον (λ), καὶ πάλιν ἔσται εἰς προνομὴν (λα) ὡς τερέβινθος (λβ) καὶ ὡς βάλανος (λγ), ὅταν ἐκπέσῃ ἐκ τῆς θήκης αὐτῆς.

σεβείας πόνους καὶ τούτου χάριν καὶ τὴν σωτηρίαν τὴν ἐξ αὐτῆς ἀποστρέφονται.
(κβ) αἱ τῆς Ἰουδαϊκῆς πολιτείας.
(κγ) ἀφανιζομένης τῆς πολιτείας τοῦ γράμματος.
(κδ) αἱ συναγωγαὶ πορθουμένου τοῦ Ἰουδαϊκοῦ λαοῦ.
(κε) ἡ Ἰουδαία.
(κϛ) μετὰ τὴν Ἰουδαϊκὴν πόρθησιν.
(κζ) ἐγχρονίσαι ποιήσει τοῖς οἰκείοις ἀγαθοῖς.
(κη) οἱ ἐκ περιτομῆς ἐπιστρέψαντες.
(κθ) τῆς Ἰουδαίας.
(λ) οἱ τοῦ Ἰουδαϊκοῦ λαοῦ φυλάσσοντες τὰς δέκα ἐντολάς.
(λα) εἰς διαρπαγήν.
(λβ) δρῦς.
(λγ) τροφὴ γὰρ χοίρων ἡ βάλανος ὥσπερ δαιμόνων ἡ συναγωγὴ τῆς θήκης αὐτῆς, τῆς νομικῆς δηλαδὴ πολιτείας, ἐκπίπτουσα.

7[1—9]. Κεφ. ι'.

Διήγησις τῆς τοῦ βασιλέως Συρίας καὶ τοῦ βασιλέως Σαμαρείας κατὰ τοῦ βασιλέως τῆς Ἰουδαίας ἐπαναστάσεως· καὶ πρόσταγμα τοῦ θεοῦ πρὸς τὸν προφήτην παραθαρρῦνον τὸν βασιλέα τῆς Ἰουδαίας ὡς τῶν ἐπαναστάντων κατ' αὐτοῦ μάταια βουλευσαμένων, μελλούσης δὲ τῆς Σαμαρείας ὑπὸ τὴν βασιλείαν Ἀσσυρίων γενήσεσθαι.

7 1 Καὶ ἐγένετο . . . ἀνέβη Ῥασὶν βασιλεὺς Ἀρὰμ (α) καὶ Φακεὲ υἱὸς Ῥομελίου βασιλεὺς Ἰσραὴλ ἐπὶ
2 Ἱερουσαλὴμ . . . [2]. . . καὶ ἐξέστη

(α) Συρίας.

---

13 ἐκπέσῃ B Hes. (vide λγ), ἐκσπασθῇ ἀπὸ τῆς A. A[3] in fine add. σπέρμα ἅγιον τὸ στήλωμα αὐτῆς. Κεφ. ι': τῆς τοῦ βασιλέως Συρίας καὶ om. Migne. παραθαρρῦνον > παραθαρρύνοντα Migne. μάταια > μάτεα O. βουλευσαμένων > βουλευομένων V. μελλούσης δὲ > μελλούσης τε V.
1 Ῥασὶν > Ῥαασσῶν AS.

3 ἡ ψυχὴ αὐτοῦ (β) . . . [3] καὶ εἶπε
κύριος πρὸς Ἡσαΐαν Ἔξελθε εἰς
συνάντησιν Ἄχαζ σὺ καὶ ὁ κατα-
λειφθεὶς (γ) Ἰασοὺβ ὁ υἱός σου . . .
4 [4] καὶ ἐρεῖς αὐτῷ Φύλαξαι (δ) τοῦ
ἡσυχάσαι καὶ μὴ φοβοῦ, μηδὲ ἡ
ψυχή σου ἀσθενείτω (ε) ἀπὸ τῶν δύο
ξύλων (ϛ) τῶν δαλῶν τῶν καπνιζο-
5 μένων τούτων . . . [5] καὶ ὁ υἱὸς (ζ) τοῦ
Ἀρὰμ καὶ ὁ υἱὸς τοῦ Ῥομελίου, ὅτι
ἐβουλεύσαντο βουλὴν πονηρὰν περὶ σοῦ
6 λέγοντες [6] Ἀναβησόμεθα εἰς τὴν Ἰου-
δαίαν, καὶ συλλαλήσαντες αὐτοῖς (η)
ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς καὶ
βασιλεύσομεν (θ) αὐτοῖς τὸν υἱὸν Τα-
7 βεήλ· [7] τάδε λέγει κύριος Σαβαώθ
Οὐ μὴ ἐμμείνῃ (ι) ἡ βουλὴ αὕτη οὐδὲ
8 ἔσται, [8] ἀλλ' ἡ κεφαλὴ Ἀρὰμ (ια)
Δαμασκὸς, καὶ ἡ κεφαλὴ (ιβ) Ῥα-
σίμ· ἀλλ' ἔτι ἑξήκοντα καὶ πέντε
ἐτῶν (ιγ) ἐκλείψει ἡ βασιλεία
9 Ἐφραὶμ ἀπὸ λαοῦ, [9] καὶ ἡ κεφαλὴ
Ἐφραὶμ Σομορὼν (ιδ) . . . καὶ ἐὰν
μὴ πιστεύσητε (ιε), οὐδὲ μὴ συνῆτε.

(β) τοῦ βασιλέως Ἰούδα. f. 73
(γ) περιλειφθείς· ὥστε δῆλον ὅτι καὶ ἑτέρους υἱοὺς ἀποβαλὼν ὁ προφήτης ἐτύγχανεν.
(δ) τουτέστι διεγέρθητι.
(ε) δειλιάτω.
(ϛ) τοῦ βασιλέως Ἐφραὶμ καὶ τοῦ βασιλέως Συρίας.
(ζ) ὁ λαὸς καὶ ὁ τούτων βασιλεύς.
(η) ἅμα πρὸς αὐτοὺς λαλήσαντες.
(θ) βασιλέα καλέσομεν.
(ι) τουτέστιν ἀκυρωθήσεται.
(ια) ἀρχὴ Συρίας.
(ιβ) τουτέστι Δαμασκοῦ.
(ιγ) μετὰ γὰρ ἑξήκοντα καὶ πέντε ἔτη Ἀσσύριοι τὰς ὑπὸ τοῦ Ἐφραὶμ φυλὰς αἰχμαλώτους παρέλαβον.
(ιδ) Σαμαρίας ἣν καλοῦσι Σεβαστήν· αὕτη γὰρ ἦν τῆς τοῦ Ἐφραὶμ βασιλείας μητρόπολις.
(ιε) τὰ μυστήρια τὰ τοῦ Χριστοῦ· ταῦτα γὰρ ἐν τοῖς ἑξῆς αἰνίττεται.

7 10—25. Κεφ. ια'.

Προφητεία τῆς τοῦ σωτῆρος ἐκ τῆς παρθένου τῆς θεοτόκου γενέσεως, καὶ ὧν ὁ Χριστὸς θαυματουργεῖν ἔτι βρέφος ὢν ἔμελλεν, αὐτήν τε τὴν Ἰουδαίαν εὐεργετῶν καὶ τὰ ἔθνη καλῶν καὶ τὸν διάβολον καταργῶν καὶ τὴν χάριν πηγάζων καὶ τὴν ἀκαρπίαν τῆς γῆς εἰς ἀρετῶν καρπογονίαν μεταβάλλων.

10 [10] Καὶ προσέθετο κύριος λα-
11 λῆσαι τῷ Ἄχαζ λέγων [11] Αἴτησαι
σεαυτῷ (α) σημεῖον παρὰ κυρίου θεοῦ

(α) τουτέστιν εἰς ὠφέλειαν σήν· f. 73v
κοινὸν γὰρ τοῦ βασιλέως τὸ χρήσιμον.

3 ὁ υἱός σου BS Hes. (vide γ); ὁ ἀδελφός σου A. 5 περὶ σοῦ + Ἐφραὶμ καὶ ὁ υἱὸς Ῥωμελίου A[8]. 6 Ἰουδαίαν > Ἰδουμαίαν A. ἀποστρέψωμεν A. 8 Ῥασίμ (Ῥασείν A) AB praem. Δαμασκοῦ, quod Hes. non legisse ex (ιβ) concludimus. Κεφ. ια': γενέσεως > γεννήσεως OV Migne. αὐτήν τε > αὐτὴν δὲ OV Migne. καὶ τὰ > καὶ τῶν V. μεταβάλλων > μεταβαλών O Migne. 10 Ἄχααζ A.

σου εἰς βάθος (β) ἢ εἰς ὕψος (γ).
13 . . . [13] καὶ εἶπεν Ἀκούσατε δή,
οἶκος Δαυίδ (δ)· μὴ μικρὸν ὑμῖν
ἀγῶνα παρέχειν ἀνθρώποις (ε), καὶ
πῶς κυρίῳ παρέχετε ἀγῶνα (ϛ);
14 [14] διὰ τοῦτο δώσει κύριος αὐτὸς (ζ)
ὑμῖν σημεῖον· ἰδοὺ ἡ παρθένος
ἐν γαστρὶ λήψεται (η) καὶ τέξεται
υἱὸν (θ), καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ
15 Ἐμμανουήλ (ι)· [15] βούτυρον καὶ μέλι
φάγεται (ια) πρὶν ἢ γνῶναι αὐτὸν
προελέσθαι πονηρά, ἐκλέξασθαι τὸ
16 ἀγαθόν· [16] διότι πρὶν ἢ γνῶναι τὸ
παιδίον ἀγαθὸν ἢ κακὸν (ιβ), ἀ-
πειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ
ἀγαθόν· καὶ καταλειφθήσεται ἡ γῆ ἣν
σὺ φοβῇ ἀπὸ προσώπου τῶν δύο βα-
17 σιλέων (ιγ). [17] ἀλλὰ ἐπάξει ὁ θεὸς
ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου καὶ
ἐπὶ τὸν οἶκον τοῦ πατρός σου (ιδ)
ἡμέρας (ιε) αἳ οὔπω ἥκασιν ἀφ᾽ ἧς
ἡμέρας ἀφεῖλεν Ἐφραὶμ ἀπὸ Ἰούδα
18 τὸν βασιλέα τῶν Ἀσσυρίων. [18] καὶ
ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συριεῖ
κύριος μυίαις, ὃ κυριεύει μέρους πο-

(β) εἰς ᾅδην.
(γ) τουτέστιν ὑπὸ γῆν ἢ ὑπὲρ γῆν· ἐν τούτοις γὰρ τοῦ Χριστοῦ σαρκωθέντος καὶ σταυρωθέντος καὶ ἀναστάντος καὶ ἀναληφθέντος τὸ μυστήριον.
(δ) ὁ Ἰουδαϊκὸς λαός.
(ε) τουτέστι πολεμεῖν· οὐδὲ γὰρ οὐδ᾽ ὁ πρὸς ἀνθρώπους πόλεμος ἀκίνδυνος.
(ϛ) θεομαχοῦντες διὰ παρακοῆς καὶ ὑποκρίσεως.
(ζ) τουτέστιν ἐν ἑαυτῷ καὶ ἐξ ἑαυτοῦ.
(η) ἐκ πνεύματος ἁγίου.
(θ) τὸν Χριστόν.
(ι) Μεθ᾽ ἡμῶν ὁ θεός.
(ια) νόμος γὰρ αὐτοῦ καὶ χάρις τροφὴ βρέφους ὄντος τῇ σαρκί· τούτου γὰρ χάριν μήπου καλῶν ἢ κακῶν διάκρισιν ἔχειν λέγεται.
(ιβ) ἃ γὰρ ἀγνοεῖ τῇ σαρκί, τούτου τὴν γνῶσιν τῆς θεότητος κέκτηται.
(ιγ) ἐλευθερωθήσεται ἀπὸ τῆς ἁμαρτίας καὶ τοῦ θανάτου· ἑκάτερος γὰρ ἐπὶ τὸν ἄνθρωπον ὃν ἐκάλεσε γῆν μετὰ τὴν πρόσκρουσιν τοῦ Ἀδὰμ ἐβασίλευσεν.
(ιδ) ἐπὶ τὴν ἀνθρωπότητα· διὰ γὰρ τὴν εἰκόνα οἶκος αὕτη τοῦ θεοῦ ὃν πατέρα ὁ Ἰσραὴλ ἐκέκτητο.
(ιε) τουτέστιν ἥξει σοι καιρὸς διὰ τῆς χάριτος τοῦ Χριστοῦ οἷος οὐδὲ διὰ Ἰωάννου τοῦ βαπτιστοῦ ὅστις τῇ καρποφορίᾳ τῶν ἀγαθῶν ἔρ-

14 αὐτὸς ὑμῖν Hes. (vide ζ), αὐτοῖς ὑμῖν A. λήψεται > ἕξει A.
15 ἐκλέξασθαι > ἐκλέξεται A. 16 τῶν δύο βασιλέων > αὐτῶν A.

ταμοῦ Αἰγύπτου (ις), καὶ τῇ μελίσ-
σῃ (ιζ) ἥ ἐστιν ἐν χώρᾳ Ἀσσυρίων·
19 [19] καὶ ἐλεύσονται (ιη) πάντες (ιθ)
καὶ ἀναπαύσονται ἐν ταῖς φάραγξι
τῆς χώρας καὶ ἐν ταῖς τρώγλαις
τῶν πετρῶν καὶ εἰς τὰ σπήλαια καὶ
ἐπὶ πᾶσαν ῥαγάδα καὶ ἐν παντὶ ξύ-
20 λῳ (κ). [20] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ (κα)
ξυρήσει κύριος τῷ ξυρῷ τῷ μεγάλῳ
καὶ μεμισθωμένῳ (κβ) πέραν τοῦ
ποταμοῦ βασιλέως Ἀσσυρίων (κγ)
τὴν κεφαλὴν καὶ τὰς τρίχας τῶν
ποδῶν καὶ τὸν πώγωνα ἀφελεῖ.
21 [21] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
θρέψει ἄνθρωπος δάμαλιν βοῶν (κδ)
22 καὶ δύο πρόβατα (κε)· [22] καὶ ἔσται
ἀπὸ τοῦ πλεῖστον πιεῖν γάλα (κς),
οβύτυρον καὶ μέλι φάγεται πᾶς ὁ

γων — Ἐφραῒμ γὰρ καρποφορία — ἀπὸ παντὸς ἐξομολογουμένου — τοῦτο γὰρ Ἰούδας — ἀφεῖλε τὸν διάβολον.

(ις) καλέσει τὰ ἔθνη τὰ Αἰγύπτια ἅπερ μέρος τοῦ Νείλου κυριεύει· τὸ πλέον γὰρ αὐτοῖς παρὰ τοῖς Ἰνδοῖς φέρεται.

(ιζ) τοῖς ἔθνεσι· ταῦτα γὰρ μυίαι πρότερον διὰ τὸ ῥυπαρὸν τῆς ἀσεβείας, μέλισσαι δὲ ὕστερον διὰ τὴν μετὰ ταῦτα ἐργασίαν τῆς εὐσεβείας λέγονται.

(ιη) εἰς τὴν νέαν Ἱερουσαλήμ.

(ιθ) οἱ τὸν ἐν ἐρήμῳ βίον φιλοσοφοῦντες.

(κ) ἐν πάσῃ ξυλίνῃ σκηνῇ.

(κα) ἐν τῷ καιρῷ τῆς εὐαγγελικῆς χάριτος.

(κβ) τῇ ἀποστολικῇ γλώσσῃ ἣν διὰ τῆς κλήσεως ὁ Χριστὸς ἐμισθώσατο.

(κγ) τοῦ διαβόλου· πέραν γὰρ οὗτος τοῦ ποταμοῦ τῆς χάριτος μὴ τολμῶν διαβῆναι τὸ βάπτισμα· τούτου ξυρᾷ Χριστὸς ἀρχὴν καὶ τέλος, εἰδωλολατρίαν καὶ τὰς ἡδονὰς καὶ τὴν Ἑλληνικὴν σοφίαν· ὡς ἐπὶ πώγωνι γὰρ αὕτη σημύνεται.

(κδ) τὴν εὐαγγελικὴν χάριν. f. 74

(κε) νόμον καὶ προφήτας.

(κς) διδασκαλίαν ἄλογον περὶ ἧς

20 τῷ ξυρῷ A^3 praem. ἐν. μεμισθωμένῳ B Hes. (vide κβ), μεμεθυσμένῳ AS. πέραν A praem. ὅ ἐστι. τὸν πώγωνα A^3 praem. ἔτι. 22 πιεῖν > ποιεῖν A. βούτυρον A^3 praem. φάγεται βούτυρον· ὅτι. (κγ) αὔτη > ταύτη F.

καταλειφθεὶς (κζ) ἐπὶ τῆς γῆς.
23 [23] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
πᾶς τόπος (κη) οὗ ἐὰν ὦσι χίλιαι
ἄμπελοι χιλίων σίκλων (κθ), εἰς χέρ-
24 σον ἔσονται καὶ ἄκανθαν· [24] μετὰ
βέλους (λ) καὶ τοξεύματος εἰσελεύ-
σονται ἐκεῖ, ὅτι χέρσος καὶ ἄκανθα
25 ἔσται πᾶσα ἡ γῆ (λα)· [25] καὶ πᾶν
ὄρος ἠροτριωμένον ἀροτριωθήσεται·
καὶ οὐ μὴ ἐπέλθῃ ἐκεῖ φόβος (λβ)·
ἔσται γὰρ ἀπὸ τῆς χέρσου καὶ ἀκάν-
θης εἰς βόσκημα προβάτου καὶ εἰς
καταπάτημα βοός (λγ).

καὶ Πέτρος «Τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε.»[a]

(κζ) τραφήσεται πᾶς ὁ καταλειφθεὶς τῷ νόμῳ καὶ τῇ χάριτι.

(κη) Ἰουδαϊκός.

(κθ) αἱ τέλειαι ἀρεταὶ αἱ διὰ τελείας διδασκαλίας κατορθούμεναι· ἄκαρποι καὶ τραχεῖαι διὰ τὴν Ἰουδαϊκὴν ῥαθυμίαν γενήσονται.

(λ) τοῦ ἀποστολικοῦ λόγου· δι' αὐτοῦ γὰρ αἱ ἐξερημωθεῖσαί ποτε χῶραι τῶν ἀρετῶν βαταὶ νῦν γεωργηθεῖσαι γεγόνασιν.

(λα) ἡ γὰρ τῶν Ἰουδαίων κακία αἰτία τῇ γῇ τῆς τῶν ἀρετῶν ἀκαρπίας ἐτύγχανεν· ἀλλὰ γὰρ διὰ τῶν ἀποστόλων καὶ τὰ ὄρη, δηλαδὴ τῶν ψυχῶν, γεωργεῖται τὰ ἄκαρπα.

(λβ) διαβολικός.

(λγ) τουτέστιν ἡ κατασχοῦσα τὴν γῆν κακία μεταβληθήσεται εἰς ἀρετὴν ἥτις τρέφει μὲν τὸν ἀκέραιον ὅστις ἔστι πρόβατον, καταπατεῖ δὲ διοδεύων αὐτὴν ὡς βοῦς ὁ τὸν νόμον ἐργαζόμενος.

8^{1-4}. Κεφ. ιβ'.

Πρόρρησις εὐαγγελικῆς συγγραφῆς ὑπὸ νόμου καὶ προφητῶν μαρτυρουμένης καὶ γενέσεως Χριστοῦ καὶ διαβόλου πορθήσεως.

8 1 Καὶ εἶπε κύριος πρός μέ Λάβε
σεαυτῷ τόμον καινοῦ μεγάλου (α)
καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώ-

(α) τὸ εὐαγγέλιον· σύντομον γὰρ τῷ νόμῳ καὶ τῇ χάριτι, καινὸν καὶ μέγα τοῖς θαύμασιν.

23 πᾶς τόπος A[3] praem. ἔσται. Κεφ. ιβ': Πρόρρησις > Πρόρρησεις sic V. γενέσεως > γεννήσεως Migne. 1 τόμον + χάρτου A.

[a] I Petr 2^{2}.

που (β) τοῦ ὀξέως προνομὴν ποιῆ-
σαι σκύλων (γ)· πάρεστι γάρ (δ)·
2 ²καὶ μάρτυράς μοι ποίησον πιστοὺς
ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα καὶ
3 τὸν Ζαχαρίαν υἱὸν Βαραχίου (ε). ³καὶ
προσῆλθεν (ς) πρὸς τὴν προφῆτιν (ζ),
καὶ ἐν γαστρὶ ἔλαβε καὶ ἔτεκεν υἱόν.
καὶ εἶπε κύριός μοι Κάλεσον τὸ
ὄνομα αὐτοῦ Ταχέως σκύλευσον,
4 ὀξέως προνόμευσον (η)· ⁴διότι πρὶν
ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα
ἢ μητέρα, λήψεται δύναμιν Δαμα-
σκοῦ καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι
βασιλέως Ἀσσυρίων (θ).

(β) ἑκάστου εὐαγγελιστοῦ.
(γ) τουτέστι σκυλεῦσαι τὸν διάβολον.
(δ) ὁ Χριστὸς ὁ σκυλεῦσαι δυνάμενος.
(ε) ἱερωσύνην καὶ προφητείαν.
(ς) τῇ θεωρίᾳ τῆς προφητείας.
(ζ) τὴν θεοτόκον παρθένον.
(η) τουτέστιν ἀπὸ τοῦ ὀνόματος μάνθανε τοῦ καλουμένου τὴν ἐνέργειαν· σκυλεύει γὰρ ὁ Χριστὸς τὸν διάβολον καὶ ἁρπάζει τὸν θάνατον.
(θ) ἔτι βρέφος ὢν ὁ Χριστὸς δύναμιν Δαμασκοῦ — τὴν εἰδωλολατρίαν —, σκῦλα δὲ Σαμαρείας — τὴν Ἰουδαϊκὴν ἀπάτην — ὑπέλαβε κατὰ τοῦ διαβόλου ἑκάτερον.

8 5–17. Κεφ. ιγ'.

Ἀπειλὴ κατὰ τῶν Ἰουδαίων ἀνθ' ὧν τὸν λόγον τῆς εὐαγγελικῆς παρῃτήσαντο χάριτος καὶ ὑπὸ τὴν πλάνην τοῦ διαβόλου διὰ τοῦτο γενήσονται· καὶ ἐπιτιμία κατὰ δαιμόνων, ὅτι κἂν πρὸς καιρὸν καθ' ἡμῶν ἰσχύσωσιν, ἀλλὰ τοῦ θεοῦ συμμαχοῦντος ἡττηθήσονται· καὶ κατηγορία Ἰουδαίων ὡς ἀπειθούντων τῷ Χριστῷ καὶ διαγόντων μὲν ἐν ὑποκρίσει, ἑκοντὶ δὲ τὸν νόμον παραβαινόντων καὶ μάτην αὐχούντων τῇ εἰς θεὸν πεποιθήσει.

6 . . . ⁶Διὰ τὸ μὴ βούλεσθαι τὸν
λαὸν τοῦτον τὸ ὕδωρ τοῦ Σιλωὰμ (α)
τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ βού-
λεσθαι ἔχειν τὸν Ῥασσὶν καὶ τὸν

(α) τὸ βάπτισμα τοῦ Χριστοῦ· ἀπεσταλμένος γὰρ ὁ Σιλωὰμ ἑρμηνεύεται. f. 74ᵛ

---

2 τὸν ἱερέα Hes. (vide ε) cum A³. 4 δύναμιν > τὴν δύναμιν A³.
Κεφ. ιγ': χάριτος καὶ ὑπὸ > χάριτος διὰ τοῦτο ὑπὸ V. καὶ ante κατηγορία om. V. ὡς om. V. ἑκοντὶ > ἑκόντη O. νόμον > μόνον V. τῇ εἰς θεὸν πεποιθήσει > τὴν εἰς θεὸν πεποίθησιν V Migne. 6 Ῥασσὶν > Ῥαασσὼν A.

υἱὸν Ῥομελίου (β) βασιλέα ἐφ' ὑμῶν,
7 [7] διὰ τοῦτο ἰδοὺ ἀνάγει (γ) κύριος
ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ (δ)
τὸ ἰσχυρὸν καὶ τὸ πολύ, τὸν βασι-
λέα τῶν Ἀσσυρίων (ε) καὶ τὴν δό-
ξαν αὐτοῦ· καὶ ἀναβήσεται ἐπὶ πᾶ-
σαν φάραγγα ὑμῶν καὶ περιπατήσει
8 ἐπὶ πᾶν τεῖχος ὑμῶν (ϛ), [8] καὶ ἀφ-
ελεῖ ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον ὃς
δυνήσεται κεφαλὴν ἆραι ἢ δυνατὸν
συντελέσασθαί τι (ζ)· καὶ ἔσται ἡ
9 παρεμβολὴ αὐτῶν (η) . . . [9] γνῶτε
ἔθνη καὶ ἡττᾶσθε (θ), ἐπακούσετε
ἕως ἐσχάτου τῆς γῆς (ι), ἰσχυκό-
τες ἡττᾶσθε· ἐὰν γὰρ πάλιν ἰσχύ-
σητε, πάλιν ἡττηθήσεσθε (ια). . . .
11 [11] οὕτως λέγει κύριος ὁ θεός Τῇ
ἰσχυρᾷ χειρὶ ἀπειθοῦσι τῇ πορείᾳ
τῆς ὁδοῦ τοῦ λαοῦ τούτου (ιβ) λέ-
12 γοντες [12] Μή ποτε εἴπητε σκληρόν·
πᾶν γὰρ ὃ ἐὰν εἴπῃ ὁ λαὸς οὗτος
13 σκληρόν ἐστι (ιγ) . . . [13] κύριον
αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σου
14 φόβος (ιδ). [14] καὶ ἐὰν ἐπ' αὐτῷ
πεποιθὼς ᾖς, ἔσται σοι εἰς ἁγίασμα,
καὶ οὐχ ὡς λίθου προσκόμματι συν-
αντήσεσθε αὐτῷ (ιε) οὐδὲ ὡς πέ-
τρας πτώματι· ὁ δὲ οἶκος Ἰακὼβ
15 ἐν παγίδι (ιϛ) . . . [15] διὰ τοῦτο
ἀδυνατήσουσιν ἐν αὐτοῖς πολλοὶ (ιζ)

(β) ἁμαρτίαν καὶ θάνατον· ἀλληγορικῶς γὰρ τούτους ὡς ἐχθροὺς ἡ προφητεία ᾐνίξατο.
(γ) τουτέστιν ἀνελθεῖν συγχωρεῖ.
(δ) τοῦ τὰς ψυχὰς τῇ πλάνῃ κατακλύζοντος.
(ε) τὸν διάβολον.
(ϛ) τουτέστιν ἐπὶ τὰ ταπεινὰ ὑμῶν καὶ τὰ ὑψηλά.
(ζ) ἐπειδὴ τῇ ἰσχύι κατὰ θεοῦ ἐκέχρηντο.
(η) τῶν δαιμόνων.
(θ) ὑποτάγητε.
(ι) πανταχοῦ γὰρ ὁ λόγος τοῦ κηρύγματος.
(ια) ὥσπερ γὰρ ἡττήθητε καίτοι πρότερον ἰσχύσαντες τὴν τῶν εἰδώλων ἀσέβειαν, οὕτως, ἐὰν πάλιν ἐν διωγμοῖς ἰσχύσητε, ὁμοίως ἡττηθήσεσθε.
(ιβ) ἀπειθοῦσι γὰρ τῇ χειρὶ τοῦ θεοῦ οἱ τῶν Ἰουδαίων διδάσκαλοι τῇ φαύλῃ πολιτείᾳ τοῦ λαοῦ συντιθέμενοι καὶ δεδιότες, μή τι σκληρὸν κατ' αὐτῶν ἀγανακτοῦντες φθέγξωνται.
(ιγ) ὡς ὑπάρχων σκληρός.
(ιδ) προτιμᾶν γὰρ δεῖ τοῦ ἀνθρωπίνου φόβου τὸν θεῖον.
(ιε) ὅπερ οἱ προσκόψαντες ἐπὶ τῷ σταυρῷ δι' ἀπιστίαν πεπόνθασιν.
(ιϛ) ἀεὶ γὰρ παγίδας καὶ ἐνέδρας f. 75
οἱ τοῦ λαοῦ τῶν Ἰουδαίων ἐργάζονται.
(ιζ) οἱ δι' ἀπιστίαν ἀσθενοῦντες.

---

7 τὴν δόξαν A[3] praem. πᾶσαν. αὐτῶν Hes. (vide η); αὐτοῦ ABS. 8 εἰ δυνατὸν συντελέσαι τι A. 13 κύριον A[3] praem. τὸν et add. τῶν δυνάμεων.

καὶ πεσοῦνται καὶ συντριβήσονται καὶ
ἐγγιοῦσι καὶ ἁλώσονται ἄνθρωποι ἐν
16 ἀσφαλείᾳ ὄντες (ιη). 16 τότε φανε-
ροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν
17 νόμον τοῦ μὴ μαθεῖν (ιθ). 17 καὶ
ἐρεῖ Μενῶ τὸν θεὸν τὸν ἀποστρέ-
ψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ
οἴκου Ἰακὼβ (κ), καὶ πεποιθὼς
ἔσομαι ἐπ' αὐτῷ.

(ιη) εἰς παντελῆ διαφθοράν· οἱ γὰρ δοκοῦντες ἠσφαλίσθαι τῷ νόμῳ παρανομοῦντες ἁλίσκονται.

(ιθ) τουτέστιν οἱ τὸν νόμον ὥστε μὴ γνωσθῆναι τὰ ἐν αὐτῷ διὰ πονηρᾶς διδασκαλίας ἀποκλείοντες.

(κ) γελᾷ τὸν Ἰουδαϊκὸν λαὸν ἀναμένειν λέγοντα τὸν θεὸν ὅστις αὐτοὺς ἀπέστραπται.

8 18—22. Κεφ. ιδ'.

Προφητεία υἱοθεσίας διὰ Χριστοῦ κατὰ τῶν ἐσομένων παρ' αὐτοῦ σημείων ἐν Ἱερουσαλήμ· καὶ ἀποτροπὴ τοῦ προσέχειν Ἑλληνικαῖς μαντείαις· καὶ κατηγορία τῶν Ἰουδαίων, ὅτι νόμον λαβόντες ὥστε τούτοις μὴ προσέχειν οὐκ ἐφύλαξαν καὶ κακοῖς διὰ τοῦτο μεγάλοις περιπίπτουσιν.

18 18 Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ
μοι ἔδωκεν ὁ θεός (α). καὶ ἔσται
σημεῖα καὶ τέρατα (β) ἐν τῷ Ἰσραὴλ
παρὰ κυρίου Σαβαὼθ ὃς κατοικεῖ
19 ἐν τῷ ὄρει Σιών (γ). 19 καὶ ἐὰν
εἴπωσι (δ) πρὸς ὑμᾶς Ζητήσατε
τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας (ε)
καὶ τοὺς ἐγγαστριμύθους τοὺς κενο-
λογοῦντας οἳ ἀπὸ τῆς κοιλίας φω-
νοῦσιν (ϛ), οὐκ ἔθνος πρὸς θεὸν
αὐτοῦ (ζ); τί ἐκζητοῦσι περὶ τῶν

(α) περὶ τῶν πιστῶν λέγει οὓς εὐδοκοῦντος τοῦ πατρὸς ὁ Χριστὸς ὑπεδέξατο.

(β) τὰ διὰ Χριστοῦ τοῖς Ἰουδαίοις γενόμενα.

(γ) ἐκεῖ γὰρ παρέδωκε τὰ οἰκεῖα μυστήρια.

(δ) οἱ ἀπατῆσαι βουλόμενοι.

(ε) τοὺς ἐκ τῆς γῆς προσποιουμένους φωνὰς ματαίας διὰ νεκρομαντίας ἐργάζεσθαι.

(ϛ) τοὺς ἔχοντας πνεύματα πονηρὰ καὶ δοκοῦντας δι' αὐτῶν ἀπὸ γαστρὸς μαντεύεσθαι.

(ζ) ἀλλότριοι γὰρ θεοῦ οἱ ταῦτα ἐργαζόμενοι.

---

16 τοῦ μὴ μαθεῖν > τοῦ μαθεῖν A. νόμῳ O. 18 σημεῖα A praem. εἰς. ἐκζητοῦσι > ἐκζητῶσι A. Κεφ. ιδ': V om. κεφ. ιδ'. νόμον > 19 θεὸν αὐτοῦ + ἐκζητήσουσι A³ B.

20 ζώντων τοὺς νεκρούς (η); [20] νόμον
γὰρ εἰς βοήθειαν ἔδωκεν, ἵνα εἴπω-
σιν οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ
οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ (θ).
21 [21] καὶ ἥξει ἐφ' ὑμᾶς σκληρὰ λιμός,
καὶ ἔσται ὡς ἂν πεινάσητε (ι), λυ-
πηθήσεσθε καὶ κακῶς ἐρεῖτε τὸν
ἄρχοντα καὶ τὰ πάτρια (ια), καὶ
ἀναβλέψονται εἰς τὸν οὐρανὸν ἄνω,
22 [22] καὶ εἰς τὴν γῆν κάτω ἐμβλέψον-
ται (ιβ)· καὶ ἰδοὺ θλῖψις καὶ στενο-
χωρία καὶ σκότος· ἀπορία στενὴ
καὶ σκότος (ιγ) . . .

(η) εἴτε τὰ εἴδωλα εἴτε τὰ ἐν τοῖς τάφοις διὰ πλάνης πλαττόμενα.
(θ) διὰ τοῦτο τὸν νόμον βοηθοῦντα τοῖς ἀνθρώποις ἔδωκεν ὁ θεός, ἵνα μηδὲν τοιοῦτον λέγωσιν ἢ ἀκούωσιν ὑπὲρ οὗ διὰ δώρων ἱλασμὸς οὐχ εὑρίσκεται.
(ι) τὸν λόγον οὐκ ἔχοντες τὸν διδασκαλικόν.
(ια) Μωυσέα καὶ τὰ δι' αὐτοῦ νόμιμα.
(ιβ) ἢ δι' ἀγγέλων ἢ διὰ προφητῶν ἐπιζητοῦντες βοήθειαν.
(ιγ) ταῦτα γὰρ πάντα ἡ ἀγνωσία ἐγράζεται.

9¹⁻⁷. Κεφ. ιε'.

Κλῆσις ἐθνῶν καὶ προφητεία τῆς τούτων ἐλευθερίας καὶ τῆς τῶν δαιμόνων πονηρίας καὶ ζήλου πονηροῦ τῶν Ἰουδαίων ἐπὶ τῇ γενέσει τοῦ Χριστοῦ ὅστις τὴν βασιλείαν τοῦ Δαυὶδ ἀνενέωσεν.

9 1 Τοῦτο (α) πρῶτον πίε, ταχὺ
ποίει (β) χώρα Ζαβουλὼν (γ), ἡ
γῆ Νεφθαλὶμ ὁδὸν θαλάσσης καὶ
οἱ λοιποὶ οἱ τὴν παραλίαν κατ-
οικοῦντες καὶ πέραν τοῦ Ἰορδάνου (δ),
Γαλιλαία τῶν ἐθνῶν, τὰ μέρη τῆς
2 Ἰουδαίας. [2] ὁ λαὸς ὁ καθήμενος ἐν
σκότει (ε), ἴδετε (ϛ) φῶς μέγα (ζ)·
οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ
θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς (η).

(α) τὸ μυστικὸν ποτήριον. f. 75v
(β) τουτέστι μὴ ἀναβάλῃ.
(γ) τὰς φυλὰς καλεῖ ἐξ ὧν τοὺς ἀποστόλους ἐστράτευσεν.
(δ) τουτέστιν αἱ πέραν τοῦ Ἰορδάνου τυγχάνουσαι φυλαί.
(ε) ἐν ἀγνωσίᾳ.
(ϛ) μετὰ τὴν περιτομὴν τὴν ἀκροβυστίαν καλεῖ.
(ζ) τὴν θεογνωσίαν.
(η) τουτέστιν ὑμῖν τοῖς πρότερον οἰκοῦσι τὴν ἀσέβειαν, νῦν δὲ

Κεφ. ιε': V om. κεφ. ιε'. γενέσει > γεννήσει Migne. 1 Νεφθαλεὶμ A. παραλίαν > παράλιον A.

3 ³τὸ πλεῖστον τοῦ λαοῦ ὃ κατήγαγες
ἐν εὐφροσύνῃ σου· καὶ εὐφρανθήσον-
ται ἐνώπιόν σου ὡς οἱ εὐφραινόμε-
νοι ἐν ἀμήτῳ, καὶ ὃν τρόπον εὐ-
φραίνονται οἱ διαιρούμενοι σκῦλα (θ).
4 ⁴διότι ἀφαιρεθήσεται ὁ ζυγὸς ὁ ἐπ'
αὐτῶν κείμενος (ι), καὶ ἡ ῥάβδος
ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν (ια)·
τὴν γὰρ ῥάβδον τῶν ἀπαιτούντων (ιβ)
5 διεσκέδασε κύριος . . . ⁵ὅτι πᾶσαν
στολὴν ἐπισυνηγμένην δόλῳ καὶ ἱμά-
τιον μετὰ καταλλαγῆς ἀποτίσουσι (ιγ),
καὶ θελήσουσιν, εἰ ἐγενήθησαν
6 πυρίκαυστοι (ιδ). ⁶ὅτι παιδίον (ιε)
ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν
οὗ ἡ ἀρχὴ (ιϛ) ἐγενήθη ἐπὶ τοῦ
ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα
αὐτοῦ μεγάλης βουλῆς ἄγγελος (ιζ),
θαυμαστὸς σύμβουλος (ιη), ἰσχυ-
ρὸς (ιθ), ἐξουσιαστὴς (κ), ἄρχων
εἰρήνης (κα), πατὴρ τοῦ μέλλοντος
αἰῶνος (κβ). ἐγὼ γὰρ ἄξω εἰρή-
τῇ εὐσεβείᾳ προσδραμοῦσι καὶ
πλεῖστον τοῦ λαοῦ διὰ τοῦτο τυγ-
χάνουσι φῶς λάμψει τὸ εὐαγγε-
λικὸν ὅπερ ἑαυτοῖς κατηγάγετε
ἀπὸ τῆς χορηγίας τοῦ πνεύματος.

(θ) οἱ ἀπόστολοι· αὐτῶν γὰρ θέρος οἱ σωζόμενοι καὶ σκῦλα οἱ ἐκ πλάνης δι' αὐτῶν ἐπιστρέφοντες.

(ι) ὁ νομικὸς ἐκ τῶν πιστευσάντων.

(ια) ἡ τοῦ νόμου κατάρα.

(ιβ) τὸν φόβον τῶν Ἰουδαϊκῶν διδασκάλων· τὸν γὰρ λαὸν ἐφορολόγουν φιλαργυρίας ἕνεκα.

(ιγ) τιμωρίας ὑπὲρ πάσης ἀρετῆς ἢ καθολικῆς ἢ μερικῆς δόλῳ πεφυρμένης καὶ εἰς κακίαν ἠλλαγμένης ἀποδώσουσιν.

(ιδ) Ἰουδαῖοι διὰ φθόνον.

(ιε) ὁ Χριστός.

(ιϛ) ὁ σταυρός· ὁ Χριστὸς γὰρ ἐν αὐτῷ βασιλεύει.

(ιζ) τὴν γὰρ βουλὴν ἡμῖν τὴν πατρῴαν ἀπήγγειλεν.

(ιη) αὐτοῦ γὰρ καὶ τοῦ πατρὸς βουλὴ τὸ τῆς ἡμετέρας σωτηρίας μυστήριον.

(ιθ) ἐν γὰρ τοῖς ταπεινοῖς τὰ ὑψηλὰ κατώρθωσεν.

(κ) αὐτῷ γὰρ ἐδόθη πᾶσα ἐξουσία, ὡς τῷ Δανιὴλ εἴρηται.[a]

(κα) αὐτὸς γὰρ ἔδωκε τῆς εἰρήνης τὸ σύνθημα.

(κβ) ἐξ αὐτοῦ γὰρ ἡ ἀνάστασις, ἡ ἀρχὴ τοῦ αἰῶνος τοῦ μέλλοντος.

---

6 ἐγεννήθη > ἐγενήθη A. καλεῖται > καλέσει A. inter ἄγγελος et θαυμαστὸς A plene interpung.

---

[a] Dan. 7⁶.

νην ἐπὶ τοὺς ἄρχοντας (κγ)· εἰρή-
7 νην καὶ ὑγείαν αὐτῷ (κδ). [7] μεγά-
λη ἡ ἀρχὴ αὐτοῦ (κε), καὶ τῆς
εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον· ἐπὶ
τὸν θρόνον Δαυὶδ καὶ τὴν βασιλείαν
αὐτοῦ (κϛ) κατορθῶσαι αὐτὴν καὶ
ἀντιλαβέσθαι (κζ) ἐν δικαιοσύνῃ καὶ
ἐν κρίματι, ἀπὸ τοῦ νῦν καὶ εἰς
τὸν αἰῶνα χρόνον· ὁ ζῆλος κυρίου
Σαβαὼθ ποιήσει ταῦτα (κη).

(κγ) τοὺς ἀποστόλους οὓς ἄρχοντας τῶν ἐκκλησιῶν ἔλεξεν.

(κδ) τῷ Χριστῷ· ἑαυτοῦ γὰρ ὑγείαν τὴν ἡμετέραν σωτηρίαν λογίζεται.

(κε) ἐπειδὴ «ἐν ἀρχῇ ἦν ὁ Λόγος».[a]

(κϛ) τουτέστιν ἵνα τὴν τοῦ Δαυὶδ ἀνακτήσηται βασιλείαν, σαρκωθῆναι ἀνέχεται.

(κζ) τοῦ ἡμετέρου φυράματος.

(κη) ζηλῶν γὰρ ὑπὲρ ἡμῶν ὁ πα- f. 76
τὴρ τὸν υἱὸν εἰς τὸν κόσμον ἀπέστειλεν.

9^{8}—10^{4}. Κεφ. ις'.

Πρόρρησις τῶν ἀποσταλέντων παρὰ θεοῦ παιδειῶν τοῖς τε Ἰουδαίοις καὶ τοῖς ἐξουθενοῦσι τὴν νέαν Σιών· καὶ διαβολὴ τῶν Ἰουδαϊκῶν ἀρχόντων ἐφ' οἷς τὸν λαὸν ἐπλάνων· καὶ διήγησις τῶν παιδειῶν αἵτινες αὐτοῖς ἐκ τῆς τοῦ θεοῦ δεξιᾶς ἐπηνέχθησαν· καὶ σχετλιασμὸς κατὰ τῶν παρανόμως κρινόντων ὡς ἀκμαζούσης τῆς ὀργῆς τοῦ θεοῦ, αὐτῶν ἕνεκα μάλιστα.

8 [8] Θάνατον ἀπέστειλε κύριος ἐπὶ
Ἰακὼβ, καὶ ἦλθεν ἐπὶ Ἰσραὴλ (α)·
9 [9] καὶ γνώσονται πᾶς ὁ λαὸς τοῦ
Ἐφραὶμ καὶ οἱ ἐγκαθήμενοι ἐν Σα-
μαρείᾳ ἐφ' ὕβρει καὶ ὑψηλῇ καρ-
10 δίᾳ (β) λέγοντες (γ) [10] Πλίνθοι
πεπτώκασιν, ἀλλὰ δεῦτε λαξεύσω-
μεν λίθους καὶ ἐκκόψωμεν συκα-

(α) τουτέστιν ἐφ' οὓς ἀπεστάλη, ἐπὶ τούτους κατήντησεν· ὁ γὰρ αὐτὸς Ἰακὼβ καὶ Ἰσραὴλ ἐστιν.

(β) ἐν βλασφημίᾳ καὶ ὑπερηφανίᾳ.

(γ) τοιαῦτα λέγουσιν οἱ ἀπὸ τῶν ἀρχαίων καταφρονοῦντες παιδειῶν καὶ κατὰ θεοῦ πάλιν ἢ τῶν αὐτοῦ ἐπαναστῆναι βουλόμενοι.

---

7 ἀντιλαβέσθαι + αὐτῆς A[3]. Κεφ. ις': V om. κεφ. ις'. καὶ ante διαβολὴ om. O. τὸν λαὸν > τῶν λαῶν O. τῶν ante παιδειῶν om. CO. ἐπηνέχθησαν > ἐπενέχθησαν O Migne.

---

[a] Io. 1[1].

11 μίνους καὶ κέδρους . . . [11] καὶ ῥάξει
ὁ θεὸς τοὺς ἐπανισταμένους ἐπ'
ὄρους Σιὼν ἐπὶ αὐτὸν (δ), καὶ τοὺς
ἐχθροὺς αὐτῶν (ε) διασκεδάσει,
12 [12] . . . καὶ τοὺς Ἕλληνας ἀφ'
ἡλίου δυσμῶν τοὺς κατεσθίοντας τὸν
Ἰσραὴλ (ς) ὅλῳ τῷ στόματι. ἐπὶ
τούτοις πᾶσιν (ζ) οὐκ ἀπεστράφη ὁ
θυμὸς (η), ἀλλ' ἔτι ἡ χεὶρ (θ)
13 ὑψηλή. [13] καὶ ὁ λαὸς οὐκ ἀπε-
στράφη, ἕως ἐπλήγη (ι), καὶ τὸν
14 κύριον οὐκ ἐξεζήτησαν. [14] καὶ ἀφεῖλε
κύριος ἀπὸ Ἰσραὴλ κεφαλὴν καὶ
οὐράν, μέγαν καὶ μικρὸν ἐν μιᾷ
ἡμέρᾳ (ια), πρεσβύτην (ιβ) καὶ τοὺς
τὰ πρόσωπα θαυμάζοντας (ιγ), αὕτη
15 ἡ ἀρχή, [15] καὶ προφήτην διδάσκοντα
16 ἄνομα, οὗτος ἡ οὐρά (ιδ). [16] καὶ
ἔσονται οἱ μακαρίζοντες τὸν λαὸν
18 τοῦτον πλανῶντες (ιε), . . . [18] καὶ
καυθήσεται ὡς πῦρ ἡ ἀνομία, καὶ
ὡς ἄγρωστις ξηρὰ βρωθήσεται ὑπὸ
πυρός (ις)· καὶ καυθήσεται ἐν τοῖς
δάσεσι τοῦ δρυμοῦ (ιζ) καὶ συγκατα-
φάγεται τὰ κύκλῳ τῶν βουνῶν πάν-
19 τα (ιη)· [19] διὰ θυμὸν ὀργῆς κυρίου
συγκαυθήσεται ἡ γῆ ὅλη (ιθ), καὶ
ἔσται ὁ λαὸς ὡς ὑπὸ πυρὸς κατα-
κεκαυμένος (κ). ἄνθρωπος τὸν ἀδελ-
φὸν αὐτοῦ οὐκ ἐλεήσει (κα) . . .
21 [21] φάγεται γὰρ Μανασσῆ τοῦ

(δ) ἐπὶ τὸν λαὸν ἐξ οὗ προέρχονται οἱ ἀνταίροντες.

(ε) τὸν Ἀσσύριον καὶ ὅσοι φρονοῦσιν ἐκείνῳ παραπλήσια.

(ς) τοὺς τῇ Ἑλληνικῇ σοφίᾳ πεποιθότας· οὗτοι γὰρ συλλογισμοῖς πονηροῖς τὸν Ἰσραὴλ κατεσθίουσιν.

(ζ) ὡς πολλά φησιν ἁμαρτανόντων ἡ ὀργὴ τοῦ θεοῦ εἰκότως οὐκ ἀφίσταται.

(η) τοῦ θεοῦ.

(θ) τοῦ θεοῦ ἀκμάζουσα.

(ι) πρὶν γὰρ πληγῆναι οὐ μετενόησαν.

(ια) τουτέστιν ἅμα.

(ιβ) πρεσβύτερον.

(ιγ) ὑποκριτὰς γὰρ αὐτῶν πρεσβυτέρους καὶ ἄρχοντας προεστήσαντο.

(ιδ) ἡ γὰρ ψευδοπροφητεία τῆς κακίας συμπέρασμα.

(ιε) ἀργυρολογοῦντες καὶ ἑαυτοῖς ὑποτάττοντες.

(ις) τουτέστι τῇ τιμωρίᾳ ἀναλω- f. 76v
θήσονται.

(ιζ) ἐν τοῖς συνεχῆ καὶ θηριώδη τὴν πονηρίαν ἔχουσιν.

(ιη) τουτέστι κοινωνήσουσι τῆς τιμωρίας οἱ τῆς ὑπερηφανίας καὶ τῆς ἄλλης κακίας κοινωνήσαντες.

(ιθ) οἱ φρονοῦντες τὰ γήϊνα.

(κ) τουτέστιν ὥσπερ καπνοῦ τινος τῆς αἰσχύνης μεστός.

(κα) τουτέστι διὰ τὴν ὀργὴν τοῦ

11 ἐπανιστανομένους A. ἐπὶ αὐτὸν B; ἐπ' αὐτοὺς A. ἐχθροὺς αὐτοῦ A[3].
12 θυμὸς + αὐτοῦ A[3]. χεὶρ + αὐτοῦ A[3]. 19 κυρίου + Σαβαὼθ A[3].
21 Μαννασσῆ sic bis A; vide (κβ).

Ἐφραὶμ καὶ Ἐφραὶμ τοῦ Μανασσῆ,
ὅτι ἅμα πολιορκήσουσι τὸν Ἰού-
δαν (κβ)· . . .
10 1 Οὐαὶ τοῖς γράφουσι πονηρίαν (κγ)·
γράφοντες γὰρ πονηρίαν γράφουσιν·
2 ² ἐκκλίνοντες κρίσιν πτωχῶν . . .
3 ³ καὶ τί ποιήσουσιν ἐν τῇ ἡμέρᾳ
τῆς ἐπισκοπῆς (κδ); ἡ γὰρ θλῖψις
ὑμῖν πόρρωθεν ἥξει (κε)· καὶ
πρὸς τίνα καταφεύξεσθε τοῦ βοηθη-
θῆναι; καὶ ποῦ καταλείψετε τὴν
4 δόξαν ὑμῶν (κς) ⁴ τοῦ μὴ ἐμ-
πεσεῖν εἰς ἐπαγωγήν (κζ); . . .

θεοῦ ἐν τῇ ἐπιφερομένῃ κατ' αὐτῶν τιμωρίᾳ οὐδὲ ἀλλήλων φείσονται.

(κβ) ἀδελφοὶ Μανασσῆ καὶ Ἐφραίμ· ἀλλὰ καὶ οὕτως αἱ ἐξ αὐτῶν φυλαὶ διὰ τὴν ὀργὴν τοῦ θεοῦ κατ' ἀλλήλων χωρήσουσιν ἀνθ' ὧν τὸν Ἰούδαν, δηλαδὴ τὸν ἐξομολογούμενον, πολιορκοῦσι πονηρὰ συμβουλεύοντες.

(κγ) τοῖς ἔγγραφον πονηρίαν ἐν τῷ κρίνειν παρανόμως ἐκφέρουσιν.

(κδ) τῆς κρίσεως· τότε γὰρ κρίνων ὁ θεὸς ἐπισκοπεῖ τὸν ἄνθρωπον.

(κε) ἐπειδὴ καὶ τὰ πρὸ πολλοῦ ἡμαρτημένα εἰς κρίσιν τότε κατάγεται.

(κς) ποῦ κρύψετε τὴν δόξαν ἣν διαβολικὴν καθ' ἑαυτῶν ἐκτήσασθε;

(κζ) τὴν εἰς τὸ σκότος καὶ τὸ πῦρ αἰώνιον ἄγουσαν;

10^{5-23}. Κεφ. ιζ'.

Ἀπειλὴ κατὰ Ἀσσυρίων ἐν ᾗ τοὺς δαίμονας αἰνίττεται καὶ σὺν αὐτοῖς τὸν διάβολον ὡς ἀρθέντα κατὰ θεοῦ καὶ πάσης τῆς γῆς κρατῆσαι προσδοκήσαντα καὶ μὴ λογισάμενον, ὅτιπερ ἐκ συγχωρήσεως θεοῦ πρὸς ὀλίγον ἐκράτησεν.

5 ⁵ Οὐαὶ Ἀσσυρίοις (α), ἡ ῥά-
βδος τοῦ θυμοῦ μου καὶ ὀργῆς ἐν
6 ταῖς χερσὶν αὐτῶν (β). ⁶ τὴν ὀργήν
μου εἰς ἔθνος ἄνομον ἀποστελῶ,

(α) τοῖς νοητοῖς.

(β) ὥστε δι' αὐτῶν παιδευθῆναι τοὺς ἁμαρτάνοντας· ἀλλ' ἐπειδὴ τοῦτο δι' ὑπερηφανίαν οἱ δαίμονες

---

2 κρίσιν A³ praem. καὶ. 3 ἡμέρᾳ ἐπισκοπῆς A. Κεφ. ιζ': V om. κεφ. ιζ'. ἐν ᾗ > ἐνὶ O. 6 ἀποστελῶ > ἀποστέλλω A.

καὶ τῷ ἐμῷ λαῷ συντάξω ποιῆσαι
σκῦλα (γ) καὶ προνομὴν καὶ κατα-
πατεῖν τὰς πόλεις (δ) καὶ θεῖναι
7 αὐτὰς εἰς κονιορτόν (ε). [7] αὐτὸς
δὲ οὐχ οὕτως ἐνεθυμήθη (ϛ) καὶ
τῇ ψυχῇ οὐχ οὕτως λελόγισται (ζ),
ἀλλὰ ἀπαλλάξει (η) ὁ νοῦς αὐτοῦ,
καὶ τοῦ ἐξολοθρεῦσαι ἔθνη οὐκ
8 ὀλίγα. [8] καὶ ἐὰν εἴπωσιν αὐτῷ Οὐ σὺ
9 μόνος εἶ ἄρχων (θ), [9] καὶ ἐρεῖ Οὐκ
ἔλαβον τὴν χώραν τὴν ἐπάνω Βα-
βυλῶνος καὶ Χαλάνης, οὗ ὁ πύργος
ᾠκοδομήθη (ι), καὶ ἔλαβον Ἀραβίαν
καὶ Δαμασκὸν καὶ Σαμάρειαν (ια)·
10 [10] ὃν τρόπον ταύτας ἔλαβον ἐν τῇ
χειρί μου, καὶ πάσας τὰς χώρας (ιβ)
11 λήψομαι . . . [11] ὃν τρόπον γὰρ
ἐποίησα Σαμαρείᾳ καὶ τοῖς χειρο-
ποιήτοις αὐτῆς, οὕτως ποιήσω καὶ
Ἱερουσαλὴμ καὶ τοῖς εἰδώλοις αὐ-
12 τῆς (ιγ). [12] καὶ ἔσται ὅταν συν-
τελέσῃ κύριος πάντα (ιδ) ποιῶν ἐν
τῷ ὄρει Σιὼν καὶ ἐν Ἱερουσαλὴμ,
ἐπάξει ἐπὶ τὸν νοῦν τὸν μέγαν (ιε)
τὸν ἄρχοντα τῶν Ἀσσυρίων καὶ
ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλ-
13 μῶν αὐτοῦ (ιϛ). [13] εἶπε γάρ Τῇ
ἰσχύϊ ποιήσω καὶ τῇ σοφίᾳ τῆς συν-
έσεως (ιζ) ἀφελῶ ὅρια ἐθνῶν (ιη)
καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω (ιθ)·

οὐ λογίζονται, ἡ ὀργὴ κατ' αὐτῶν μεταφέρεται· αὐτοὶ γὰρ ἔθνος ἄνομον.

(γ) τοῖς πρὸς ἐμὲ γάρ φησιν ὁ θεὸς ἐπιστρέφουσιν ἐντέλλομαι σκυλεῦσαι τὸν διάβολον.

(δ) τὰ τῆς πλάνης συστήματα.

(ε) ὥστε παρὰ πάντων σκορπίζεσθαι.

(ϛ) οὐδὲ γὰρ ταῦτα προσεδόκησεν f. 77
ὁ διάβολος.

(ζ) οἰκείᾳ γὰρ δυνάμει ἐδόκει τοῖς δι' αὐτοῦ παιδευομένοις ἐπέρχεσθαι.

(η) φαντασθήσεται.

(θ) τουτέστιν εἰσὶ πολλοὶ τῶν ἀγγέλων ἄρχοντες καθελεῖν σε δυνάμενοι.

(ι) λογισμὸν ἐκείνοις ἐμβάλλων ὑπερήφανον οἵτινες μέχρις οὐρανοῦ πυργοποιεῖν ἐφαντάσθησαν.

(ια) γείτονες γὰρ αὗται μετὰ τῆς χώρας καὶ τῆς πλάνης ἦσαν.

(ιβ) τὰς βασιλείας.

(ιγ) πρότερον καθαίρω τὴν πόλιν, τότε τὰ τῆς πόλεως εἴδωλα.

(ιδ) ὅσα δῆλον ἠπείλησεν.

(ιε) τὸν διαβολικὸν ὡς ὑπερήφανον.

(ιϛ) ἐπὶ πᾶσαν αὐτοῦ τὴν πομπὴν καὶ τὴν ἀσέβειαν.

(ιζ) ἧς τοὺς παρ' Ἕλλησι καλουμένους φιλοσόφους καὶ ποιητὰς ἐπλάνησεν.

(ιη) συγχέων εἰς ἀσέβειαν.

(ιθ) πᾶσαν ἀρετὴν ἐξ αὐτῶν σκυ- f. 77v
λεύσω.

---

6 ποιῆσαι A^8 praem. τοῦ. πόλεις + αὐτοῦ A^8. 8 Σὺ μόνος ABS; Hes. (vide θ) praem. οὐ cum A^3. 9 Χαλάνης > Χαλάννη A. 11 χειροπ. αὐτῆς > χειροπ. αὐτοῖς A. 12 τὸν ἄρχοντα A^8 praem. ἐπὶ. 13 Τῇ ἰσχύϊ A^8 praem. ἐν et add. τῆς χειρός μου. τῇ συνέσεως τῆς σοφίας A.

14 [14] καὶ σείσω πόλεις κατοικουμέ-
νας (κ) καὶ τὴν οἰκουμένην ὅλην
καταλήψομαι τῇ χειρὶ (κα) ὡς νοσ-
σιὰν (κβ) καὶ ὡς καταλελειμμένα
15 ᾠὰ ἀρῶ·... [15] μὴ δοξασθήσεται ἀξίνη
ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ; ἢ
ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος
αὐτόν; ὡσαύτως ἐάν τις ἄρῃ ῥάβδον
16 ἢ ξύλον (κγ), καὶ οὐχ οὕτως; [16] ἀλλὰ
ἀποστελεῖ κύριος Σαβαὼθ εἰς τὴν
σὴν τιμὴν ἀτιμίαν (κδ) καὶ εἰς τὴν
σὴν δόξαν πῦρ καιόμενον (κε) καυ-
17 θήσεται· [17] καὶ ἔσται τὸ φῶς (κϛ)
τοῦ Ἰσραὴλ ὡς πῦρ (κζ), καὶ ἁγιάσει
αὐτὸν (κη) ἐν πυρὶ καιομένῳ . . .
18 [18] τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσβεσθήσεται τὰ
ὄρη καὶ οἱ βουνοὶ καὶ οἱ δρυμοὶ (κθ),
καὶ καταφάγεται ἀπὸ ψυχῆς ἕως
σαρκῶν (λ)· καὶ ἔσται ὁ φεύγων ὡς ὁ
φεύγων ἀπὸ φλογὸς καιομένης (λα)·
19 [19] καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν
ἔσονται ἀριθμὸς (λβ), καὶ παιδίον
20 γράψει αὐτούς (λγ). [20] καὶ ἔσται ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ οὐκέτι προστεθήσεται
τὸ καταλειφθὲν Ἰσραὴλ (λδ), καὶ
οἱ σωθέντες τοῦ Ἰακὼβ (λε) οὐκέτι
μὴ πεποιθότες ὦσιν ἐπὶ τοὺς ἀ-
δικήσαντας αὐτοὺς (λϛ), ἀλλ' ἔσονται
πεποιθότες ἐπὶ τὸν θεὸν τὸν ἅγιον
21 τοῦ Ἰσραὴλ τῇ ἀληθείᾳ (λζ). [21] καὶ
ἔσται τὸ καταλειφθὲν τοῦ Ἰακὼβ

(κ) τῷ θορύβῳ τῆς ἀσεβείας.

(κα) εἰς διαρπαγὴν καὶ σφαγήν.

(κβ) ὡς ἀπρονοήτους ὑπάρχοντας.

(κγ) τουτέστιν ὥσπερ ἀξίνη καὶ πρίων καὶ ῥάβδος καὶ ξύλον οὐκ ἀφ' ἑαυτῶν ἐνεργεῖ, ἀλλ' ἀπὸ τῶν κινούντων, οὕτως οὐδὲ χωρὶς θεοῦ παιδεύειν ὁ διάβολος δύναται.

(κδ) ἀνθ' ὧν ἐπήρθης ὡς οἰκείᾳ δυνάμει τὴν Ἱερουσαλὴμ ἢ τὰ λοιπὰ παιδεύων ἔθνη ἅπερ διὰ σοῦ παρὰ θεοῦ παιδεύεται.

(κε) τὸ διὰ τῆς γλώττης τῶν ἀποστόλων ἁπτόμενον.

(κϛ) ἡ θεογνωσία.

(κζ) τὸ ἐκ τῆς χορηγίας τοῦ πνεύματος.

(κη) τὸν νοητὸν Ἰσραήλ.

(κθ) τῷ καιρῷ τῆς χορηγίας τοῦ πνεύματος ἅμα πάντες ἀποσωθήσονται οἱ ὑπερήφανοι καὶ οἱ τῇ κακίᾳ σύμφυτοι καὶ ταῖς ἀρεταῖς ἄκαρποι.

(λ) οἱ γὰρ ἀσεβεῖς ὁμοῦ τὴν σάρκα καὶ τὴν ψυχὴν ἀπόλλυνται.

(λα) τουτέστι μετὰ φόβου καὶ σπουδῆς.

(λβ) οἱ διαφυγόντες ἔσονται πολλοὶ καὶ τίμιοι.

(λγ) ὁ Χριστός· αὐτῷ γὰρ ἀπογράφονται.

(λδ) οἱ γὰρ πρὸς θεὸν ἐπιστρέφοντες οὐκέτι τῇ πλάνῃ προστεθήσονται.

(λε) διὰ πίστεως.

(λϛ) τοὺς δαίμονας.

(λζ) ἐπὶ τὸν Χριστόν· αὐτὸς γὰρ ἡ ἀλήθεια.

---

14 τῇ χειρὶ + μου A^3. 17 αὐτὸν B Hes. (vide κη), αὐτὸ A.
18 οἱ δρυμοὶ καὶ οἱ βουνοὶ A; Hes. sicut B (vide κθ).

22 ἐπὶ θεὸν ἰσχύοντα (λη). [22] καὶ ἐὰν
γένηται ὁ λαὸς Ἰσραὴλ ὡς ἡ ἄμμος
τῆς θαλάσσης, τὸ κατάλειμμα σω-
θήσεται (λθ). λόγος συντελῶν καὶ
23 συντέμνων ἐν δικαιοσύνῃ (μ), [23] ὅτι
λόγον συντετμημένον ποιήσει ὁ θεὸς
ἐν τῇ οἰκουμένῃ ὅλῃ (μα).

(λη) τὸν Χριστόν· αὐτὸς γὰρ θεοῦ δύναμις εἴρηται.

(λθ) οὐ γὰρ τὸ πλῆθος, ἀλλ' οἱ f. 78
πιστεύοντες σώζονται.

(μ) ὁ εὐαγγελικός· τελειοῖ γὰρ συντόμῳ δικαιοσύνῃ τὸν ἄνθρωπον.

(μα) διὰ γὰρ τῶν ἀποστόλων εἰδωλολατρίας καὶ πνικτοῦ καὶ αἵματος καὶ πορνείας ἀπέχεσθαι νομοθετεῖ τοῖς ἔθνεσιν.

10^{24-34}. Κεφ. ιη'.

Προσφώνησις τῷ πιστῷ λαῷ μὴ δεδιέναι τοὺς δαίμονας ὡς τάχος αὐτῶν μελλούσης τῆς τυραννίδος συντρίβεσθαι· καὶ αἴνιγμα τῆς διαβολικῆς ἐνεργείας ἣν ἐν τοῖς Ἰουδαίοις διὰ τῆς Ἡρώδου παιδοκτονίας ἐνήργησε· καὶ παράκλησις πρὸς τὴν νέαν Σιὼν ὡς ὀλοθρεύειν τοῦ Χριστοῦ τὸν ψευδόχριστον καὶ τοὺς σὺν αὐτῷ μέλλοντος.

24 [24] Διὰ τοῦτο τάδε λέγει κύριος
Σαβαὼθ Μὴ φοβοῦ, ὁ λαός μου,
οἱ κατοικοῦντες ἐν Σιὼν, ἀπὸ Ἀσσυ-
ρίων, ὅτι ἐν ῥάβδῳ πατάξει σε (α)·
πληγὴν γὰρ ἐπάγω ἐπὶ σὲ τοῦ ἰδεῖν
25 ὁδὸν Αἰγύπτου (β). [25] ἔτι γὰρ μικρὸν
καὶ παύσεται ἡ ὀργὴ, ὁ δὲ θυμός
μου ἐπὶ τὴν βουλὴν αὐτῶν (γ)·
26 [26] καὶ ἐπεγερεῖ ὁ θεὸς ἐπ' αὐτοὺς
κατὰ τὴν πληγὴν τὴν Μαδιὰμ (δ)

(α) ὁ θεὸς δι' αὐτῶν ὥστε σωφρονίσαι· οὐχὶ γὰρ ἀπολέσαι.

(β) διὰ τοῦτό σε παιδεύει, ἵνα γνῷς τὴν ὁδὸν Αἰγύπτου πλάνης ἀφορμὴν οὖσαν καὶ τιμωρίας πρόξενον.

(γ) ἐπειδήπερ οἱ δαίμονες τὴν παιδείαν εἰς διαφθορὰν μεταβαλεῖν ἐβουλεύσαντο.

(δ) πολλοὶ γὰρ ὄντες οἱ Μαδιηναῖοι ὑπὸ ὀλίγων ἔκστασιν τοῦ θεοῦ κατ' αὐτῶν ἐπιβαλόντος ἐπλήγησαν.

---

22 ὁ λαὸς + σου A³. λόγος συντελῶν > λόγον γὰρ συντελῶν A. 23 ὁ θεὸς + κύριος τῶν δυνάμεων A³. Κεφ. ιη': V om. κεφ. ιη'. Προσφώνησις > Προφώνησις C. αὐτῶν > αὐτὸν O. 26 ὁ θεὸς + τῶν δυνάμεων A³. ἐπ' αὐτοὺς + μάστιγας A³.

ἐν τόπῳ θλίψεως (ε), καὶ ὁ θυμὸς
αὐτοῦ (ϛ) τῇ ὁδῷ τῇ κατὰ θάλασσαν
εἰς τὴν ὁδὸν τὴν κατ' Αἴγυπτον.
27 [27] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ,
ἀφαιρεθήσεται ὁ φόβος αὐτοῦ (ζ)
28 ἀπὸ σοῦ . . . [28] ἥξει γὰρ εἰς τὴν
29 πόλιν Ἀγγαί, [29] καὶ παρελεύσεται εἰς
Μαγγεδὼ καὶ ἐν Μαχμὰς θήσει τὰ
σκεύη αὐτοῦ (η)· καὶ παρελεύσεται
φάραγγα καὶ ἥξει εἰς Ἀγγαί, φόβος
λήψεται Ῥαμᾶ (θ) πόλιν Σαούλ.
30 φεύξεται [30] ἡ θυγάτηρ Γαλλείμ,
ἐπακούσεται Λαϊσὰ (ι), ἐπακούσεται
31 ἐν Ἀναθώθ· [31] ἐξέστη Μαδεβηνὰ
32 καὶ οἱ κατοικοῦντες Γιββείρ. [32] παρα-
καλεῖται σήμερον ἐν τῇ ὁδῷ τοῦ
μεῖναι (ια), τῇ χειρὶ (ιβ) παρα-
καλεῖτε τὸ ὄρος τὴν θυγατέρα Σιὼν
καὶ οἱ βουνοὶ οἱ ἐν Ἱερουσαλήμ (ιγ).
33 [33] ἰδοὺ γὰρ ὁ δεσπότης κύριος Σα-
βαὼθ συνταράσσει τοὺς ἐνδόξους (ιδ)
μετὰ ἰσχύος, καὶ οἱ ὑψηλοὶ (ιε)
τῇ ὕβρει συντριβήσονται, καὶ τα-

(ε) ἐν ᾗ τιμωρούμενοι θλίβονται.

(ϛ) τοῦ θεοῦ ὥστε τῇ ὁδῷ τοῦ βαπτίσματος ἀπολέσαι τοὺς τὴν ὁδὸν ὁδεύοντας τὴν εἰς Αἴγυπτον τὴν νοητὴν ἀπάγουσαν· τοῦ νοητοῦ δὲ Φαραὼ τὴν στρατιὰν αἰνίττεται.

(ζ) τοῦ διαβόλου.

(η) ταῦτα πέπρακται μὲν τῷ αἰσθητῷ Ἀσσυρίῳ, πέπρακται δὲ καὶ νοητῷ ὃς νοητὴν ταῖς τῶν Ἰουδαίων χώραις πολιορκίαν ἐπήγαγεν.

(θ) ἐν οἷς Ἡρώδης ὑπὸ τοῦ διαβόλου ἐνεργηθεὶς τὰ παιδία τῆς Βηθλεὲμ ἀνεῖλεν, ἡ φωνὴ δὲ τῶν θρηνούντων ἐν Ῥαμᾶ καὶ ἐν ταῖς χώραις ταῖς περιοίκοις ἠκούετο.

(ι) αὗται γὰρ περίοικοι τῆς Ῥαμᾶ περὶ ἧς εἴρηται «Φωνὴ ἐν Ῥαμᾶ ἠκούσθη, κλαυθμὸς καὶ ὀδυρμὸς πολύς· Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς».[a]

(ια) τουτέστι προτρέψεται μὴ φυγεῖν, ἐπειδήπερ εἰς μαρτύριον ἐλογίζετο τῶν βρεφῶν ἡ ἀναίρεσις.

(ιβ) τοῦ Χριστοῦ· αὐτὸς γὰρ θεοῦ βραχίων εἴρηται. f. 78v

(ιγ) τουτέστι τοὺς βουνοὺς Ἱερουσαλήμ· οὕτω γὰρ οἱ λοιποὶ τῶν ἑρμηνευτῶν ἐξέθεντο.

(ιδ) τοὺς τὴν δόξαν τὴν βιωτικὴν ἔχοντας ἢ τοὺς δαίμονας.

(ιε) οἱ ἀλαζόνες καὶ ὑβρισταί.

---

29 Μαγεδδὼ A. 30 ἡ θυγάτηρ A[s] praem. χρεμέτισον φωνήν σου. Λαϊσὰ > ἐν σα A. 32 παρακαλεῖται legit Hes. (vide ια); παρακαλεῖτε A.

---

[a] Jer. 31^{15} (hebr.), hic cit. ex Matth. 2^{18}.

34 πεινωθήσονται οἱ ὑψηλοὶ (ις), [34] καὶ πεσοῦνται ὑψηλοὶ (ιζ) μαχαίρᾳ (ιη), ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς (ιθ) πεσεῖται.

(ις) οἱ ὑπερήφανοι.
(ιζ) οἱ τὰ ὑπὲρ αὐτοὺς μαχόμενοι.
(ιη) τῷ εὐαγγελικῷ λόγῳ.
(ιθ) μετὰ τῆς ὑπερηφανίας ἡ εἰδωλολατρία.

11^{1-9}. Κεφ. ιθ'.

Εὐαγγελισμὸς σαρκώσεως Χριστοῦ καὶ ὅπως ἐν αὐτῷ τὸ πλήρωμα κατοικήσει τοῦ πνεύματος, καὶ ὅπως τοὺς μὲν ἐναντίους διαφθερεῖ, ἀληθείᾳ δὲ καὶ δικαιοσύνῃ πρὸς τοὺς ἀνθρώπους χρήσεται καὶ μετὰ δικαίων ἀθροίσει τοὺς ἐξ ἁμαρτίας ἐπιστρέφοντας καὶ τὴν ἐκ δαιμόνων καταργήσει βλάβην πληθυνομένης τῆς πίστεως.

11 1 Καὶ ἐξελεύσεται ῥάβδος (α) ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος (β) ἐκ
2 τῆς ῥίζης ἀναβήσεται· [2] καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ θεοῦ (γ), πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας·
3 [3] ἐμπλήσει αὐτὸν πνεῦμα φόβου θεοῦ (δ). οὐ κατὰ τὴν δόξαν κρινεῖ οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει (ε),
4 [4] ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν καὶ ἐλέγξει τοὺς ταπεινοὺς τῆς γῆς (ς), καὶ πατάξει γῆν (ζ) τῷ λόγῳ τοῦ στόματος αὐτοῦ καὶ ἐν πνεύματι διὰ χειλέων ἀνελεῖ (η) ἀσεβῆ·
5 [5] καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ καὶ ἀληθείᾳ εἰλημμένος

(α) ἡ θεοτόκος παρθένος ὡς γάμῳ μὴ καμφθεῖσα.
(β) ὁ Χριστὸς ὡς δίχα σπορᾶς καθάπερ τὰ ἄνθη τὰ ἐν λειμῶνι σαρκούμενος.
(γ) «ἐν αὐτῷ γὰρ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς».[a]
(δ) ἑπτὰ τοῦ πνεύματος ἐνεργείας ἀπαριθμεῖται αἵτινες ἐν τῇ σαρκὶ τοῦ Χριστοῦ κατεσκήνωσαν.
(ε) οὐδὲ γὰρ ὁ Χριστὸς τῇ δόξῃ τοῦ κρινομένου οὐδὲ τοῖς λόγοις, ἀλλὰ τῇ ἀληθείᾳ προσέχει καὶ ταῖς πράξεσιν.
(ς) ἐπειδὴ τὸν ταπεινὸν καὶ ἀδικούμενον ἐκδικεῖ καὶ ἐλέγχει ἁμαρτάνοντα.
(ζ) τοὺς φρονοῦντας τὰ γήϊνα.
(η) τὸν διάβολον ὡς ἐνεργοῦντα.

34 καὶ πεσοῦνται ὑψηλοὶ A[3], etiam Hes. (vide ιζ). Κεφ. ιθ': V om. κεφ. ιθ'. διαφθερεῖ > διαφθείρη CO. 4 κρινεῖ + ἐν δικαιοσύνῃ A[3]. ἐλέγξει + ἐν εὐθύτητι A[3]. 5 πλευρὰς + αὐτοῦ A[3].

[a] Col. 2[9].

6 τὰς πλευράς (θ). 6 καὶ συμβοσκη-
θήσεται λύκος μετὰ ἀρνὸς (ι), καὶ
πάρδαλις συναναπαύσεται ἐρίφῳ (ια),
καὶ μοσχάριον καὶ ταῦρος καὶ λέων
ἅμα βοσκηθήσονται (ιβ), καὶ παιδίον
7 μικρὸν ἄξει αὐτούς (ιγ)· 7 καὶ βοῦς
καὶ ἄρκος (ιδ) ἅμα βοσκηθήσονται,
. . . καὶ λέων ὡς βοῦς ἅμα φά-
8 γονται ἄχυρα (ιε)· 8 καὶ παιδίον
νήπιον ἐπὶ τρώγλην ἀσπίδων καὶ
ἐπὶ κοίτην ἐκγόνων ἀσπίδων τὴν
9 χεῖρα ἐπιβαλεῖ (ιϛ). 9 καὶ οὐ μὴ
κακοποιήσωσιν (ιζ) οὐδ᾽ οὐ μὴ δύνωνται
ἀπολέσαι οὐδένα ἐπὶ τὸ ὄρος τὸ
ἅγιόν μου (ιη), ὅτι ἐνεπλήσθη ἡ
σύμπασα τοῦ γνῶναι τὸν κύριον ὡς
ὕδωρ πολὺ κατακαλύψαι θαλάσ-
σας (ιθ).

(θ) μετὰ γὰρ τῆς θεότητος καὶ τὴν σάρκα ἀληθείᾳ καὶ δικαιοσύνῃ περιβέβληται.
(ι) ὅ ποτε δολερὸς μετὰ ἀκεραίου.
(ια) ἡ πρὸ τούτου ἁρπακτικὴ ψυχὴ μετὰ τῆς νεμομένης ἐν ἁπλότητι.
(ιβ) δίκαιοι μετὰ τούτων οἵτινες ἦσάν ποτε φονικοὶ καὶ ἀνήμεροι.
(ιγ) ὁ Χριστὸς τοὺς ἁμαρτωλοὺς πρὸς τοὺς δικαίους.
(ιδ) ἡ ἐκ περιτομῆς ἐκκλησία καὶ ἡ ἀκρόβυστος.
(ιε) ὁ διώκτης ποτὲ Παῦλος ὡς ὁ Πέτρος τὰ ἄχυρα δαπανήσει τοῦ γράμματος.
(ιϛ) ὁ Χριστὸς ἐπὶ τοὺς φωλεοὺς τῶν δαιμόνων ἐλαύνων αὐτοὺς τοῖς σημείοις ὡς μάστιξιν.
(ιζ) οἱ δαίμονες. f. 79
(ιη) τὸ τῆς ἐκκλησίας.
(ιθ) ἐκάλυψε γὰρ τὸ γλυκὺ τῶν ἀποστόλων κήρυγμα τὰ ἁλμυρὰ τῶν Ἰουδαίων καὶ τῶν Ἑλλήνων δόγματα.

11^{10}—12^{6}. Κεφ. κ΄.

Ὅτι ἐθνῶν ὁ Χριστὸς προσδοκία καὶ τοὺς πανταχόθεν εἰς σωτηρίαν συνάξει καὶ τοῖς δικαίοις τοὺς ἐξομολογουμένους ἁμαρτωλοὺς συνάψει καὶ τοῖς μὲν ἔθνεσιν ἐκπέμψει τοὺς ἀποστόλους κήρυκας, ἐν Αἰγύπτῳ δὲ ἡ γνῶσις πληθυνθήσεται· καὶ προτροπὴ κοινωνίας βαπτίσματος καὶ δοξολογίας Χριστοῦ ἐφ᾽ οἷς ἐν τῇ Σιὼν ἐμυσταγώγησε θαύμασιν.

10 10 Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ (α) ἡ ῥίζα τοῦ Ἰεσσαὶ καὶ

(α) ὅταν ὁ Χριστὸς σαρκωθῇ.

8 ἐπὶ κοίτην A^{8} praem. ἀπογεγαλακτισμένων. Κεφ. κ΄: προσδοκία ὁ Χριστὸς O. δοξολογίας > δοξολογία Migne.

ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ'
αὐτῷ ἔθνη ἐλπιοῦσι, καὶ ἔσται ἡ
11 ἀνάπαυσις αὐτοῦ τιμή (β). 11 καὶ
ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ (γ) προσ-
θήσει κύριος τοῦ δεῖξαι τὴν χεῖρα
αὐτοῦ τοῦ ζηλῶσαι τὸ καταλειφθὲν
ὑπόλοιπον τοῦ λαοῦ (δ), ὃ ἂν κατα-
λειφθῇ ἀπὸ τῶν Ἀσσυρίων καὶ ἀπὸ
Αἰγύπτου καὶ Βαβυλωνίας καὶ Αἰ-
θιοπίας καὶ ἀπὸ Αἰλαμιτῶν καὶ ἀπὸ
ἡλίου ἀνατολῶν καὶ ἐξ Ἀραβίας (ε)·
12 12 καὶ ἀρεῖ σημεῖον (ϛ) εἰς τὰ
ἔθνη καὶ συνάξει τοὺς ἀπολομένους
13 Ἰσραὴλ (ζ), . . . 13 καὶ ἀφαιρεθήσεται
ὁ ζῆλος Ἐφραῒμ (η), καὶ οἱ ἐχθροὶ
Ἰούδα (θ) ἀπολοῦνται· Ἐφραῒμ οὐ
ζηλώσει Ἰούδαν, καὶ Ἰούδας οὐ
14 θλίψει Ἐφραΐμ (ι). 14 καὶ πετασ-
θήσονται ἐν πλοίοις ἀλλοφύλων (ια)·
θάλασσαν ἅμα προνομεύσουσι (ιβ)
καὶ τοὺς ἀφ' ἡλίου ἀνατολῶν καὶ
Ἰδουμαίαν καὶ ἐπὶ Μωὰβ πρῶτον
τὰς χεῖρας ἐπιβαλοῦσιν, οἱ δὲ υἱοὶ
Ἀμμὼν πρῶτοι ὑπακούσονται (ιγ).
15 15 καὶ ἐρημώσει κύριος τὴν θάλασσαν

(β) ὁ θάνατος δι' οὗ ὑπὲρ ἡμῶν ὑπνώσας ἀνεπαύσατο· τιμὴ γὰρ οὗτος διὰ τὴν ἀνάστασιν.

(γ) τῆς τοῦ σωτῆρος ἐκ νεκρῶν ἀναστάσεως.

(δ) ἐπλεόνασε γὰρ τότε διὰ τῶν ἀποστόλων τὰ θαύματα ἐξ ὧν ζῆλος θεῖος τῷ λοιπῷ λαῷ γέγονεν.

(ε) τοὺς ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς ἐν τῷ ὑπερῴῳ τῆς Σιὼν συναχθέντας αἰνίττεται.[a]

(ϛ) τὸν σταυρόν.

(ζ) τοῦ νοητοῦ.

(η) ὁ κατὰ τῶν αὐξομένων ἐν ἀρετῇ.

(θ) οἱ ἐχθροὶ τῶν ἐξομολογουμένων, οἱ δαίμονες.

(ι) οὔτε ὁ ἐν ἀρετῇ παραζηλώσει τὸν ἐξομολογούμενον, οὔτε ὁ ἐξομολογούμενος λυπήσει τὸν ἐν ἀρετῇ πρὸς αὐτὴν καὶ αὐτὸς ἐπαγόμενος.

(ια) οἱ ἀπόστολοι ἐν ταῖς τῶν ἐθνῶν ἐκκλησίαις.

(ιβ) τουτέστιν ἐκ πάσης τῆς γῆς σκυλεύσουσι τὴν ἀσέβειαν.

(ιγ) ἀδελφοὶ Μωὰβ καὶ Ἀμμών· περὶ δὲ αὐτῶν ὁ νόμος «Οὐκ εἰσελεύσεται Μωαβίτης καὶ Ἀμμανίτης εἰς ἐκκλησίαν κυρίου»[b] · ἀλλὰ πρώτοις μὲν αὐτοῖς οἱ ἀπόστολοι διὰ τῶν σημείων τὰς χεῖρας ἐπιβαλοῦσι, πρῶτοι δὲ καὶ αὐτοὶ

---

11 τοῦ λαοῦ + αὐτοῦ A³. Et Βαβυλωνίας et Αἰθιοπίας A³ praem. ἀπό. Ἀραβίας + καὶ ἀπὸ νήσων τῆς θαλάσσης A³. 13 ὁ ζῆλος Hes. (vide η) cum BS, ὁ ζυγὸς A.

---

[a] Act. 2⁹⁻¹¹. [b] Deut. 23³.

Αἰγύπτου (ιδ) καὶ ἐπιβαλεῖ τὴν χεῖρα
αὐτοῦ (ιε) ἐπὶ τὸν ποταμὸν πνεύματι
βιαίῳ, καὶ πατάξει ἑπτὰ φάραγγας (ις)
ὥστε διαπορεύεσθαι αὐτὸν ἐν ὑπο-
16 δήμασιν (ιζ)· [16] καὶ ἔσται ὁδὸς
τῷ καταλειφθέντι μου λαῷ ἐν Αἰ-
γύπτῳ (ιη), καὶ ἔσται τῷ Ἰσραὴλ
ὡς ἡ ἡμέρα, ὅτε ἐξῆλθεν ἐκ γῆς
Αἰγύπτου (ιθ).
12 1 Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
2 Εὐλογήσω σε κύριε . . . [2] ἰδοὺ ὁ
3 θεὸς σωτήρ μου (κ), . . . [3] καὶ
ἀντλήσεται ὕδωρ μετ' εὐφροσύνης ἐκ
4 τῶν πηγῶν τοῦ σωτηρίου (κα). [4] καὶ
ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Ὑμνεῖτε
κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ (κβ),
ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔνδοξα
αὐτοῦ (κγ)· μιμνήσκεσθε, ὅτι ὑψώθη
5 τὸ ὄνομα αὐτοῦ (κδ). [5] ὑμνήσατε
τὸ ὄνομα κυρίου, ὅτι ὑψηλὰ ἐποί-
6 ησεν (κε) . . . [6] ἀγαλλιᾶσθε καὶ
εὐφραίνεσθε οἱ κατοικοῦντες ἐν Σιών,
ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐν
μέσῳ αὐτῆς (κς).

ὑπακούσουσιν· «ὅπου γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις».[a]
(ιδ) τὴν πλάνην Αἰγύπτου. f. 79v
(ιε) ὁ Χριστὸς τὴν ἰδίαν καταβαίνων εἰς Αἴγυπτον ἐπιδείξεται.
(ις) δι' ἕλη ὥστε δέξασθαι τὰς ἑπτὰ ἐνεργείας τοῦ πνεύματος.
(ιζ) τοῖς εὐαγγελικοῖς λόγοις· ὑποδήματα γὰρ αὐτοὺς ὁ θεῖος Παῦλος ἔφησεν.[b]
(ιη) τοῖς ἐκ πλάνης σωζομένοις.
(ιθ) διὰ θαλάσσης γὰρ ἐξῆλθον τότε καὶ νῦν διὰ βαπτίσματος.
(κ) ὁ Χριστός· αὐτῷ γὰρ ὄνομα σωτήρ.
(κα) τῶν ὑδάτων τοῦ βαπτίσματος.
(κβ) ὅτι σωτὴρ ἔστι τε καὶ ὀνομάζεται.
(κγ) ὅσα σαρκωθεὶς ἐπετέλεσεν.
(κδ) διὰ σταυροῦ· ὕψος γὰρ ἑαυτοῦ τὸν σταυρὸν προσηγόρευσεν.[c]
(κε) διὰ τῆς ἀναστάσεως καὶ τῆς ἀναλήψεως.
(κς) τοῖς ἐν αὐτῇ θαύμασιν.

13^{1-16}. Κεφ. κα'.

Προφητεία κλήσεως ἐθνῶν διὰ Χριστοῦ καὶ ἀφίξεως καὶ τῶν ἐσομένων ἐν τῷ καιρῷ τῆς συντελείας ἐν τῇ γῇ καὶ τοῖς στοιχείοις ἅπασι καὶ τῆς τῶν ἀνόμων διαφθορᾶς καὶ τῆς τῶν δικαίων δόξης· καὶ οἷα πείσονται οἱ ὑπεύθυνοι τότε τῇ δίκῃ εὑρισκόμενοι.

13 1 Ὅρασις ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμὼς
κατὰ Βαβυλῶνος (α).
2 [2] ἐπ' ὄρους πεδινοῦ (β) ἄρατε

(α) τῆς αἰσθητῆς καὶ τῆς νοητῆς· Βαβυλὼν γὰρ σύγχυσις ἑρμηνεύεται.
(β) τοῦ Γολγοθᾶ· πεδινὸν γὰρ διὰ

15 πατάξει + αὐτῶν εἰς A^{8}. 6 αὐτῆς > σου A. Κεφ. κα': ὑπεύθυνοι sine οἱ C. (ιδ) πλάνην > πλάναν F.

[a] Rom. 5^{20}. [b] Eph. 6^{15}. [c] Io. 3^{14}. 8^{28}. $12^{32.34}$.

σημεῖον (γ), ὑψώσατε τὴν φωνὴν
αὐτοῖς (δ), παρακαλεῖτε τῇ χειρὶ (ε),
3 ἀνοίξατε οἱ ἄρχοντες (ϛ). [3] ἐγὼ συν-
τάσσω (ζ) καὶ ἐγὼ ἄγω αὐτοὺς (η),
. . . γίγαντες (θ) ἔρχονται πλη-
ρῶσαι τὸν θυμόν μου χαίροντες ἅμα
4 καὶ ὑβρίζοντες (ι). [4] φωνὴ ἐθνῶν
πολλῶν (ια) ἐπὶ τῶν ὀρέων (ιβ),
ὁμοία ἐθνῶν πολλῶν (ιγ), φωνὴ
βασιλέων (ιδ) καὶ ἐθνῶν συν-
ηγμένων (ιε). κύριος Σαβαὼθ ἐν-
τέταλται ἔθνει ὁπλομάχῳ (ιϛ),
5 [5] ἔρχεσθαι ἐκ γῆς πόρρωθεν (ιζ) ἀπ'
ἄκρου θεμελίου τοῦ οὐρανοῦ (ιη),
κύριος καὶ οἱ ὁπλομάχοι αὐτοῦ, τοῦ
καταφθεῖραι τὴν οἰκουμένην ὅλην (ιθ).
6 [6] ὀλολύζετε· ἐγγὺς γὰρ ἡ ἡμέρα
κυρίου (κ), καὶ συντριβὴ παρὰ τοῦ
7 θεοῦ ἥξει (κα). [7] . . . καὶ πᾶσα
8 ψυχὴ ἀνθρώπου δειλιάσει (κβ)· [8] καὶ
ταραχθήσονται οἱ πρέσβεις (κγ), καὶ
ὠδῖνες αὐτοὺς ἕξουσιν ὡς γυναικὸς
τικτούσης· καὶ συμφοράσουσιν ἕτερος
πρὸς τὸν ἕτερον (κδ), καὶ ἐκστήσονται
καὶ τὸ πρόσωπον αὐτῶν ὡς φλὸξ
9 μεταβαλοῦσιν (κε). [9] ἰδοὺ γὰρ ἡ

τὴν τοῦ Χριστοῦ συγκατάβασιν.
(γ) τὸν σταυρόν.
(δ) τὴν κλῆσιν τοῖς ἔθνεσιν.
(ε) τοῖς σημείοις.
(ϛ) τὴν ὁδὸν τῆς ζωῆς οἱ ἀπόστολοι.
(ζ) ὁ Χριστὸς τὸ εὐαγγέλιον. f. 80
(η) τοὺς εἰς αὐτὸν πιστεύοντας.
(θ) οἱ τῇ πίστει δυνατοί.
(ι) σκώπτοντες τὴν πλάνην.
(ια) τῶν εἰς Χριστὸν πιστευσάντων.
(ιβ) ἐπὶ τῶν ἐκκλησιῶν.
(ιγ) τῶν εὐαγγελικῶν.
(ιδ) τῶν ἐν ἀρετῇ βασιλευόντων.
(ιε) εἰς σωτηρίαν.
(ιϛ) τῷ μαχομένῳ ἐν τοῖς ὅπλοις οἷς ὁ Παῦλος ἐμήνυσεν.[a]
(ιζ) μακρὰν γὰρ ἦσαν τοῦ θεοῦ πρὸ τῆς πίστεως.
(ιη) οἷος γὰρ ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι τῷ Χριστῷ πιστεύσαντες.
(ιθ) ἀφανίσαι τὴν ἐν αὐτῇ πλάνην.
(κ) ἡ τῆς κρίσεως.
(κα) τοῖς ἁμαρτωλοῖς.
(κβ) πάντας γὰρ τότε φόβος εἰσέρχεται.
(κγ) οἱ ὑπὲρ τοῦ λαοῦ πρεσβεύοντες ἱερεῖς· ταράττονται γὰρ ὡς ὑπὲρ τοῦ λαοῦ ἀπολογεῖσθαι μέλλοντες.
(κδ) τὰς συμφορὰς τὰς ἰδίας ἀλλήλοις ἀναγγέλλοντες.
(κε) ὑπὸ τοῦ φόβου τὰς ὄψεις ἐκκαιόμενοι.

2 αὐτοῖς>ἑαυτοῖς+μὴ φοβεῖσθε A. χειρὶ Hes. (vide ε) cum BS. ψυχῇ A. 5 θεμελίου A³.

[a] Eph. 6¹³⁻¹⁷.

ἡμέρα κυρίου (κς) ἀνίατος (κζ)
ἔρχεται θυμοῦ (κη) καὶ ὀργῆς, θεῖναι
τὴν οἰκουμένην ἔρημον καὶ τοὺς
ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς.
10 [10] . . . καὶ σκοτισθήσεται τοῦ ἡλίου
ἀνατέλλοντος (κθ), καὶ ἡ σελήνη
11 οὐ δώσει τὸ φῶς αὐτῆς. [11] καὶ
ἐντελοῦμαι (λ) τῇ οἰκουμένῃ ὅλῃ
κακὰ (λα) . . . καὶ ἀπολῶ ὕβριν
12 ἀνόμων (λβ) . . . [12] καὶ ἔσονται οἱ
καταλελειμμένοι (λγ) ἔντιμοι μᾶλλον
ἢ τὸ χρυσίον τὸ ἄπυρον (λδ), καὶ ὁ
ἄνθρωπος (λε) μᾶλλον ἔντιμος ἔσται
13 ἢ ὁ λίθος ὁ ἐκ Σουφίρ (λς). [13] ὁ
γὰρ οὐρανὸς θυμωθήσεται (λζ), καὶ
ἡ γῆ σεισθήσεται ἐκ τῶν θεμελίων
αὐτῆς διὰ θυμὸν ὀργῆς κυρίου
14 Σαβαὼθ, . . . [14] καὶ ἔσονται οἱ
καταλελειμμένοι (λη) ὡς δορκάδιον
φεῦγον (λθ) καὶ ὡς πρόβατον
πλανώμενον, καὶ οὐκ ἔσται ὁ συν-
άγων (μ), ὥστε ἄνθρωπον εἰς τὸν
λαὸν αὐτοῦ ἀποστραφῆναι (μα), καὶ
ἄνθρωπος εἰς τὴν χώραν ἑαυτοῦ δι-
15 ώξεται (μβ). [15] ὃς γὰρ ἐὰν ἁλῷ (μγ),
ἡττηθήσεται (μδ), καὶ ὅσοι συν-
ηγμένοι εἰσὶ (με), μαχαίρᾳ (μς)
16 πεσοῦνται· [16] καὶ τὰ τέκνα αὐ-
τῶν (μζ) ἐνώπιον αὐτῶν ῥάξουσιν
καὶ τὰς οἰκίας αὐτῶν (μη) προ-
νομεύσουσι καὶ τὰς γυναῖκας αὐτῶν
ἕξουσιν (μθ).

(κς) τῆς κρίσεως.
(κζ) ἀνηλεής.
(κη) ἐπιμένοντος θυμοῦ.
(κθ) σκοτάσει ὁ ἥλιος ἐν τῇ ἐξόδῳ αὐτοῦ.
(λ) διατάξομαι.
(λα) κακωτικά.
(λβ) διαφθείρων τὸν ἄνομον.
(λγ) οἱ περιλιμπανόμενοι εἰς σω- f. 80▾
τηρίαν.
(λδ) τὸ πυρωθῆναι μὴ δυνάμενον.
(λε) ὁ τὸ τοῦ ἀνθρώπου φυλάξας ἀξίωμα.
(λς) ὁ τίμιος.
(λζ) διὰ τὸν θυμὸν τοῦ θεοῦ σαλευθήσεται.
(λη) οἱ ἁμαρτωλοὶ παρὰ θεοῦ.
(λθ) ταῦτα γὰρ μετὰ τὴν θήραν σφάττεται.
(μ) ὁ διασώζων τὸν ἁμαρτωλόν.
(μα) ὁ γὰρ δίκαιος πρὸς τοὺς δικαίους χωρήσει.
(μβ) ὁ ἁμαρτωλὸς δραμεῖται εἰς τὴν γέενναν.
(μγ) ἐν τῇ κρίσει.
(μδ) τῇ δικαιοσύνῃ τοῦ θεοῦ.
(με) ἐπὶ κακίᾳ.
(μς) τῇ ἀποφάσει.
(μζ) τοὺς ἐν κακίᾳ μαθητευθέντας.
(μη) τὰς πονηρὰς συναγωγάς.
(μθ) τὰς ἐπὶ κακίᾳ τοῖς ἁμαρτωλοῖς ζευχθείσας κρατήσουσιν εἰς τιμωρίαν οἱ ἄγγελοι.

---

12 Σουφείρ A. 14 ἄνθρωπος—διώξεται sic Hes. (vide μβ) cum B. ἄνθρωπον εἰς τὴν χ. αὐτοῦ διῶξαι A.

13^{17}—14^{6}. Κεφ. κβ΄.

Προφητεία, ὅτι τὰ ἔθνη κατὰ δαιμόνων ἀναστήσεται, καὶ ἀφανισθήσεται παρ' αὐτῶν ἡ τῶν εἰδώλων σύγχυσις, Ἰσραὴλ δὲ αὐτοῖς ὁ πιστεύων ἀναμιχθήσεται, καὶ θρῆνος ἐντεῦθεν τῷ διαβόλῳ γενήσεται.

17 [17] Ἰδοὺ ἐπεγείρω ὑμῖν τοὺς
Μήδους, οἳ οὐ λογίζονται ἀρ-
γύριον οὐδὲ χρυσίου χρείαν ἔχουσιν.
18 [18] τοξεύματα νεανίσκων συντρίψουσι
καὶ τὰ τέκνα ὑμῶν οὐ μὴ ἐλεήσουσιν,
οὐδὲ ἐπὶ τοῖς τέκνοις σου φείσονται
19 οἱ ὀφθαλμοὶ αὐτῶν (α). [19] καὶ ἔσται
Βαβυλὼν ἣ καλεῖται ἔνδοξος ὑπὸ
βασιλέως Χαλδαίων, ὃν τρόπον
κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ
20 Γόμορρα· [20] οὐ κατοικηθήσεται εἰς
τὸν αἰῶνα χρόνον (β), οὐδὲ μὴ
εἰσέλθωσιν εἰς αὐτὴν διὰ πολλῶν
γενεῶν (γ), οὐδὲ μὴ διέλθωσιν αὐτὴν
Ἄραβες (δ), οὐδὲ ποιμένες (ε) οὐ
21 μὴ ἀναπαύσωνται ἐν αὐτῇ. [21] καὶ
ἀναπαύσονται ἐκεῖ θηρία, καὶ πλησ-
θήσονται αἱ οἰκίαι ἤχου (ϛ)· καὶ
ἀναπαύσονται ἐκεῖ σειρῆνες (ζ), . . .
22 [22] καὶ ὀνοκένταυροι (η) ἐκεῖ κατ-
οικήσουσι καὶ νοσσοποιήσουσιν
ἐχῖνοι (θ)

(α) ταῦτα καθ' ἱστορίαν τοῖς αἰσθητοῖς Βαβυλωνίοις Μήδων παραλαβόντων τὴν ἀρχήν, ἡνίκα Βαλτάσαρ ἀνῃρέθη, γεγένηται· αἰνίττεται δὲ καὶ τὰ ἔθνη τά ποτε ὄντα τῇ ἀγνωσίᾳ βάρβαρα, νῦν δὲ διὰ τὴν εἰς Χριστὸν πίστιν μήτε πλούτου φροντίζοντα μήτε ὅπλων δεόμενα καὶ τὰ τέκνα τῶν νοητῶν Βαβυλωνίων, τὰ εἴδωλα, ἀφειδῶς ὀλοθρεύοντα.

(β) ὥσπερ γὰρ τὰ Σόδομα πυρί, οὕτως ἡ νοητὴ Βαβυλὼν τῇ ἐνεργείᾳ φθειρομένη τοῦ πνεύματος ἀοίκητος εἰς τὸ παντελὲς γίνεται.

(γ) τουτέστιν οὐδέποτε.

(δ) οἱ ἐξ ἐθνῶν πιστοὶ καὶ οἱ τούτων ἡγούμενοι περὶ ὧν εἴρηται «Βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσάξουσιν».[a]

(ε) οἱ τὰ λογικὰ τοῦ θεοῦ ποιμαίνοντες πρόβατα.

(ϛ) οἱ τῶν εἰδώλων ναοὶ τοῦ ἤχου f. 81
τῆς πτώσεως.

(ζ) τὰ φιλόθρηνα πνεύματα.

(η) οἱ σκληροὶ τῶν δαιμόνων καὶ ὑπερήφανοι.

(θ) οἱ δολεροί· κρύπτουσι γὰρ οἱ ἐχῖνοι τὰ πρόσωπα.

---

17 χρυσίου > χρυσίον A. 21 αἱ ante οἰκίαι om. A.

---

[a] Ps. 71 (72) [10].

ἐν τοῖς οἴκοις αὐτῶν· ταχὺ ἔρχεται
καὶ οὐ χρονιεῖ (ι).
14 1 1 Καὶ ἐλεήσει κύριος τὸν Ἰα-
κὼβ (ια) καὶ ἐκλέξεται ἔτι τὸν
Ἰσραὴλ, καὶ ἀναπαύσονται ἐπὶ τῆς
γῆς αὐτῶν (ιβ), καὶ ὁ γειώρας (ιγ)
προστεθήσεται πρὸς αὐτοὺς καὶ προσ-
τεθήσεται πρὸς τὸν οἶκον Ἰακὼβ (ιδ),
2 2 καὶ λήψονται αὐτοὺς ἔθνη καὶ εἰσ-
άξουσιν εἰς τὸν τόπον αὐτῶν (ιε)
. . . καὶ ἔσονται αἰχμάλωτοι οἱ
αἰχμαλωτεύσαντες αὐτοὺς (ις) . . .
3 3 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνα-
παύσει σε ὁ θεὸς ἐκ τῆς ὀδύνης καὶ
4 τοῦ θυμοῦ σου (ιζ) . . . 4 καὶ λή-
ψῃ τὸν θρῆνον τοῦτον ἐπὶ τὸν βα-
σιλέα Βαβυλῶνος (ιη) καὶ ἐρεῖς ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ Πῶς ἀναπέπαυται
ὁ ἀπαιτῶν, καὶ ἀναπέπαυται ὁ ἐπι-
5 σπουδαστής (ιθ); 5 συνέτριψεν ὁ θεὸς
τὸν ζυγὸν τῶν ἁμαρτωλῶν, τὸν ζυ-
6 γὸν τῶν ἀρχόντων (κ)· 6 πατάξας
ἔθνος (κα) θυμῷ πληγῇ ἀνιάτῳ,
παίων ἔθνος πληγὴν θυμοῦ ἣ οὐκ
ἐφείσατο, ἀνεπαύσατο πεποιθώς.

(ι) ἡ τῆς νοητῆς Βαβυλῶνος ἀπ-ώλεια.

(ια) τὸν ἐκ τοῦ λαοῦ τῶν Ἰουδαίων πιστεύσαντα.

(ιβ) τῆς θεοπνεύστου γραφῆς.

(ιγ) ὁ ἐξ ἐθνῶν λαὸς προσήλυτος.

(ιδ) πρὸς τὸν νόμον καὶ τοὺς προφήτας.

(ιε) τοὺς γὰρ Ἰουδαίους οἱ ἐξ ἐθνῶν πιστεύσαντες εἰς τὴν πίστιν εἰσάγουσιν.

(ις) οἱ δαίμονες.

(ιζ) τοῦ κατὰ σοῦ.

(ιη) τὸν διάβολον.

(ιθ) κατήργηται ὁ ἀπαιτῶν ὥσπερ φόρον τὴν ἁμαρτίαν τὸν ἄνθρωπον καὶ κατασπουδάζων εἰς ἀπώλειαν.

(κ) ὃν τοῖς ἁμαρτωλοῖς ἐπέβαλον οἱ τῶν δαιμόνων ἄρχοντες.

(κα) τὸ τῶν δαιμόνων· πληγὴν γὰρ αὐτοὺς ὁ θεὸς ἀνίατον ὑπὲρ ἡμῶν ὀργιζόμενος ἔπληξεν.

14^{7-27}. Κεφ. κγ'.

Χαρὰ τῶν ἐθνῶν καὶ σχετλιασμὸς τῶν ἀσεβῶν ἐπὶ τῷ πτώματι τοῦ διαβόλου· καὶ ἐπιτίμησις κατ' αὐτοῦ παρὰ τοῦ θεοῦ παντελῆ μὲν ὄλεθρον αὐτοῦ τε καὶ τῶν αὐτοῦ, βεβαίωσιν δὲ τῆς βουλῆς τῆς θείας καταγγέλλουσα.

7 7 Πᾶσα ἡ γῆ βοᾷ μετ' εὐφροσύνης,
8 8 καὶ τὰ ξύλα τοῦ Λιβάνου εὐ-

22 οἴκοις + σπατάλης A^{8}. cap. 14 inc. a ταχὺ ἔρχεται (in A cum 13^{22} coniunctum). χρονιεῖ + καὶ αἱ ἡμέραι αὐτῆς οὐ μὴ ἐφελκυσθῶσιν A^{8}.
1 ἐπὶ pro πρὸς A; πρὸς Hes. (vide ιδ) cum B.

φράνθησαν ἐπὶ σοί, καὶ ἡ κέδρος τοῦ
Λιβάνου Ἀφ' οὗ σὺ κεκοίμησαι, οὐκ
9 ἀνέβη ὁ κόπτων ἡμᾶς (α). [9] ὁ ᾅδης
κάτωθεν ἐπικράνθη (β) συναντήσας
σοι· συνηγέρθησάν σοι (γ) πάντες
οἱ γίγαντες οἱ ἄρξαντες τῆς γῆς (δ),
οἱ ἐγείραντες ἐκ τῶν θρόνων αὐτῶν
10 πάντας βασιλεῖς ἐθνῶν (ε). [10] πάν-
τες (ϛ) ἀποκριθήσονται καὶ ἐροῦσί
11 σοι **Καὶ** σὺ ἑάλως (ζ) . . . [11] . . .
καὶ τὸ κατακάλυμμά σου σκώληξ (η).
12 [12] πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ
ἑωσφόρος (θ) ὁ πρωὶ ἀνατέλλων;
συνετρίβη εἰς τὴν γῆν ὁ ἀπο-
στέλλων (ι) πρὸς πάντα τὰ ἔθνη.
13 [13] σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου (ια)
Εἰς τὸν οὐρανὸν ἀναβήσομαι . . .
15 [15] νῦν δὲ εἰς ᾅδου καταβήσῃ καὶ
16 εἰς τὰ θεμέλια (ιβ) τῆς γῆς. [16] οἱ
ἰδόντες σε θαυμάσουσιν ἐπὶ σοὶ καὶ
ἐροῦσιν **Οὗτος** ὁ ἄνθρωπος ὁ παρ-
οξύνων (ιγ) τὴν γῆν, σείων βασι-
17 λεῖς, [17] . . . καὶ τὰς πόλεις αὐτοῦ
καθεῖλε, τοὺς ἐν ἐπαγωγῇ οὐκ
18 ἔλυσε (ιδ). [18] πάντες οἱ βασιλεῖς (ιε)
τῶν ἐθνῶν ἐκοιμήθησαν ἐν τιμῇ, . . .
19 [19] σὺ δὲ ῥιφήσῃ ἐν τοῖς ὄρεσιν ὡς
νεκρὸς ἐβδελυγμένος μετὰ πολλῶν
τεθνηκότων (ιϛ) ἐκκεκεντημένων μα-
χαίραις (ιζ) καταβαινόντων εἰς ᾅδου.
ὃν τρόπον ἐν αἵματι ἱμάτιον πε-
φυρμένον οὐκ ἔσται καθαρὸν,
20 [20] οὕτως οὐδὲ σὺ ἔσῃ καθαρός (ιη)
. . .

(α) τῷ διαβόλῳ λέγουσιν Ἀφ' οὗ σὺ κατηργήθης, ἄλλος ἡμᾶς οὐκ ἔπληξεν. f. 81v

(β) ἐστύγνασε.

(γ) μετὰ σοῦ ἐσαλεύθησαν.

(δ) οἱ ἐν κακίᾳ δυναστεύσαντες, ὅθεν αὐτοὺς Ῥαφαεὶμ ὁ ἑβραῖος ἐκάλεσεν.

(ε) διὰ τῆς πλάνης δι' ἧς αὐτοὺς ἀπατῶντες ἐσάλευσαν.

(ϛ) οἱ τῇ ἀσεβείᾳ στρατευσάμενοι.

(ζ) τουτέστιν οὐδὲ σὺ διέφυγες τοῦ θεοῦ τὸ κριτήριον.

(η) πανταχόθεν σε κυκλώσει φθορά.

(θ) φωτοφόρος γὰρ ὡς ἄγγελος πρὶν ἐκπεσεῖν ὁ διάβολος.

(ι) τὸ τῆς ἀπάτης δέλεαρ.

(ια) ταῦτα γὰρ φαντασθεὶς τὴν οἰκείαν τάξιν ἀπέλιπεν.

(ιβ) εἰς τὰ κατώτατα.

(ιγ) ὁ ταράσσων.

(ιδ) τὰς μὲν γὰρ πολιτείας τοῦ κόσμου διέφθειρεν, ὡς ἀσυμπαθὴς δὲ οὐκ ἔλυσεν ἑκὼν οὓς εἰς αἰχμαλωσίαν ἀπήγαγεν. f. 82

(ιε) οἱ ἐν δικαιοσύνῃ βασιλεύσαντες.

(ιϛ) τῇ ἀπιστίᾳ.

(ιζ) τῇ ἀποφάσει τοῦ θεοῦ.

(ιη) ἐπειδὴ μολυσμῶν ἦν πανταχόθεν ἀνάμεστος ὁ διάβολος.

---

9 συναντήσας σοι + ἐρχομένου σου $\mathbf{A}^{8}$. 16 ἐροῦσιν + περὶ σοῦ $\mathbf{A}^{8}$. 17 καὶ τὰς πόλεις αὐτοῦ καθεῖλε $\mathbf{A}^{8}$, etiam Hes. (vide ιδ). ἐπαγωγῇ + αὐτοῦ $\mathbf{A}^{8}$. ἔλυσε + εἰς τὰς οἰκίας αὐτῶν $\mathbf{A}^{8}$.

(δ) Ῥαφαεὶμ sic **F**.

21 σπέρμα πονηρόν (ιθ). [21] ἑτοίμασον
σφαγῆναι τὰ τέκνα σου (κ) ταῖς
ἁμαρτίαις τοῦ πατρός σου, ἵνα μὴ
ἀναστῶσι (κα) . . . καὶ ἐμπλήσωσι
23 τὴν γῆν πολέμων (κβ) . . . [23] καὶ
θήσω τὴν Βαβυλωνίαν ἔρημον (κγ)
ὥστε κατοικεῖν ἐχίνους (κδ), καὶ
ἔσται εἰς οὐδέν (κε)· καὶ θήσω αὐτὴν
πηλοῦ βάθρον εἰς ἀπώλειαν (κϛ).
24 [24] τάδε λέγει κύριος Σαβαὼθ . . .
ὃν τρόπον βεβούλευμαι, οὕτως μενεῖ,
25 [25] τοῦ ἀπολέσαι τοὺς Ἀσσυρίους (κζ)
ἀπὸ τῆς γῆς τῆς ἐμῆς (κη) καὶ
ἀπὸ τῶν ὀρέων μου (κθ)· . . . καὶ
ἀφαιρεθήσεται ἀπ' αὐτῶν ὁ ζυγὸς
αὐτῶν (λ), καὶ τὸ κῦδος αὐτῶν ἀπὸ
τῶν ὤμων ἀφαιρεθήσεται (λα) . . .

(ιθ) τὴν κακίαν γὰρ ἔσπειραν.
(κ) ὅσοι σε πατέρα διὰ κακίαν ἐκτήσαντο.
(κα) ὑψωθῶσι.
(κβ) πονηρῶν πολιτειῶν.
(κγ) ἐξ ἀνθρώπων.
(κδ) τὰ δολερὰ πνεύματα.
(κε) παύσεται γὰρ τῆς πλάνης ἡ ἐνέργεια.
(κϛ) τουτέστι δαιμόνων βορβορῶδες χάος καὶ αὐτὸ κολαστήριον.
(κζ) ἀφανίσαι ἐκ τοῦ γένους τῶν ἀνθρώπων τοὺς δαίμονας.
(κη) τῆς εὐσεβείας.
(κθ) τῶν ὑψηλὰ φιλοσοφούντων.
(λ) ἀπὸ τῶν ἀνθρώπων ὁ τῶν δαιμόνων ζυγός.
(λα) τουτέστιν ἡ πλάνη ἐκ τῶν ἀν- f. 82v
θρωπίνων ὤμων ἥτις μὲν ὥσπερ ζυγὸς ἐπέκειτο, δόξα δὲ τῶν δαιμόνων ἐτύγχανεν.

14^{28-32}. Κεφ. κδ'.

Προσφώνησις τοῖς δαίμοσι μὴ θαρρεῖν τῷ Ἰουδαϊκῷ πτώματι, ἐπειδὴ χαλεπὰ παρὰ τῶν τοῖς ἀποστόλοις μαθητευθέντων πείσονται.

28 [28] Τοῦ ἔτους οὗ ἀπέθανεν Ἄχαζ
ὁ βασιλεύς, ἐγενήθη τὸ ῥῆμα τοῦτο.
29 [29] μὴ εὐφρανθείητε πάντες οἱ ἀλλό-
φυλοι· συνετρίβη γὰρ ὁ ζυγὸς τοῦ
παίοντος ὑμᾶς· ἐκ γὰρ σπέρματος
ὄφεως ἐξελεύσεται ἔκγονα ἀσπίδων,
καὶ τὰ ἔκγονα αὐτῶν ἐξελεύσονται
30 ὄφεις πετόμενοι (α), [30] καὶ βοσκη-

(α) ἀποθανόντος τοῦ Ἄχαζ Ἐζεκίας βασιλεὺς ἰσχυρότερος διεδέξατο καὶ διὰ τοῦτο μὴ ἐπιχαίρειν τῷ θανάτῳ τοῦ Ἄχαζ τοῖς ἀλλοφύλοις εἴρηται· νοητῶς δὲ ταῦτα πρὸς τοὺς δαίμονας λέγεται· ἀποθανόντος γὰρ τοῦ λαοῦ τῇ ἀπιστίᾳ τῶν Ἰουδαίων

---

25 ὤμων + αὐτῶν A^3. Κεφ. κδ': πεύσονται ut vid. C. πίσονται O.
29 ὄφεως B Hes. (vide α), ὄφεων A.

θήσονται πτωχοὶ δι' αὐτοῦ (β)·
πτωχοὶ δὲ ἄνδρες (γ) ἐπ' εἰρήνης
ἀναπαύσονται· ἀνελεῖ δὲ λιμῷ τὸ
σπέρμα σου (δ), καὶ τὸ κατάλειμμά
31 σου (ε) ἀνελεῖ. [31] ὀλολύζετε πύλαι
πόλεων (ς), κεκραγέτωσαν πόλεις
τεταραγμέναι, οἱ ἀλλόφυλοι (ζ)
πάντες, ὅτι καπνὸς (η) ἀπὸ βορρᾶ
ἔρχεται, καὶ οὐκ ἔστι (θ) τοῦ εἶναι.
32 [32] καὶ τί ἀποκριθήσονται βασιλεῖς
ἐθνῶν (ι); ὅτι κύριος ἐθεμελίωσε
Σιών, καὶ δι' αὐτοῦ (ια) σωθήσονται
οἱ ταπεινοὶ τοῦ λαοῦ.

ὅστις ἐν τῷ νόμῳ τὴν πλάνην τῶν εἰδώλων κωλύοντι τοὺς δαίμονας ἐμάστιξεν, ἐκ τῆς διδασκαλίας τοῦ Χριστοῦ τοῦ εἰπόντος «Ὥσπερ ὕψωσε Μωυσῆς τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου»[a] προῆλθον οἱ ἀπόστολοι καὶ ἐκ τούτων οἱ μάρτυρες πρὸς οὓς εἴρηται «Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις».[b]

(β) τοῦ Χριστοῦ.

(γ) περὶ ὧν εἴρηται «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι».[c]

(δ) ὁ Χριστὸς τὰ εἴδωλα μηδενὸς αὐτοῖς θύοντος.

(ε) ἐπαοιδοὺς καὶ γόητας.

(ς) τῶν ἐν ἀσεβείᾳ.

(ζ) οἱ ἀλλογενεῖς δαίμονες.

(η) τὸ διαβολικὸν σκότος.

(θ) ἡ κακία γὰρ ἀνυπόστατος.

(ι) ἐροῦσιν Οὐδὲν ἡμῖν καὶ τῇ πλάνῃ· τῇ γὰρ πίστει τῆς Σιὼν προσεδράμομεν.

(ια) διὰ τοῦ τῇ πίστει τὴν Σιὼν θεμελιώσαντος.

15^1—16^14. Κεφ. κε'.

Προφητεία κατὰ τῆς εἰδωλολατρείας ἐν αἰνίγματι τῆς Μωάβ· ἦν γὰρ αὕτη κατείδωλος· καὶ τῆς ἐπιδημίας τῆς τοῦ κυρίου πρόρρησις· καὶ τῆς τῶν πεπλανημένων ἐθνῶν διορθώσεως μήνυσις.

15 1 Τὸ ὅραμα τὸ κατὰ τῆς Μωαβίτιδος.
Νυκτὸς (α) ἀπολεῖται ἡ Μωα-

(α) Ἐν ἀγνοίᾳ.

30 λιμῷ A[3] praem. ἐν. 31 τοῦ εἶναι + ἐν τοῖς συντεταγμένοις αὐτοῦ A[3]. 32 λαοῦ + αὐτοῦ A[3]. Κεφ. κε': αὕτη > αὐτὴ O Migne.

[a] Io. 3[14]. [b] Matth. 10[16]. [c] Matth. 5[3].

βῖτις (β)· νυκτὸς γὰρ ἀπολεῖται
τὸ τεῖχος (γ) τῆς Μωαβίτιδος.
2 [2] λυπεῖσθε ἐφ' ἑαυτοῖς· ἀπολεῖται
γὰρ καὶ Ληβὼν (δ) οὗ ὁ βωμὸς
ὑμῶν (ε)· ἐκεῖ ἀναβήσεσθε κλαίειν
ἐπὶ Ναβαῦ τῆς Μωαβίτιδος (ς).
ὀλολύζετε, ἐπὶ πάσης κεφαλῆς φα-
λάκρωμα, πάντες βραχίονες κατα-
3 τετμημένοι (ζ), [3]. . . ὀλολύζετε
4 μετὰ κλαυθμοῦ. [4] ὅτι κέκραγεν
Ἐσεβὼν καὶ Ἐλεαλὴ (η), ἕως
Ἰασσὰ ἠκούσθη ἡ φωνὴ αὐτῶν· διὰ
τοῦτο ἡ ὀσφὺς (θ) τῆς Μωαβίτιδος
βοᾷ, ἡ ψυχὴ αὐτῆς γνώσεται (ι).
5 [5] ἡ καρδία τῆς Μωαβίτιδος βοᾷ (ια)
ἐν ἑαυτῇ ἕως Σηγώρ (ιβ)· δάμαλις
γάρ ἐστι τριετὴς (ιγ), ἐπὶ δὲ τῆς
ἀναβάσεως Λουεὶθ (ιδ) πρὸς σὲ
κλαίοντες ἀναβήσονται τῇ ὁδῷ Ἀρω-
νιείμ (ιε)· βοᾷ σύντριμμα καὶ σεισμός,

(β) ἡ Μωὰβ εἰδώλων καὶ ἀσελγείας πλήρης· αὐτοὶ γὰρ καὶ τὸν Βεελφεγὼρ ἐκέκτηντο.

(γ) ὁ φυσικὸς νόμος ἐν ἀγνωσίᾳ.

(δ) ἐπειδὴ σὺν ὑμῖν καὶ τὰ κύκλῳ f. 83
μαστίζεται.

(ε) ἐν τῷ τόπῳ τῆς εἰδωλολατρίας.

(ς) θρηνήσατε ἔνθα Μωυσῆς ἐτελειώθη[a] ὁ ἐντειλάμενος τοῖς θεραπευταῖς τῶν εἰδώλων ἀπώλειαν.

(ζ) διὰ τὰς πονηρὰς πράξεις.

(η) αἱ τοῦ βασιλέως Βασὰν περὶ Μωυσέως κατασχεθεῖσαι πόλεις[b] αἵτινες τὴν κακίαν Μωὰβ ὡς γειτονοῦσαι ἀνέκραγον.

(θ) διὰ τὸ φιλόπορνον.

(ι) τὴν ἁμαρτίαν ἐν τῷ τιμωρεῖσθαι.

(ια) ὑπὸ τοῦ συνειδότος συνεχομένη.

(ιβ) ἐκεῖ γὰρ ἐσώθη Λώτ·[c] ἕως οὖν αὐτῆς ἦν ἡ βοή· αὕτη γὰρ εἰκότως οὐκ ἐστέναξεν.

(ιγ) τουτέστι τρεῖς χρόνους πατριαρχῶν καὶ νόμου καὶ προφητῶν ἐν ἀταξίᾳ σκιρτήσασα.

(ιδ) ἐν τῇ αὐξήσει τῆς ἐκκλησίας καὶ παραβάσεως τοῦ νόμου καὶ τὸ πένθος ἐκκλῖνον· Λουεὶθ γὰρ ἔκκλισις ἑρμηνεύεται.

(ιε) τὸ ὄρος ἐν ᾧ ἐτελεύτησεν ὁ Ἀαρών·[d] Μωαβιτῶν γὰρ ἐτύγχανεν.

---

2 γὰρ καὶ Ληβὼν > γὰρ Δαιβηδὼν A. ἠκούσθη ἡ φωνὴ αὐτῆς A. Ἰασσὰ A³. Λουεὶθ. Ἀρωνιείμ > Ἀδωνιείμ A. 4 Ἐλεαλὴ—αὐτῶν > ἐλάλησεν, ἕως 5 Λουεὶθ A³ B; A pon. τῆς pro

---

[a] Deut. 34¹. [b] Num. 32³. [c] Gen. 19³⁰. [d] Aliter Num. 20²⁷: ἀνεβίβασεν αὐτὸν εἰς Ὢρ τὸ ὄρος.

6 [6] τὸ ὕδωρ τῆς Νεμρεὶμ (ις) ἔρημον
ἔσται, καὶ ὁ χόρτος αὐτῆς ἐκλείψει·
χόρτος γὰρ χλωρὸς οὐκ ἔσται (ιζ).
7 [7] μὴ καὶ οὕτως μέλλει σωθῆναι; ἐπάξω
γὰρ ἐπὶ τὴν φάραγγα Ἄραβας (ιη),
8 καὶ λήψονται αὐτήν. [8] συνῆψε γὰρ
ἡ βοὴ τὸ ὅρος τῆς Μωαβίτιδος τῆς
Ἀγαλλεὶμ (ιθ), καὶ ὀλολυγμὸς αὐτῆς
ἕως τοῦ φρέατος τοῦ Αἰλεὶμ (κ).
9 [9] τὸ δὲ ὕδωρ τὸ Ῥεμμὼν (κα)
πλησθήσεται αἵματος· . . . καὶ ἀρῶ
τὸ σπέρμα Μωὰβ (κβ) καὶ Ἀριὴλ
καὶ τὸ κατάλοιπον (κγ) Ἄδαμα.
16 1 Ἀποστελῶ ὡς ἑρπετὰ (κδ) ἐπὶ
τὴν γῆν· μὴ πέτρα ἔρημός ἐστι

(ις) Μωαβιτῶν καὶ αὐτὴ τῆς πολυειδώλου, ὅθεν αὐτῆς τὸ ὕδωρ τῆς πλάνης ἀφορίζεται· Νεβρωεὶμ γὰρ πικρία ἑρμηνεύεται.
(ιζ) ἐὰν γὰρ ὁ καρπὸς τῆς ἀπάτης ἀφανισθῇ, τότε ἡ Μωὰβ σώζεται ἀκωλύτως καρποφοροῦσα τὴν εὐσέβειαν.
(ιη) τοὺς ἐξ ἐθνῶν ἐπιστρέφοντας· οὗτοι γὰρ καὶ τὴν κρημνώδη τῇ ἀπιστίᾳ Μωαβῖτιν εἰς πίστιν παραλήψονται.
(ιθ) τουτέστιν ἐν τῷ θρηνεῖν ἀπεκαλύφθη αὐτῆς τὰ ἁμαρτήματα· Ἀχαλεὶμ γὰρ ἀποκάλυψις ἑρμηνεύεται.
(κ) τοῦτο ἐν τοῖς ὁρίοις μὲν ἦν Μωάβ· περὶ δὲ αὐτοῦ ἐν τοῖς Ἀριθμοῖς εἴρηται «Τοῦτο φρέαρ ὃ εἶπε κύριος πρὸς Μωυσῆν Συνάγαγε τὸν λαὸν καὶ συντάξω αὐτοῖς ὕδωρ πιεῖν»·[a] ἐκεῖ τοίνυν Μωαβῖται θρηνεῖν ὤφειλον ὡς τὸ θαῦμα μὴ δεξάμενοι.
(κα) χῶρος οὗτος τῆς Μωὰβ ἔνθα τὸν βωμὸν εἶχον τὸν εἰδωλικὸν καὶ τὸ ὕδωρ αὐτοῖς εἰκότως τῷ αἵματι τῶν θυσιῶν ἐμολύνετο.
(κβ) ὅπερ αὐτὴν ὁ διάβολος ἔσπειρεν.
(κγ) τὰ λείψανα τῆς Σοδόμων καὶ Γομόρρων κακίας.
(κδ) τὰ αὐτοῖς φωλεοῖς κρυπτόμενα, f. 83v
ὅταν δὲ φανῇ, ἀναιρούμενα.

---

6 Νεμρεὶμ A. Νεμηρεὶμ B. Νεβρὶμ S. Νεβρωεὶμ Hes. in ις. ἔρημον ἔσται + καὶ ξηρανθήσεται A[8]. 8 Ἀγαλλεὶμ A. Ἀγαλεὶμ B. Ἀγαλλὶμ S. Ἀχαλεὶμ Hes. in ιθ. Αἰλείμ + ὀλολυγμὸς αὐτῆς A[8].

---

[a] Num. 21^{16}.

2 τὸ ὄρος Σιών (κε); 2 ἔσῃ γὰρ ὡς
πετεινοῦ ἀνιπταμένου νεοσσὸς ἀφ-
ηρημένος, θυγάτηρ Μωὰβ (κϛ), ἔπειτα
3 δὲ Ἀρνῶν πλείονα 3 βουλεύου (κζ),
ποίει τε σκέπην πένθους (κη)·
αὕτη διὰ παντὸς ἐν μεσημβρινῇ
σκοτίᾳ (κθ) φεύγουσιν, ἐξέστησαν.
4 μὴ ἀχθῇς (λ), 4 παροικήσουσί σοι
οἱ φυγάδες Μωὰβ (λα)· ἔσονται γὰρ
σκέπη ὑμῖν ἀπὸ προσώπου διώκοντος,
ὅτι ἤρθη ἡ συμμαχία σου (λβ),
συνετελέσθη ταλαιπωρία, καὶ ὁ ἄρ-
χων (λγ) ἀπώλετο ὁ καταπατῶν ἐπὶ
5 τῆς γῆς. 5 καὶ διορθωθήσεται μετὰ
ἐλέους θρόνος (λδ), καὶ καθιεῖται (λε)
ἐπ᾽ αὐτοῦ μετὰ ἀληθείας ἐν σκηνῇ
6 Δαυὶδ (λϛ) . . . 6 ἠκούσαμεν τὴν
ὕβριν Μωὰβ (λζ), ὑβριστὴς σφόδρα,
τὴν ὑπερηφανίαν (λη) ἐξῆρας. οὐχ
οὕτως ἡ μαντεία σου, οὐχ οὕτως (λθ).
7 7 ὀλολύξει Μωάβ· ἐν γὰρ τῇ Μωαβίτιδι
πάντες (μ) ὀλολύξουσι· τοῖς κατ-

(κε) οὔτε ἀπρονόητος οὔτε ἄγονος καθ᾽ ἧς ἡ Μωὰβ ἐν τῇ πλάνῃ τῶν εἰδώλων ἐπῄρετο.

(κϛ) πετεινὸν ἀνιπτάμενον τῇ ὑπερηφανίᾳ τῶν λογισμῶν ὁ διάβολος· τούτου νεοσσὸς ἀφηρημένος ἡ Μωὰβ γίνεται τῆς πλάνης τῆς ἐξ αὐτοῦ χωριζομένη.

(κζ) Ἀρνῶν ὅριον Μωὰβ πρὸς τῷ Ἰσραὴλ κείμενον· ἐκεῖ φησι γενοῦ καὶ βουλεύου βελτίονα.

(κη) διηνεκῶς αὐτὴν οἱ διδάσκαλοι παρακαλεῖτε.

(κθ) νὺξ γὰρ ἐν τῇ μεσημβρίᾳ τῆς ἡμέρας ἐγένετο τοῦ σταυροῦ ἣν οἱ δαίμονες καταπλαγέντες ἔφυγον.

(λ) τουτέστι μὴ ἀπατηθῇς.

(λα) οἱ γὰρ ἐκ τῶν ἐθνῶν ἀπὸ τῆς πλάνης φυγόντες διὰ νόμου παροικοῦσι μὲν τῷ Ἰσραήλ, σκέπη δὲ αὐτοῖς διὰ πίστεως ἀπὸ προσώπου τοῦ διαβόλου γίνεται.

(λβ) ἡ εἰς κακίαν.

(λγ) ὁ τῆς πονηρίας· οὗτος γάρ ποτε κατεπάτει τὸν ἄνθρωπον.

(λδ) ἡ τοῦ Ἰσραὴλ βασιλεία.

(λε) ὁ Χριστός.

(λϛ) ἐν τῇ ἐκ Δαυὶδ σαρκί.

(λζ) τουτέστιν ἀκουστὴ πᾶσι πλεονάσασα γέγονεν.

(λη) διὰ τὴν ὑπερηφανίαν.

(λθ) οὐχ, ὡς προσεδόκησας, ἀπέβη· πεπλασμένη γὰρ εὕρηται.

(μ) ὅσοιπερ αὐτῆς τὴν πλάνην ἐμιμήσαντο.

---

1 Σιών A^8 praem. θυγατρός. 2 θυγάτηρ A^8 praem. ἔσῃ. 3 μὴ ἀχθῇς B Hes. (vide λ). μὴ ἀπ᾽ ἀρχῆς AS. 4 σοι om. A, non Hes. (vide λα). 6 ὑπερηφανίαν + αὐτοῦ A^8. ἐξῆρας + καὶ ἡ ὕβρις αὐτοῦ καὶ ἡ μῆνις αὐτοῦ A^8.

οικοῦσι δὲ Σὲθ (μα) μελετήσεις,
8 καὶ οὐκ ἐντραπήσῃ [8] τὰ πεδία (μβ)
Ἐσεβὼν (μγ). πενθήσει ἄμπελος (μδ)
Σεβαμά· καταπίνοντες (με) τὰ
ἔθνη καταπατήσατε τὰς ἀμπέλους
αὐτῆς (μϛ) ἕως Ἰαζήρ· οὐ μὴ συν-
άψητε (μζ), πλανήθητε τὴν ἔρημον,
οἱ ἀπεσταλμένοι ἀπ' αὐτῆς (μη)·
ἐγκατελείφθησαν, διέβησαν γὰρ τὴν
9 θάλασσαν (μθ). [9] διὰ τοῦτο κλαύσομαι
ὡς τὸν κλαυθμὸν Ἰαζὴρ ἄμπελον
Σεβαμά (ν)· τὰ δένδρα σου κατέβαλεν
Ἐσεβὼν καὶ ἐλάλησεν (να) Ἐπὶ
τῷ θερισμῷ καὶ ἐπὶ τῷ τρυγητῷ
σου καταπατήσω (νβ), καὶ πάντα
10 πεσοῦνται. [10] . . . ἐν τοῖς ἀμπελῶσί
σου οὐ μὴ εὐφρανθήσονται (νγ) καὶ
οὐ μὴ πατήσουσιν οἶνον (νδ) εἰς τὰ
11 ὑπολήνια· πέπαυται γάρ (νε). [11] διὰ
τοῦτο ἡ κοιλία μου ἐπὶ Μωὰβ ὡς
κιθάρα ἠχήσει (νϛ), καὶ τὰ ἐντός
μου ὡσεὶ τεῖχος ἐνεκαίνισας (νζ).
12 [12] καὶ ἔσται ὡς τὸ ἐντραπῆναί σε, . . .
13 [13] τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησε κύριος
ἐπὶ Μωάβ, ὁπότε καὶ ἐλάλησε (νη).

(μα) τὸν νόμον.
(μβ) τὰ τέκνα.
(μγ) ὡς ἐν αὐτῇ τὴν μελέτην τοῦ νόμου ἀποστρεφομένων.
(μδ) ἡ νοητὴ ὡς ἄκαρπος.
(με) οἱ δαίμονες διὰ πλάνης.
(μϛ) τῆς Μωάβ· τοῖς δαίμοσι γὰρ ἀσεβοῦσα ἐκδέδοται.
(μζ) ἑτέρους μὴ πλανήσητε.
(μη) τουτέστι παρέλθετε τὴν ἐκκλησίαν, οἱ ἀπὸ τῆς Μωὰβ εἰς πλάνην ἀπεσταλμένοι δαίμονες.
(μθ) οἱ γὰρ τὴν θάλασσαν περῶν- f. 84
τες τοῦ βαπτίσματος ἐκ τῆς πλάνης χωρίζονται.
(ν) ὁμοίαν γὰρ τὴν ἀκαρπίαν ἐκέκτηντο.
(να) ὁ βασκαίνων τῇ καρποφορίᾳ τῶν ἀνθρώπων διάβολος.
(νβ) ὡς οὐκ ἐχόντων ὑμῶν καρπὸν συλλογῆς ἄξιον.
(νγ) καθ' ἑαυτῶν γὰρ οἱ φυτεύοντες ἐν σοὶ ἐφύτευσαν.
(νδ) σπουδῆς δαιμόνων.
(νε) ἡ ἀσέβεια.
(νϛ) ἐπὶ τῇ ἀναιρέσει τῆς εἰδωλικῆς ἀπάτης Μωαβιτῶν χορεύουσα.
(νζ) ἀνανεοῦται γὰρ ἡ ψυχὴ τῶν εὐσεβῶν ἀπολλυμένης τῆς πλάνης καὶ τὸν θεὸν εἰς τὸ μηκέτι ἁμαρτάνειν ἐντρέπεται, ὅταν τῶν ἀσεβῶν τὴν ἐπὶ τοῖς δαίμοσιν ἐλπίδα ματαιουμένην θεάσηται.
(νη) τουτέστιν ἀφ' οὗ λαλεῖν περὶ αὐτῆς ἤρξατο μέχρι τοῦ νῦν.

8 ἀπ' αὐτῆς A[8]; post hoc Hes. interpung. (vide μη et μθ). γὰρ τὴν θάλασσαν sic Hes. (vide μθ). γὰρ πρὸς τὴν θάλασσαν B. γὰρ τὴν ἔρημον AS. 9 Ἐπὶ τῷ θερισμῷ A[8] praem. ὅτι. 10 πέπαυται γάρ + κέλευσμα A[8]. 11 τεῖχος + ὃ A.

14 [14] καὶ νῦν λέγω Ἐν τρισὶν ἔτεσιν
ἐτῶν μισθωτοῦ (νθ) ἀτιμασθήσεται
ἡ δόξα Μωὰβ ἐν παντὶ τῷ πλούτῳ
τῷ πολλῷ, καὶ καταλειφθήσεται
ὀλιγοστὸς καὶ οὐκ ἔντιμος.

(νθ) τοῦ λαοῦ τῶν Ἰουδαίων· μισθωτὸς γὰρ ἦν τοῦ νόμου τούτου τρία ἔτη πατριαρχῶν καὶ νόμου καὶ προφητῶν ἐν οἷς Μωὰβ τῇ ἀσεβείᾳ πλεονάσασα ἠτίμασται.

17^{1-11}. Κεφ. κς'.

Προφητεία τὴν πλάνην καὶ ἐκ Δαμασκοῦ παύσεσθαι· καὶ πρόρρησις τῆς τοῦ λαοῦ τῶν Ἰουδαίων ἐλαττώσεως, ἐθνῶν τε ἐπιστροφῆς· καὶ οἷα οἱ τῶν Ἰουδαίων παῖδες διὰ τὴν εἰς Χριστὸν ἀπιστίαν πεπόνθασιν.

17 1 Τὸ ῥῆμα τὸ κατὰ Δαμασκοῦ.
Ἰδοὺ Δαμασκὸς (α) ἀρθήσεται ἀπὸ
πόλεων (β) καὶ ἔσται εἰς πτῶσιν (γ)
2 [2] καταλελειμμένη εἰς τὸν αἰῶνα, εἰς
κοίτην ποιμνίων καὶ ἀνάπαυσιν (δ),
3 καὶ οὐκ ἔσται ὁ διώκων (ε)· [3] καὶ
οὐκέτι ἔσται ὀχυρὰ (ϛ) τοῦ καταφυγεῖν
Ἐφραίμ (ζ)· καὶ οὐκέτι ἔσται
βασιλεία ἐν Δαμασκῷ καὶ τὸ λοιπὸν
τῶν Σύρων ἀπολεῖται (η)· οὐ γὰρ
σὺ βελτίων εἶ τῶν υἱῶν Ἰσραὴλ
καὶ τῆς δόξης αὐτῶν (θ)· τάδε
4 λέγει κύριος Σαβαώθ [4] Ἔσται ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ ἔκλειψις τῆς δόξης
5 Ἰακὼβ (ι), . . . [5] καὶ ἔσται ὃν τρόπον
ἐάν τις συναγάγῃ ἀμητὸν ἑστηκότα

(α) ἐν τῇ πλάνῃ τῶν εἰδώλων καὶ ἡ Δαμασκὸς ἤκμαζεν.
(β) ὥστε μηκέτι ἐν ἀσεβείᾳ οἰκεῖσθαι.
(γ) μαστιζομένη παρὰ θεοῦ.
(δ) φθειρομένης γὰρ τῆς ἀσεβείας αἱ ποῖμναι τοῦ θεοῦ ἀναπαύονται.
(ε) τὰ τοῦ θεοῦ ποίμνια.
(ϛ) ἡ πλάνη. f. 84 v
(ζ) τὸν Ἰουδαϊκὸν λαὸν ἀεὶ τῇ πλάνῃ προσφεύγοντα.
(η) τουτέστι καὶ ἀπὸ τῆς λοιπῆς Συρίας ἡ τυραννὶς τοῦ διαβόλου ἀρθήσεται.
(θ) τουτέστιν εἰ τοῦ Ἰσραὴλ ἡ δόξα διὰ τὴν πλάνην ἠφάνισται, πολλῷ μᾶλλον ἡ τῶν ἀσεβούντων ἐθνῶν ἀτιμασθήσεται.
(ι) ὅτε γὰρ τοῦ διαβόλου ἡ τυραννὶς καταργεῖται, καὶ ἡ δόξα τοῦ λαοῦ τῶν Ἰουδαίων φθείρεται.

Κεφ. κς': παύσεσθαι > παύσασθαι V, παύεσθαι Migne. τῶν Ἰουδαίων οἱ παῖδες CO Migne. 2 ἀνάπαυσιν + βουκολίων A.

καὶ σπέρμα σταχύων ἐν τῷ βραχίονι
αὐτοῦ ἀμήσῃ (ια), καὶ ἔσται ὃν τρόπον
ἐάν τις συναγάγῃ στάχυν ἐν φάραγγι
6 στερεᾷ, 6 καὶ καταλειφθῇ ἐν αὐτῇ
καλάμη, ἢ ὡς ῥῶγες ἐλαίας δύο ἢ
τρεῖς ἐπ' ἄκρου μετεώρου, ἢ τέσσαρες
ἢ πέντε ἐπὶ τῶν κλάδων αὐτοῦ
καταλειφθῇ (ιβ). τάδε λέγει κύριος
7 ὁ θεὸς Ἰσραήλ 7 Τῇ ἡμέρᾳ ἐκείνῃ (ιγ)
πεποιθὼς ἔσται ἄνθρωπος ἐπὶ τῷ
ποιήσαντι αὐτὸν, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ
εἰς τὸν ἅγιον τοῦ Ἰσραὴλ (ιδ)
8 ἐμβλέψονται, 8 . . . καὶ οὐκ ὄψονται
τὰ ἄλση αὐτῶν (ιε) οὐδὲ τὰ βδε-
9 λύγματα αὐτῶν. 9 τῇ ἡμέρᾳ ἐκείνῃ
ἔσονται αἱ πόλεις σου (ις) ἐγκατα-
λελειμμέναι (ιζ), ὃν τρόπον ἐγκατ-
έλειπον οἱ Ἀμορραῖοι καὶ οἱ Εὐαῖοι
ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ (ιη).
10 καὶ ἔσονται ἔρημοι, 10 διότι ἐγ-
κατέλειπες τὸν θεὸν τὸν σωτῆρά
σου, . . . διὰ τοῦτο φυτεύσεις φύτευμα
ἄπιστον καὶ σπέρμα ἄπιστον (ιθ)·
11 11 τῇ δὲ ἡμέρᾳ ᾗ ἐὰν φυτεύσῃς (κ),
πλανηθήσῃ· τὸ δὲ πρωὶ ἐὰν σπεί-
ρῃς, ἀνθήσει εἰς ἀμητὸν ᾗ ἂν ἡμέρᾳ
κληρώσῃ (κα), καὶ ὥσπερ πατὴρ
ἀνθρώπου κληρώσῃ τοῖς υἱοῖς
σου (κβ).

(ια) ὥσπερ ὁ θερίζων χώραν ἄγονον καὶ πετρώδη ποτὲ μὲν κόκκους ὀλίγους, ποτὲ δὲ καλάμην συλλέγει, οὕτως ὁ τῶν Ἰουδαίων λαὸς ἄκαρπος ὑπάρχων διὰ τὴν ἀσέβειαν.

(ιβ) τὴν συναγωγὴν τῶν Ἰουδαίων αἰνίττεται ἧς ποτε τρεῖς ποτε πέντε χιλιάδες ἐν τοῖς ἐξ αὐτῆς κλάδοις, ἐν τοῖς ἀποστόλοις δηλαδὴ, τῇ πίστει σωθέντες ὑπελείφθησαν.

(ιγ) ἐν τῷ καιρῷ τοῦ εὐαγγελικοῦ κηρύγματος.

(ιδ) εἰς τὸν Χριστόν.

(ιε) ἐν οἷς τοῖς δαίμοσιν ἔθυον· πᾶν γὰρ εἶδος πλάνης εἰδωλικῆς ἀφανίζεται.

(ις) τῆς συναγωγῆς.

(ιζ) παρὰ θεοῦ.

(ιη) ὥσπερ γὰρ τὰ ἀσεβήσαντα πρότερον ἔθνη τῆς οἰκείας γῆς τῷ Ἰσραὴλ παρεχώρησαν, οὕτω πάλιν οἱ Ἰουδαῖοι τοῖς πιστεύσασιν ἔθνεσιν.

(ιθ) χωρισθεὶς γὰρ τῆς πίστεως f. 85
Χριστοῦ εἰς ἀπιστίαν ἐχώρησεν.

(κ) τὴν ἀπιστίαν.

(κα) τουτέστιν ἐὰν τὸν σπόρον τοῦ εὐαγγελικοῦ φωτὸς ἀναλάβῃς, εἰς ἀμητόν σοι προκόπτει ἐν τῷ καιρῷ καθ' ὃν τοῖς πιστοῖς ὁ Χριστὸς ὡς πατὴρ υἱοῖς τοὺς κλήρους τῆς εὐσεβείας διένειμεν.

(κβ) τοῖς πιστεύσασιν ἔθνεσιν· υἱοὶ γὰρ διὰ τὸν νόμον τοῦ Ἰσραὴλ οἱ ἐξ ἐθνῶν πιστεύσαντες.

---

7 ἄνθρωπος A[3] praem. ὁ. 11 A om. σου in fine.

17^{12}—18^{7}. Κεφ. κζʹ.

Κατάρα κατὰ τῶν ἐθνῶν ὁμοῦ καὶ κατὰ τῶν δαιμόνων· καὶ πρόρρησις ἀποστολικοῦ δρόμου πρὸς τὰ ἔθνη καὶ τῆς τῶν ἀπίστων ὀλοθρεύσεως, τῶν ἐξ ἐθνῶν δὲ πιστευσάντων πρὸς τὰ μυστήρια τὰ τῆς Σιὼν ἀφίξεως.

12 [12] Οὐαὶ πλῆθος ἐθνῶν πολλῶν (α)·
ὡς θάλασσα κυμαίνουσα, οὕτως ταρα-
χθήσεσθε, καὶ νῶτος ἐθνῶν πολλῶν
13 ὡς ὕδωρ ἠχήσει (β)· [13] ὡς ὕδωρ
πολὺ (γ) ἔθνη πολλά, ὡς ὕδατος
πολλοῦ βίᾳ καταφερομένου. καὶ
ἀποσκορακιεῖ αὐτὸν (δ), καὶ πόρρω
αὐτὸν διώξεται ὡς χνοῦν (ε) ἀχύρου
λικμώντων ἀπέναντι ἀνέμου καὶ ὡς
κονιορτὸν τροχοῦ καταιγὶς φέρουσα·
14 [14] πρὸς ἑσπέραν (ϛ) ἔσται πένθος,
πρὶν ἢ πρωῒ καὶ οὐκ ἔσται (ζ). αὕτη
ἡ μερὶς τῶν ὑμᾶς προνομευσάν-
των (η) . . .
18 1 Οὐαὶ γῆς πλοίων πτέρυγες
ἐπέκεινα ποταμῶν Αἰθιοπίας (θ),
2 [2] ὁ ἀποστέλλων ἐν θαλάσσῃ ὅμηρα (ι)
καὶ ἐπιστολὰς βιβλίνας ἐπάνω τοῦ
ὕδατος (ια)· πορεύσονται γὰρ ἄγγελοι

(α) τῶν ἐπιμεινάντων τῇ ἀπιστίᾳ.
(β) τὰ κτηνώδη ἔθνη καὶ σκληροκάρδια ὡς ὕδωρ ἠχήσει τυπτόμενα τοῖς τῶν δαιμόνων πνεύμασιν.
(γ) ἐμιμήσατο γὰρ τὴν ἄστατον τῶν ὑδάτων ὁρμὴν ἡ τῶν ἐθνῶν ἀσέβεια.
(δ) εἰς τὸ σκότος διώξει τὸν διάβολον.
(ε) ἀφανὴς γὰρ οὗτος πανταχοῦ σκορπιζόμενος γίνεται.
(ϛ) τῆς ἡμέρας τοῦ σταυροῦ.
(ζ) ὄρθρου γὰρ βαθέως τῆς ἀναστάσεως γενομένης τὸ πένθος τῶν πιστῶν ἀφανίζεται.
(η) τῶν δαιμόνων· ὡς χνοῦς γὰρ ἀχύρου καὶ ὡς κονιορτὸς ἀφανισθέντες μερίδα ταύτην ἕξουσιν.
(θ) πλοῖα γῆς ποταμῶν Αἰθιοπίας οἱ τῶν εἰδώλων οἶκοι διὰ τὸ μέλαν καὶ ὅτι τοὺς ἐν αὐτοῖς χειμάζουσι· πτέρυγες δὲ τούτων οἷς τὸ «Οὐαὶ οἱ δαίμονες».
(ι) ὁ διάβολος ἐν τῷ βίῳ τὰ τῆς πλάνης εἴδωλα.
(ια) τὰς βίβλους τῆς Ἑλληνικῆς σοφίας ὥστε καλύψαι τὸ ὕδωρ τοῦ βαπτίσματος.

Κεφ. κζʹ: ὁμοῦ sine καὶ O Migne. ante δαιμόνων om. τῶν OV. τὰ ante τῆς om. V. 13 ὕδατος A³ praem. ἦχος. χνοῦν > χοῦν A. 14 ἔσται πένθος A³ praem. καί.

κοῦφοι (ιβ) πρὸς ἔθνος μετέωρον,
καὶ ξένον λαὸν καὶ χαλεπόν (ιγ)·
τί αὐτοῦ ἐπέκεινα; ἔθνος ἀνέλπιστον
καὶ καταπεπατημένον (ιδ). νῦν οὗ
διήρπασαν οἱ ποταμοὶ τῆς γῆς
3 [3] πάντες ὡς χώρα κατοικουμένη
κατοικηθήσεται (ιε)· ἡ χώρα αὐτῶν
ὡσεὶ σημεῖον ἀπὸ ὄρους ἀρθῇ, ὡς
σάλπιγγος φωνὴ (ιϛ) ἀκουστὸν ἔσται.
4 [4] ὅτι οὕτως εἶπέ μοι κύριος Ἀσφάλεια
ἔσται ἐν τῇ ἐμῇ πόλει (ιζ) ὡς φῶς
καύματος μεσημβρίας (ιη), καὶ ὡς
νεφέλη δρόσου (ιθ) ἡμέρας ἀμητοῦ
5 ἔσται [5] πρὸ τοῦ θερισμοῦ, ὅταν συν-
τελεσθῇ ἄνθος (κ), καὶ ὄμφαξ (κα)
ἀνθήσῃ ἄνθος (κβ) ὀμφακίζουσα· καὶ
ἀφελεῖ τὰ βοτρύδια τὰ μικρὰ (κγ)
τοῖς δρεπάνοις, καὶ τὰς κληματίδας
6 ἀφελεῖ καὶ κατακόψει (κδ), [6] καὶ κατα-
λείψει ἅμα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ
καὶ τοῖς θηρίοις τῆς γῆς (κε)· καὶ
συναχθήσεται ἐπ' αὐτοὺς (κϛ) τὰ
πετεινὰ τοῦ οὐρανοῦ, καὶ πάντα τὰ
7 θηρία τῆς γῆς ἐπ' αὐτὸν ἥξει. [7] ἐν
τῷ καιρῷ ἐκείνῳ ἀνενεχθήσεται δῶρα
κυρίῳ Σαβαὼθ ἐκ λαοῦ τεθλιμμένου
καὶ τετιλμένου καὶ ἀπὸ λαοῦ
μεγάλου (κζ)

(ιβ) οἱ ἀπόστολοι ὡς μηδὲν εἰς ὁδὸν κελευσθέντες ἐπιφέρεσθαι.[a]

(ιγ) τόν ποτε ἐν ἀσεβείᾳ τυγχάνοντα.

(ιδ) σφόδρα γὰρ ἦν μακρυνθέντα θεοῦ τὰ ἔθνη, ὅθεν καὶ ἀνέλπιστοι καὶ παρὰ δαιμόνων πατούμενοι.

(ιε) ἡ χώρα γὰρ εἰς ἣν οἱ ποταμοὶ τῆς πλάνης ἐπορεύοντο οἰκεῖται νῦν παρὰ τῆς εὐσεβείας, πρότερον οὖσα ἀοίκητος.

(ιϛ) ὁ λόγος τοῦ εὐαγγελίου. f. 85v

(ιζ) τῇ Ἱερουσαλὴμ τῇ νέᾳ.

(ιη) ἐν ἀκμῇ φωτὸς καὶ θέρμης.

(ιθ) τὸ εὐαγγελικὸν κήρυγμα· δρόσον γὰρ τῷ θερισμῷ τῆς ἀποστολικῆς διδασκαλίας ἐποίησεν.

(κ) τὸ τῆς σαρκὸς τοῦ Χριστοῦ.

(κα) ὁ τῆς μυστικῆς σταφυλῆς.

(κβ) ἡ ἐκκλησία τὸ μυστήριον.

(κγ) τῶν Ἰουδαίων τοὺς εὐτελεῖς καρπούς.

(κδ) ἐπειδὴ ὄξος τῷ γεωργῷ προσήνεγκαν.

(κε) τοῖς ἅρπαξι καὶ ὠμοβόροις πνεύμασιν.

(κϛ) ἐπὶ τοὺς Ἰουδαίους· ἐξεδόθησαν γὰρ τοῖς δαίμοσι τὸν Χριστὸν ἀρνησάμενοι.

(κζ) τοῦ ἐπιστρέψαντος λαοῦ τῶν ἐθνῶν ὅπερ ἐξέτιλαν οἱ δαίμονες διὰ τῆς πλάνης θλίβοντες, μέγα δὲ νῦν ἐπιστρέψαν ἐγένετο.

2 νῦν dupl. A. οὗ διήρπασαν A^{3}; forse διήρπυσαν, cui illud ἐπορεύοντο glossae (ιε) responderet. 5 post θερισμοῦ A plene interpung.

[a] Luc. 9^{3}.

ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον· ἔθνος ἐλπίζον καὶ καταπεπατημένον (κη) ὅ ἐστιν ἐν μέρει τοῦ ποταμοῦ τῆς χώρας αὐτοῦ (κθ), εἰς τὸν τόπον οὗ τὸ ὄνομα κυρίου Σαβαὼθ, ὄρος Σιών.

(κη) νῦν ἐλπίζον εἰς τὸν Χριστόν· ἔμπροσθεν γὰρ αὐτὸ κατεπάτουν οἱ δαίμονες.
(κθ) ἐν τῇ μερίδι τοῦ βαπτίσματος· αὕτη γὰρ χώρα τοῦ Χριστοῦ ἔνθα τὸ ὄνομα κυρίου Σαβαὼθ ἐν τῇ Σιὼν τῇ νέᾳ ἐπικέκληται.

19^{1-17}. Κεφ. κη'.

Πρόρρησις οἷα τοὺς Αἰγυπτίους ὁ κύριος βρέφος πρὸς αὐτοὺς καταβὰς εὐηργέτησεν, ὅπως τε αὐτῶν πᾶν γένος τῆς ἀπάτης ἐξηφάνισε καὶ τοὺς σοφοὺς τοὺς παρ' αὐτοῖς νομιζομένους ᾔσχυνε καὶ φοβερὰν αὐτοῖς τὴν βουλὴν τὴν οἰκείαν κατέστησεν.

19 1 Ὅρασις Αἰγύπτου.
Ἰδοὺ κύριος κάθηται ἐπὶ νεφέλης
κούφης (α) καὶ ἥξει εἰς Αἴγυπτον (β),
καὶ σεισθήσεται τὰ χειροποίητα Αἰ-
γύπτου ἀπὸ προσώπου αὐτοῦ, καὶ αἱ
καρδίαι αὐτῶν (γ) ἡττηθήσονται ἐν
2 αὐτοῖς. [2] καὶ ἐπεγερθήσονται Αἰγύπ-
τιοι ἐπ' Αἰγυπτίους (δ), καὶ πολεμήσει
ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ καὶ
ἄνθρωπος τὸν πλησίον αὐτοῦ, πόλις
ἐπὶ πόλιν καὶ νομὸς ἐπὶ νομόν (ε).
3 [3] καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν
Αἰγυπτίων ἐν αὐτοῖς, καὶ τὴν
βουλὴν (ϛ) αὐτῶν διασκεδάσω, καὶ
ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν (ζ) ...
4 καὶ τοὺς γνώστας. [4] καὶ παραδώσω
Αἴγυπτον εἰς χεῖρας ἀνθρώπων κυρίων
5 σκληρῶν (η) . . . [5] καὶ πίονται οἱ

(α) ὁ Χριστὸς ἐπὶ τῆς παρθένου.
(β) ὅτε πρὸς τὸν Ἰωσὴφ τοῦτο ἐχρημάτισεν ὁ ἄγγελος.[a]
(γ) τῶν τοῖς εἰδώλοις δουλευόντων.
(δ) ἡ πλάνη γὰρ καθ' ἑαυτῆς καὶ f. 86
οἱ ταύτην μετιόντες μερίζονται ὥστε κρατῆσαι τὴν ἀλήθειαν.
(ε) νομοὶ τῶν Αἰγυπτίων λέγονται αἱ χῶραι διὰ τὸ πλεονάζειν ἐν αὐταῖς ἐκ τῶν ποταμίων ὑδάτων τὰς νομάς.
(ϛ) ἣν ἐπὶ τῇ βεβαιώσει τῆς εἰδωλολατρίας ἐβουλεύσαντο.
(ζ) πολυπραγμονῆσαι γὰρ βουλόμενοι τὰ διὰ Χριστοῦ θαύματα ἐπερωτῶσι τὰ εἴδωλα.
(η) τῶν τὸν εὐαγγελικὸν κηρυττόντων λόγον· σκληρῶς γὰρ τῶν δαιμόνων κυριεύουσιν.

Κεφ. κη': τοὺς Αἰγυπτίους > τοῖς Αἰγυπτίοις V. τε > δὲ O Migne. ἐξηφάνισε > ἐξηφάνησε OV. σοφοὺς τοὺς > σοφοὺς τοῖς O. 2 ἐπεγερθήσεται πόλις A. 4 Αἴγυπτον A^{3} praem. τήν.

[a] Matth. 2^{13}.

Αἰγύπτιοι ὕδωρ τὸ παρὰ θάλασσαν (θ),
ὁ δὲ ποταμὸς ἐκλείψει καὶ ξηραν-
6 θήσεται (ι)· [6] καὶ ἐκλείψουσιν οἱ
ποταμοὶ (ια) καὶ αἱ διώρυχες τοῦ
ποταμοῦ, καὶ ξηρανθήσεται πᾶσα
συναγωγὴ ὕδατος (ιβ) καὶ ἐν παντὶ
ἕλει καλάμου καὶ παπύρου (ιγ),
7 [7] καὶ τὸ ἄχι (ιδ) τὸ χλωρὸν πᾶν
τὸ κύκλῳ τοῦ ποταμοῦ καὶ πᾶν τὸ
σπειρόμενον διὰ τοῦ ποταμοῦ ξηραν-
8 θήσεται ἀνεμόφθορον. [8] καὶ στενά-
9 ξουσιν οἱ ἁλιεῖς (ιε) . . . [9] καὶ αἰσχύνη
λήψεται τοὺς ἐργαζομένους (ις) τὸ
10 λίνον τὸ σχιστὸν (ιζ) . . . [10] . . .
πάντες οἱ τὸν ζῦθον (ιη) ποιοῦντες
λυπηθήσονται καὶ τὰς ψυχὰς πονέ-
11 σουσι. [11] καὶ μωροὶ ἔσονται οἱ
ἄρχοντες Τάνεως (ιθ), οἱ σοφοὶ
σύμβουλοι τοῦ βασιλέως (κ), ἡ βουλὴ
αὐτῶν μωρανθήσεται (κα). πῶς ἐρεῖτε
τῷ βασιλεῖ Υἱοὶ συνετῶν ἡμεῖς (κβ)
12 . . . [12] ποῦ εἰσὶ νῦν οἱ σοφοί σου (κγ),
καὶ ἀναγγειλάτωσάν σοι καὶ εἰπά-
τωσαν τί βεβούλευται κύριος Σαβαὼθ
13 ἐπ' Αἴγυπτον (κδ); [13] ἐξέλειπον οἱ
ἄρχοντες Τάνεως, καὶ ὑψώθησαν (κε)
οἱ ἄρχοντες Μέμφεως, καὶ πλανήσουσιν
14 Αἴγυπτον κατὰ φυλάς (κς). [14] κύριος
γὰρ ἐκέρασεν αὐτοῖς πνεῦμα πλανή-
15 σεως (κζ), . . . [15] καὶ οὐκ ἔσται
τοῖς Αἰγυπτίοις ἔργον ὃ ποιήσει
κεφαλὴν καὶ οὐράν, ἀρχὴν καὶ

(θ) τοῦ βαπτίσματος.
(ι) ἡ ἀσέβεια ἣν ἐν τῷ ποταμῷ ἐπετέλουν τῷ Νείλῳ σπονδὰς ἐκεῖ καὶ θυσίας προσφέροντες.
(ια) τῆς Αἰγυπτίας πλάνης τὰ ῥεύματα.
(ιβ) ἡ Αἰγυπτίων σοφία.
(ιγ) ἐν οἷς οἱ δαίμονες ὥσπερ θηρία τρέφονται.
(ιδ) τὸ ἕλος τὸ ποτάμιον ἐν ᾧ τὰ ἑρπετὰ τῶν εἰδώλων ἐπράττετο.
(ιε) ταῖς τῶν ἀποστόλων σαγήναις καταργούμενοι.
(ις) τοὺς τοὺς λεπτοὺς συλλογισμοὺς τῆς σοφίας τῶν Ἑλλήνων ὑφαίνοντας.
(ιζ) κτενιστόν.
(ιη) ἀπὸ κριθῆς ὁ ζῦθος· τοιαύτη f. 86 v
δὲ καὶ ἡ τῶν ἀσεβῶν διδασκαλία· ἀπὸ κτηνώδους γὰρ λογισμοῦ τὴν ἐργασίαν κέκτηνται.
(ιθ) οἱ τῆς πλάνης ἡγεμόνες· ἐν Τάνει γὰρ ἐνεπλεόναζεν· ἀρχαία δὲ ἦν αὕτη τῶν Αἰγυπτίων μητρόπολις.
(κ) Φαραώ.
(κα) ἐπειδὴ τοῦ κόσμου τὴν σοφίαν ἐμώρανεν ὁ θεός.[a]
(κβ) εἰ γὰρ ἦτε συνετοί, οὐκ ἂν τὸν τῆς δόξης κύριον ἐσταυρώσατε.[b]
(κγ) τοῦ νοητοῦ Φαραὼ λέγει.
(κδ) ἐπὶ τὴν εἰδωλικὴν πλάνην.
(κε) ὕψος πτώσεως πρόξενον.[c]
(κς) τουτέστι μεριοῦνται τὴν Αἴγυπτον εἰς ἀπάτην οἱ δαίμονες.
(κζ) παραδεδωκὼς αὐτοὺς τῇ πλάνῃ ἣν ἀφ' ἑαυτῶν εἵλοντο.

[a] I Cor. 1[20]. [b] Act. 3[17]. I Cor. 2[8]. [c] Prov. 16[18].

16 τέλος (κη). 16 τῇ δὲ ἡμέρᾳ ἐκείνῃ
ἔσονται οἱ Αἰγύπτιοι ὡς γυναῖκες
ἐν φόβῳ καὶ ἐν τρόμῳ ἀπὸ προσ-
ώπου τῆς χειρὸς (κθ) κυρίου Σαβαὼθ
17 ἣν αὐτὸς ἐπιβαλεῖ αὐτοῖς (λ). 17 καὶ
ἔσται ἡ χώρα τῶν Ἰουδαίων τοῖς
Αἰγυπτίοις εἰς φόβητρον· πᾶς ὃς
ἂν ὀνομάσῃ αὐτὴν αὐτοῖς (λα)
φοβηθήσονται διὰ τὴν βουλὴν
κυρίου Σαβαὼθ ἣν βεβούλευται
κύριος ἐπ' αὐτήν (λβ).

(κη) τουτέστιν ἣν ἂν ἐπιχειρήσωσι πρᾶξιν, εἰς τέλος οὐκ ἐλεύσεται.
(κθ) τῆς ἐνεργούσης τὰ θαύματα.
(λ) εἰς τὴν τῶν εἰδώλων διαφθοράν.
(λα) μανθάνοντες τὰ πεπραγμένα ἐν τῇ Ἰουδαίᾳ θαύματα.
(λβ) κατὰ τῆς ἐν αὐτῇ πλάνης.

19 18—25. Κεφ. κθ'.

Προφητεία τῆς Αἰγυπτίων πρὸς τὸν θεὸν ἐπιστροφῆς, καὶ ὅπως μετὰ τῶν ἄλλων ἐθνῶν τὰ πρωτεῖα κατὰ τοῦ Ἰσραὴλ ἕξουσιν.

18 18 Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται
πέντε πόλεις (α) ἐν Αἰγύπτῳ λα-
λοῦσαι τῇ γλώσσῃ τῇ Χανανίτιδι (β)
. . . πόλις ἀσεδὲκ (γ) κληθήσεται
19 ἡ μία πόλις. 19 τῇ ἡμέρᾳ ἐκείνῃ
ἔσται τὸ θυσιαστήριον τῷ κυρίῳ ἐν
χώρᾳ Αἰγυπτίων καὶ στήλη (δ) πρὸς
20 τὸ ὅριον αὐτῆς τῷ κυρίῳ, 20 καὶ
ἔσται εἰς σημεῖον εἰς τὸν αἰῶνα (ε)
κυρίῳ ἐν χώρᾳ Αἰγύπτου· ὅτι
κεκράξονται πρὸς κύριον διὰ τοὺς
θλίβοντας αὐτοὺς (ϛ), καὶ ἀποστελεῖ

(α) αἱ αἰσθήσεις· ἐν αὐταῖς γὰρ ὡς πόλεσιν ἡ ψυχὴ τὴν πολιτείαν κέκτηται.
(β) τῆς Χαναναίας τῆς λεγούσης «Καὶ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν».[a]
(γ) ἡ γλῶσσα λαλοῦσα δίκαια· τὸ f. 87
γὰρ ἀσεδὲκ «αὐτὴ δικαιοσύνη» ἑρμηνεύεται.
(δ) χαρακτὴρ ἀκριβὴς τῆς Χριστοῦ πολιτείας.
(ε) τουτέστιν οὐ προσκαίρως ὥσπερ τὰ εἴδωλα, ἀλλ' αἰωνίως ἡ πίστις παρ' αὐτοῖς ἡ τοῦ Χριστοῦ γενήσεται.
(ϛ) τοὺς δαίμονας.

17 κύριος + Σαβαὼθ A^3.
20 κυρίῳ + Σαβαὼθ A^3.

Κεφ. κθ': πρωτεῖα > πρωτία O.

[a] Matth. 15 27.

αὐτοῖς κύριος ἄνθρωπον (ζ) ὃς σώσει
αὐτούς, κρίνων σώσει αὐτούς (η).
21 [21] . . . καὶ γνώσονται οἱ Αἰγύπτιοι
τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ (θ)
. . . καὶ εὔξονται εὐχὰς τῷ κυρίῳ (ι)
22 καὶ ἀποδώσουσιν. [22] καὶ πατάξει κύριος
τοὺς Αἰγυπτίους πληγῇ μεγάλῃ (ια)
καὶ ἰάσεται αὐτοὺς ἰάσει (ιβ), καὶ
ἐπιστραφήσονται πρὸς κύριον . . .
23 [23] τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται ὁδὸς ἀπὸ
Αἰγύπτου πρὸς Ἀσσυρίους, καὶ εἰσ-
ελεύσονται Ἀσσύριοι εἰς Αἴγυπτον (ιγ)·
καὶ Αἰγύπτιοι πορεύσονται πρὸς Ἀσσυ-
ρίους, καὶ δουλεύσουσιν οἱ Αἰγύπτιοι
24 τοῖς Ἀσσυρίοις (ιδ). [24] τῇ ἡμέρᾳ
ἐκείνῃ ἔσται Ἰσραὴλ τρίτος (ιε) ἐν
τοῖς Ἀσσυρίοις καὶ ἐν τοῖς Αἰγυπτίοις
25 εὐλογημένος ἐν τῇ γῇ [25] ἣν εὐλόγησε
κύριος Σαβαὼθ λέγων Εὐλογημένος
ὁ λαός μου ὁ ἐν Αἰγύπτῳ καὶ ὁ
ἐν Ἀσσυρίοις καὶ ἡ κληρονομία μου
Ἰσραήλ (ις).

(ζ) τὸν Χριστὸν διὰ τὴν σάρκα· Μωυσῆν γὰρ ὁ ἑβραῖος ἐξέδωκεν.
(η) αὐτὸς γὰρ καὶ κριτὴς καὶ σωτήρ.
(θ) καθ' ἣν αὐτοῖς φόβος τῶν σημείων τοῦ μονογενοῦς γίνεται.
(ι) ὡς φιλοσοφοῦντες ἐξαίρετα.
(ια) τῇ ἀπειλῇ.
(ιβ) τῇ συγγνώμῃ.
(ιγ) τουτέστιν ἐπιμιγήσεται ἀλλήλοις τὰ ἔθνη διὰ τῆς εὐαγγελικῆς πίστεως.
(ιδ) ἀκολουθήσουσιν, ἐπειδὴ οἱ Ἀσσύριοι τῆς πίστεως διὰ τῶν μάγων ἤρξαντο.
(ιε) πρῶτοι γὰρ Ἀσσύριοι τὸν Χριστὸν διὰ τῶν μάγων προσεκύνησαν, δεύτερον Αἰγύπτιοι βρέφος ὄντα ἐδέξαντο, καὶ μετὰ τοῦτο ὁ Ἰσραὴλ μυσταγωγεῖσθαι ἤρξατο.
(ις) τὰ γὰρ ἔθνη πρὸ τοῦ Ἰσραὴλ εὐλογεῖται τῇ χάριτι.

20$^{1-6}$. Κεφ. λ'.

Προσφώνησις τῷ Ἡσαΐᾳ κηρύξαι τὴν γενομένην τοῖς πιστοῖς ἔθνεσιν ἐκ τῆς τῶν εἰδώλων αἰχμαλωσίας γύμνωσιν.

20 1 Τοῦ ἔτους οὗ εἰσῆλθε Τανάθαν
εἰς Ἄζωτον, . . . καὶ κατελάβετο
2 αὐτήν (α), [2] τότε ἐλάλησε κύριος
πρὸς Ἡσαΐαν λέγων Πορεύου καὶ
ἄφελε τὸν σάκκον (β) ἀπὸ τῆς ὀσφύος

(α) τουτέστιν ἐγκρατὴς αὐτῆς γέ- f. 87^{v}
γονεν.
(β) σάκκον γὰρ πενθῶν τὴν τῶν Ἰουδαίων ἀσέβειαν ὁ προφήτης ἐνεδέδυτο.

---

23 ἀπὸ (ante Αἰγύπτου) A^{3} B. 25 pro ἣν A pon. ἧ. ἐν Ἀσσυρίοις A^{3} praem. ἔργον χειρός μου. 1 Τανάθαν > Νάθαν A. 2 Ἡσαΐαν + υἱὸν Ἀμὼς A^{3} B.

(β) ἐνεδέδυτο > ἐνδέδυτο F.

σου . . . καὶ ἐποίησεν οὕτως (γ),
πορευόμενος γυμνὸς καὶ ἀνυπόδετος.
3 ³ καὶ εἶπε κύριος Ὃν τρόπον
πεπόρευται ὁ παῖς μου Ἡσαΐας γυμνὸς
καὶ ἀνυπόδετος, τρία ἔτη ἔσται σημεῖα
καὶ τέρατα τοῖς Αἰγυπτίοις καὶ
4 Αἰθίοψιν (δ)· ⁴ ὅτι οὕτως ἄξει
βασιλεὺς Ἀσσυρίων . . . γυμνοὺς
καὶ ἀνυποδέτους, ἀνακεκαλυμμένους
5 τὴν αἰσχύνην (ε) Αἰγύπτου. ⁵ . . .
6 ἦσαν γὰρ αὐτοῖς δόξα (ϛ). ⁶ καὶ
ἐροῦσιν οἱ κατοικοῦντες ἐν τῇ νήσῳ
ταύτῃ (ζ) Ἰδοὺ ἡμεῖς ἦμεν πεποιθό-
τες . . .

(γ) οὐδὲν γὰρ ἀπρεπὲς ὧν ὁ θεὸς προστάττει τοῖς θεοφόροις νομίζεται.
(δ) τουτέστιν ἡ παιδεία παρὰ θεοῦ ἐν σημείοις καὶ τέρασιν ἐπὶ τρισὶν ἔτεσιν Αἰγυπτίοις καὶ Αἰθίοψι διὰ τοῦ βασιλέως Ἀσσυρίων γενήσεται.
(ε) τουτέστι γυμνοὺς τὰ κεκρυμμένα μέλη· αἰσχύνης γὰρ ταῦτα τοῖς ἀσελγαίνουσιν αἴτια.
(ϛ) καύχημα.
(ζ) ἐν τῇ Αἰγύπτῳ· νῆσον γὰρ αὐτὴν ὁ Νεῖλος περιρρέων ἐργάζεται.

21¹⁻¹⁰. Κεφ. λα'.

Ἀπειλὴ κατὰ τῶν ἀσεβῶν· καὶ προφητεία τῆς μυστικῆς τραπέζης· καὶ θεωρία τοῦ κηρύγματος Πέτρου καὶ Παύλου καὶ τῆς ἐνδημίας τοῦ Χριστοῦ δι' ἧς κατεβλήθη τὰ τῶν δαιμόνων εἴδωλα.

21 1 Τὸ ὅραμα τῆς ἐρήμου (α).

Ὡς καταιγὶς δι' ἐρήμου διέλθοι ἐξ
ἐρήμου ἐρχομένη ἐκ γῆς (β), φοβερὸν
2 ² τὸ ὅραμα καὶ σκληρὸν ἀνηγγέλη
μοι. ὁ ἀθετῶν ἀθετεῖ, ὁ ἀνομῶν
ἀνομεῖ (γ). ἐπ' ἐμοὶ οἱ Αἰλαμῖται
καὶ οἱ πρέσβεις τῶν Περσῶν ἐπ'
ἐμὲ ἔρχονται (δ). νῦν στενάξω καὶ

(α) τῆς ἐκκλησίας τῆς ἐν τῇ θαλάσσῃ κειμένης τοῦ βαπτίσματος.
(β) τουτέστιν ὡς ἀνέμου συστροφὴ δι' ἐρήμου φερομένη· ἰσχυρὰ γὰρ ἡ τοιαύτη ὡς οὐδενὸς ἀντιβαίνοντος· τὴν ἀπειλὴν δὲ τὴν ἐκ τῆς ἐκκλησίας κατὰ τῆς συναγωγῆς τῶν Ἰουδαίων φερομένην αἰνίττεται.
(γ) οὐδὲ γάρ ἐστι τῇ κακίᾳ τῶν Ἰουδαίων μετάμελος.
(δ) οἱ μάγοι· ἐξ Αἰλαμιτῶν γὰρ f. 88
καὶ Περσῶν τὴν συγγένειαν

---

2 ἐποίησεν F. (Hes. secundum (γ) sic legisse videtur). ποίησον AB. ποίησεν S. 6 ταύτῃ + ἐν τῇ ἡμέρᾳ ἐκείνῃ A³. Κεφ. λα': τοῦ ante Χριστοῦ om. V. κατεβλήθη > κατελύθη V. 1 τῆς ἐρήμου + τῆς θαλάσσης F; sic etiam Hes. videtur legisse (cf. α). 2 Ἐλαμῖται B. Ἐλαμεῖται A. Αἰλαμῖται Hes. (vide δ).

3 παρακαλέσω ἐμαυτόν (ε). [3] διὰ
τοῦτο ἐνεπλήσθη ἡ ὀσφύς μου ἐκ-
λύσεως, καὶ ὠδῖνες ἔλαβόν με (ϛ)
ὡς τὴν τίκτουσαν· ἠδίκησα τὸ μὴ
ἀκοῦσαι, ἐσπούδασα τὸ μὴ βλέπειν (ζ).
4 [4] ἡ καρδία μου (η) πλανᾶται, καὶ
ἡ ἀνομία με βαπτίζει, ἡ ψυχή μου
5 ἐφέστηκεν εἰς φόβον (θ). [5] σκόπευσον
τὴν σκοπίαν (ι), ἑτοίμασον (ια) τὴν
τράπεζαν (ιβ), πίετε, φάγετε (ιγ)·
ἀναστάντες οἱ ἄρχοντες ἑτοιμάσατε
6 θυρεοὺς (ιδ), [6] ὅτι οὕτως εἶπε κύριος
πρὸς μὲ Βαδίσας σεαυτῷ στῆσον
7 σκοπὸν (ιε), . . . [7] καὶ εἶδον ἀνα-
βάτας ἱππεῖς δύο (ιϛ), ἀναβάτην

ἔχοντες κατὰ τοῦ Ἰουδαϊκοῦ λαοῦ παραγίνονται· αὐτοῦ δὲ ἀνέλαβε νῦν ὁ προφήτης τὸ πρόσωπον.

(ε) ὁ γὰρ τῶν Ἰουδαίων λαὸς ἐπὶ τοῖς μάγοις ὡς φθονερῶς στενάξαντες ἐπὶ τῇ ἀναιρέσει τῶν παίδων τῆς Βηθλεὲμ ὡς ὠμοὶ παρεκλήθησαν.

(ϛ) ἐπειδὴ ἀπὸ πράγματος πονηροῦ ἔσχον τὴν παράκλησιν.

(ζ) περὶ γὰρ αὐτῶν εἴρηται Ἐβαρύνθη «ἡ καρδία τοῦ λαοῦ τούτου καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν».[a]

(η) ὡς ἀμέλητος.

(θ) ἐπειδὴ πολλὰ κατ' αὐτῶν ἐν εὐαγγελίοις καὶ νόμῳ καὶ προφήταις ἠπείληται.

(ι) τὴν τῶν μελλόντων θεωρίαν θεώρησον.

(ια) πρὸς τὴν ἐκκλησίαν ὁ λόγος.

(ιβ) τὴν μυστικήν.

(ιγ) τοῦ Χριστοῦ τὰ μυστήρια.

(ιδ) οἱ ἀπόστολοι, προβάλλεσθε τὰ τῆς πίστεως ὄργανα.

(ιε) διέγειρόν φησι τὸν προφητικὸν ὀφθαλμόν· θεωρεῖ γὰρ τὰ μέλλοντα.

(ιϛ) Παῦλον καὶ Βαρνάβαν· οὗτοι

---

5 σκόπευσον τὴν σκοπίαν om. ABS. A^{3} ponit infra post τὴν τράπεζαν; hic ex F (cf. glossam ι).

(ιϛ) Secundum Κεφάλαιον λα΄ supra citatum ἀναβάτας ἱππεῖς δύο intellegas Petrum et Paulum; haec autem glossa (ιϛ) Παῦλον καὶ Βαρνάβαν interpretatur. Originalis interpretatio Παῦλον καὶ Βαρνάβαν habuisse videtur, pro quibus scriba quidam posterior (forse Romanus) nomina Petri et Pauli substituit. Simili modo eiusdem Hesychii glossa in Oseam 1[10] quoad nomina Παῦλος καὶ Πέτρος (sic in cod. Ottob. gr. 452 f. 2^{v} et in cod. Ottob. gr. 437 f. 201^{v}) mutata est in Πέτρος καὶ Παῦλος, e. g. in cod. Vat. gr. 1153 f. 2^{v}.

---

[a] Is. 6[10]; tantummodo ἐπαχύνθη pro ἐβαρύνθη.

ὄνου καὶ ἀναβάτην καμήλου. ἀκρόασαι
8 ἀκρόασιν πολλὴν (ιζ), 8 καὶ κάλεσον
Οὐρίαν (ιη) εἰς τὴν σκοπιὰν κυρίου·
καὶ εἶπεν Ἔστην διὰ παντὸς ἡμέρας
καὶ ἐπὶ τῆς παρεμβολῆς (ιθ) ἔστην
9 ὅλην τὴν νύκτα, 9 καὶ ἰδοὺ αὐτὸς
ἔρχεται ἀναβάτης συνωρίδος (κ).
καὶ ἀποκριθεὶς εἶπε Πέπτωκε Βαβυ-
λὼν (κα), καὶ πάντα τὰ ἀγάλματα
αὐτῆς καὶ τὰ χειροποίητα αὐτῆς
10 συνετρίβησαν εἰς τὴν γῆν. 10 ἀ-
κούσατε οἱ καταλελειμμένοι (κβ)
καὶ ὀδυνώμενοι (κγ), ἀκούσατε ἃ
ἤκουσα παρὰ κυρίου Σαβαώθ, ὁ θεὸς
τοῦ Ἰσραὴλ ἀνήγγειλεν ἡμῖν (κδ).

γὰρ κήρυκες τῶν ἐθνῶν ἀπεστάλησαν ὧν εἰκόνες ὡς γεγονότων ἀκαθάρτων ἡ ὄνος καὶ ἡ κάμηλος.

(ιζ) τὰ εὐαγγελικὰ λόγια.

(ιη) ὄνομα τοῦτο ἱερέως· τὴν ἱερωσύνην τοίνυν μάρτυρα παραληφθῆναι τῆς θεωρίας βούλεται.

(ιθ) τῆς τῶν ἀγγέλων· ἐπὶ ταύτης γὰρ οἱ προφῆται νυκτὸς καὶ ἡμέρας τῇ διανοίᾳ ἵστανται ἀποκάλυψιν παρὰ θεοῦ προσδεχόμενοι.

(κ) ὁ Χριστός· αὐτὸς γὰρ τὴν περιτομὴν καὶ τὴν ἀκροβυστίαν ἔζευξεν.

(κα) ἡ τῶν εἰδώλων σύγχυσις.

(κβ) οἱ περιλελειμμένοι.

(κγ) ἐπὶ τῇ πλάνῃ τῇ πρότερον.

(κδ) τουτέστιν εἰ καὶ ὑπὲρ τῶν ἐθνῶν ὁ λόγος, ἀλλ' ὁ θεὸς αὐτὸν τοῦ Ἰσραὴλ ἐγνώρισεν.

21¹¹⁻¹⁷. Κεφ. λβ'.

Κλῆσις ἐθνῶν καὶ τῆς κοινωνίας τῶν μυστηρίων πρόρρησις· καὶ τῆς τῶν εἰδωλικῶν τοξευμάτων ἀπωλείας προαγόρευσις.

11 11 Τὸ ὅραμα τῆς Ἰδουμαίας.
Πρὸς ἐμὲ καλεῖτε παρὰ τοῦ
Σηείρ (α) Φυλάσσατε ἐπάλξεις (β),
12 12 φυλάσσω (γ) τὸ πρωῒ καὶ τὴν

(α) τοὺς ἐκ τῶν ἐθνῶν· τὸ γὰρ Σηεὶρ ὄρος ἦν τοῦ Ἡσαῦ οἰκητήριον. f. 88ᵛ

(β) τὰς ἐντολάς· τὴν ψυχὴν γὰρ ὡς ἐπάλξεις φυλάττουσιν.

(γ) τουτέστιν ἐὰν τὰς ἐντολάς μου

7 in fine add. A⁸ alter. ἀκρόασιν. 8 ἔστην secundo A⁸ praem. ἐγώ. 9 Πέπτωκε alter. add. A⁸. 11 φυλάσσατε B Hes. (vide β). φυλάξεται A. inter 11 et 12 Hes. plenius non disting. (vide γ). 12 φυλάσσω > φυλάσσων, τί ἀπὸ νυκτός; εἶπε φυλάσσων· ἦλθε A⁸. Hes. sicut ABS (vide γ).

νύκτα· ἐὰν ζητῇς, ζήτει (δ) καὶ
13 παρ' ἐμοὶ οἴκει· [13] ἐν τῷ δρυμῷ
ἑσπέρας κοιμηθήσῃ (ε), ἐν τῇ ὁδῷ
14 Δαιδάν (ς). [14] εἰς συνάντησιν ὕδωρ
διψῶντι φέρετε, οἱ ἐνοικοῦντες ἐν
χώρᾳ Θαιμάν, ἄρτοις συναντᾶτε
15 τοῖς φεύγουσι [15] διὰ τὸ πλῆθος τῶν
πεφονευμένων (ζ) καὶ διὰ τὸ πλῆθος
τῶν πλανωμένων καὶ διὰ τὸ πλῆθος
τῆς μαχαίρας καὶ διὰ τὸ πλῆθος
τῶν τοξευμάτων τῶν διατεταμένων
καὶ διὰ τὸ πλῆθος τῶν πεπτωκότων
16 ἐν τῷ πολέμῳ. [16] ὅτι οὕτως εἶπέ
μοι κύριος Ἔτι ἐνιαυτὸς ὡς
ἐνιαυτὸς μισθωτοῦ, ἐκλείψει ἡ δόξα
17 τῶν υἱῶν Κηδὰρ (η), [17] καὶ τὸ
κατάλοιπον τῶν τοξευμάτων (θ) τῶν
ἰσχυρῶν υἱῶν Κηδὰρ ἔσται ὀλίγον,
διότι κύριος ἐλάλησεν ὁ θεὸς Ἰσ-
ραήλ.

φυλάξητε, φύλαξ ὑμῶν διὰ παντὸς εὑρίσκομαι.

(δ) τουτέστιν ἐὰν ζητῇς τὰ θεῖα, κατὰ τὸν ἐμὸν ἐρεύνησον σκοπόν.

(ε) τῷ πιστῷ λαῷ φησιν ἐν τῇ ἐκκλησίᾳ· αὕτη γὰρ πρότερον δρυμὸς διὰ τὴν ἀκαρπίαν ἦν, ἐπὶ συντελείᾳ τῶν αἰώνων ἀναπαύσῃ.

(ς) Δαιδὰν κρίσις ἑρμηνεύεται· ἐν τῇ εὐαγγελικῇ τοίνυν πολιτείᾳ· αὕτη γὰρ ἀναμιμνήσκει τῆς κρίσεως κομίσαι τῷ ποθοῦντι τὴν σωτηρίαν, μετὰ σπουδῆς κελεύει τῆς σωτηρίας τὸ βάπτισμα.

(ζ) οἱ ἀπόστολοι ἐν τῇ ἐκκλησίᾳ· αὕτη γὰρ χώρα Χριστοῦ ἐπὶ συντελείᾳ τῶν αἰώνων ἐγένετο· συντέλεια δὲ τὸ Θαιμὰν ἑρμηνεύεται· οὗτοί φησιν ἄρτοις συναντήσατε, τουτέστι μυστικοὺς ἄρτους μετὰ σπουδῆς προσενέγκατε τοῖς ἐκ τῆς πλάνης τῶν εἰδώλων διὰ τὸ πλῆθος τῶν ἐν αὐτῇ διαφόρως ἀναιρεθέντων φεύγουσιν.

(η) τουτέστι μετὰ τὸν ἐνιαυτὸν ὃν ὁ Χριστὸς τῷ παρ' αὐτοῦ μισθωθέντι λαῷ τῶν Ἰουδαίων ἐκήρυξεν, ἡ δόξα ἐκλείψει τῶν υἱῶν τοῦ σκότους, δηλαδὴ τῶν δαιμόνων· σκότος γὰρ τὸ Κηδὰρ ἑρμηνεύεται.

(θ) ἅπερ οὐ μόνον διὰ πλάνης, ἀλλὰ καὶ διὰ τῶν ἡδονῶν τοὺς ἀνθρώπους τοξεύουσιν.

---

12 οἴκει + λῆμμα ἐν τῇ Ἀραβίᾳ A[s]. 13 κοιμηθήσῃ A. κοιμηθῇς ἢ B. 15 πεφονευμένων B Hes. (quia in (ζ) ἀναιρεθέντων), φευγόντων AS. πολέμῳ > παιδίῳ A. 17 κατάλοιπον + τοῦ ἀριθμοῦ A[s].
(ε) ἀναπαύσῃ; Hes. ergo videtur legisse κοιμηθήσῃ, non κοιμηθῇς ἢ (versic. 13).

22^{1-14}. Κεφ. λγ΄.

Τραγῳδία τῆς ἀρχαίας Ἱερουσαλήμ· καὶ προφητεία οἷα παρὰ τῶν ἐθνῶν τῶν πιστευόντων πείσονται ἀνθ᾽ ὧν ἔκρυψαν μὲν ἐξ αὐτῶν τὴν μετάνοιαν, τῆς ἀπειλῆς δὲ τοῦ θεοῦ κατεφρόνησαν.

22 Τὸ ὅραμα τῆς φάραγγος (α) Σιών.
1 Τί ἐγένετό σοι νῦν, ὅτι ἀνέβητε
πάντες εἰς δώματα μάταια (β);
2 [2] ἐνεπλήσθη ἡ πόλις βοώντων (γ),
οἱ τραυματίαι σου οὐ τραυματίαι
μαχαίρας (δ), οὐδὲ οἱ νεκροί σου
3 νεκροὶ πολέμου (ε). [3] πάντες οἱ
ἄρχοντές σου πεφεύγασι (ϛ), καὶ
οἱ ἁλόντες (ζ) σκληρῶς δεδεμένοι
εἰσὶ (η), καὶ οἱ ἰσχύοντες ἐν σοὶ
ἐδέθησαν ὁμοθυμαδὸν (θ) πόρρω
4 πεφεύγασιν (ι). [4] διὰ τοῦτο εἶπα
Ἄφετέ με, πικρῶς κλαύσομαι (ια)·
μὴ κατισχύσητε (ιβ) παρακαλεῖν με
ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ
5 γένους μου (ιγ), [5] ὅτι ἡμέρα (ιδ)
ταραχῆς καὶ ἀπωλείας καὶ καταπατήματος, καὶ πλάνησις παρὰ κυρίου Σαβαώθ (ιε)· ἐν φάραγγι Σιὼν πλανῶνται, ἀπὸ μικροῦ ἕως μεγάλου (ιϛ) πλανῶνται ἐπὶ τὰ
6 ὄρη (ιζ). [6] οἱ δὲ Αἰλαμῖται ἔλαβον

(α) τῆς συναγωγῆς· φάραγξ γὰρ ὡς τραχεῖα ὠνόμασται.
(β) τὰ κομπώδη καὶ περιττὰ τῶν Φαρισαίων διδάγματα.
(γ) θορυβούντων.
(δ) ἀλλ᾽ ἀπιστίας.
(ε) ἀλλὰ πλάνης.
(ϛ) ἀφέντες τὴν εὐσέβειαν. f. 89
(ζ) οἱ ἐλεγχθέντες παρὰ Χριστοῦ.
(η) ταῖς εὐαγγελικαῖς ἀπειλαῖς.
(θ) οἱ τῶν Ἰουδαίων συζητηταί· πάντες γὰρ ἅμα τῇ σοφίᾳ τοῦ Χριστοῦ συνεδέθησαν.
(ι) μακρυνθέντες ἀπὸ θεοῦ.
(ια) ὁ προφήτης τὴν συναγωγήν.
(ιβ) μὴ ἐπιμείνητε.
(ιγ) οὐδὲ γὰρ ἰαθῆναι βούλεται.
(ιδ) ἡ τῆς ἁλώσεως Ἱερουσαλὴμ καὶ ἡ τῆς συντελείας· ἄμφω γὰρ ὁ Χριστὸς τοῖς μαθηταῖς ἐξηγούμενος συνέζευξεν. [a]
(ιε) τῇ πλάνῃ γὰρ ἣν ἠγάπησαν παρὰ θεοῦ παρεδόθησαν.
(ιϛ) τουτέστι πάντες.
(ιζ) ἐν τοῖς προφήταις τὰς ἐν αὐτοῖς μαρτυρίας παρερμηνεύοντες.

---

2 βοώντων + ἡ πόλις γαυριῶσα **A**[3]. 3 δεδεμένοι > δεδεγμένοι **A**. ἐδέθησαν ὁμοθυμαδὸν **A**[3] et Hes. (vide θ). 6 Αἰλαμῖται vide supra ad 21^{2}. (ιζ) αὐτοῖς > αὐταῖς **F**.

---

[a] Matth. 24. Marc. 13. Luc. 21^{5-36}.

φαρέτρας (ιη), ἀναβάται ἄνθρωποι ἐφ' ἵπποις (ιθ) καὶ συναγωγὴ
7 παρατάξεως (κ). [7] καὶ ἔσονται
αἱ ἐκλεκταὶ φάραγγές σου (κα), πλησθήσονται ἁρμάτων (κβ), οἱ δὲ ἱππεῖς (κγ) ἐμφράξουσι τὰς πύλας
8 σου (κδ), [8] καὶ ἀνακαλύψουσι τὰς
πύλας Ἰούδα (κε)· καὶ ἐμβλέψονται τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τοὺς ἐκλεκτοὺς
9 οἴκους τῆς πόλεως (κϛ), [9] καὶ
ἀνακαλύψουσι τὰ κρυπτὰ τῶν οἴκων τῆς ἄκρας Δαυῒδ (κζ). καὶ εἴδοσαν, ὅτι πλείους εἰσὶ (κη), καὶ ὅτι ἀπέστρεψαν τὸ ὕδωρ (κθ) τῆς ἀρχαίας κολυμ-
10 βήθρας (λ) εἰς τὴν πόλιν, [10] καὶ
ὅτι καθεῖλοσαν τοὺς οἴκους Ἱερουσαλὴμ (λα) εἰς ὀχύρωμα τοῦ
11 τείχους τῇ πόλει. [11] καὶ ἐποιήσατε
ἑαυτοῖς ὕδωρ (λβ) ἀνὰ μέσον τῶν δύο τειχέων (λγ) ἐσώτερον τῆς κολυμβήθρας τῆς ἀρχαίας (λδ), καὶ οὐκ ἐνεβλέψατε εἰς τὸν ἀπ' ἀρχῆς
12 ποιήσαντα αὐτὴν (λε) . . . [12] καὶ
ἐκάλεσε κύριος Σαβαὼθ ἐν τῇ ἡμέρᾳ

(ιη) οἱ ἐκ τῶν ἐθνῶν τὰ τόξα τῆς πίστεως.

(ιθ) οἱ λογικῶς ἡνιοχοῦντες τὰ σώματα.

(κ) ἀνθρώπων καὶ ἀγγέλων· σὺν ἀγγέλοις γὰρ οἱ πιστοὶ παρατάττονται.

(κα) ἡ Βηθλεὲμ, ἡ Σιὼν, ἡ Ἀνάστασις.

(κβ) τῶν εὐαγγελικῶν λόγων.

(κγ) οἱ ἀπόστολοι.

(κδ) τῆς ἀρχαίας Ἱερουσαλήμ.

(κε) φανερώσουσι τὰς εἰσόδους τῆς ἐξομολογήσεως· τοῦτο γὰρ Ἰούδας ἑρμηνεύεται.

(κϛ) ἐπισκέψονται τὰς ἐκκλησίας ἐν αἷς ἐξομολόγησις πολιτεύεται.

(κζ) φανερώσουσι τὰ μυστήρια τῆς ἐκκλησίας· αὕτη γὰρ ἄκρα τοῦ νέου Δαυῒδ, τοῦ Χριστοῦ.

(κη) τῶν ἀπίστων οἱ πιστεύοντες.

(κθ) ταῦτα τοῖς Ἰουδαίοις καὶ αἰσθητῶς ἐν τῇ πολιορκίᾳ τῶν Ἀσσυρίων γεγένηται.

(λ) τῆς μετανοίας· ταύτης γὰρ τὸ δάκρυον ἐκ τῶν ἐθνῶν ἐκώλυσαν καὶ παρ' ἑαυτοῖς ἔκρυψαν.

(λα) τὰ τῶν προφητῶν δόγματα, ἵνα τὸ γράμμα τὸ νομικὸν ὀχυρώσωσιν.

(λβ) πρόσκαιρα καθάρσια.

(λγ) νόμου καὶ προφητῶν.

(λδ) ἵνα ἔξω τὴν μετάνοιαν λάβῃ.

(λε) ὅτι οὐκ ἐπὶ τούτοις ὁ θεὸς αὐτὴν συνεστήσατο.

---

6 ἀναβάται A^3 praem. καὶ. 9 A^3 add. in fine καὶ τοὺς οἴκους Ἱερουσαλὴμ ἠριθμήσατε. 12 κύριος alter. add. A^3 B.

13 ἐκείνῃ (λϛ) κλαυθμὸν . . . 13 αὐτοὶ
δὲ ἐποιήσαντο εὐφροσύνην (λζ) . . .
λέγοντες (λη) Φάγωμεν καὶ πίω-
14 μεν· αὔριον γὰρ ἀποθνήσκομεν. 14 καὶ
ἀνακεκαλυμμένα (λθ) ταῦτά ἐστιν
ἐν τοῖς ὠσὶ κυρίου Σαβαώθ, ὅτι οὐκ
ἀφεθήσεται ὑμῖν αὕτη ἡ ἁμαρτία (μ),
ἕως ἂν ἀποθάνητε.

(λϛ) ἐν ᾗ ταῦτα ἠπείλησεν. f. 89 v
(λζ) τῆς ἀπειλῆς καταφρονήσαντες.
(λη) τουτέστιν ἰδόντες εἰς ἀπόγνωσιν.
(λθ) φανερά.
(μ) οὐκ ἔχει γὰρ ἄφεσιν ἁμαρτίας ἐφ' ᾗ τις οὐ μετανοεῖ, ἀλλ' εἰς καταφρόνησιν ἢ ἀπόγνωσιν τρέπεται.

22 15—25. Κεφ. λδ'.

Πρόρρησις τὴν τῶν Ἰουδαίων ἱερωσύνην φθαρήσεσθαι, τὴν τοῦ Χριστοῦ δὲ ἀντ' αὐτῆς ἀναστήσεσθαι.

15 15 Τάδε λέγει κύριος Σαβαώθ
Πορεύου εἰς τὸ παστοφόριον (α) πρὸς
Σομνὰν τὸν ταμίαν (β) καὶ εἰπὸν
16 αὐτῷ 16 Τί σὺ ὧδε, καὶ τί σοί ἐστιν
ὧδε, ὅτι ἐλατόμησας σεαυτῷ ὧδε
μνημεῖον (γ), καὶ ἐποίησας σεαυτῷ
ἐν ὑψηλῷ μνημεῖον (δ), καὶ ἔγλυ-
ψας σεαυτῷ ἐν πέτρᾳ (ε) σκηνήν;
17 17 ἰδοὺ δὴ κύριος Σαβαὼθ ἐκβαλεῖ
καὶ ἐκτρίψει ἄνδρα (ϛ) καὶ ἀφελεῖ
τὴν στολήν σου (ζ) καὶ τὸν στέφανόν
18 σου τὸν ἔνδοξον (η), 18 καὶ ῥίψει
σε εἰς χώραν μεγάλην (θ) καὶ

(α) εἰς τὸν ναόν· παστοειδὴς γὰρ οὗτος ἐτύγχανεν.
(β) τὸν οἰκονόμον· διὰ τούτου δὲ τὸ σύστημα τῶν Ἰουδαίων αἰνίττεται.
(γ) τουτέστιν ἵνα τί σὺ ἐνταῦθα διάγεις; οὐ γάρ ἐστι μέρος σοί τι ἐν τῷ ναῷ, ἐπειδήπερ αὐτὸν ἀπιστίας τάφον ποιήσας ἐβεβήλωσας.
(δ) μεθ' ὑπερηφανίας τὴν ἀπιστίαν μετελθών.
(ε) ἐν τῇ ἐκκλησίᾳ θέλων τοὺς νομικοὺς ἐκδικῆσαι τύπους ἐξ ὧν οὐδὲν ὠφέλησαι.
(ϛ) ἀφανίσει τὸν Ἰουδαϊκὸν λαόν.
(ζ) τὴν ἱερατικὴν ἀξίαν.
(η) τῆς βασιλείας τὸ σύνθημα.
(θ) τὴν τῶν ἐθνῶν.

---

14 A[s] in fine add. εἶπε κύριος κύριος τῶν δυνάμεων. Κεφ. λδ': τὴν τῶν > τῆς τῶν O. 15 Πορεύου + εἴσελθε A[s]. ταμίαν BS Hes. (vide β), γραμματαια (γραμματέα?) A. 16 ἔγλυψας F, ἔγραψας ABS.

ἀμέτρητον, καὶ ἐκεῖ ἀποθανῇ (ι)·
καὶ θήσει τὸ ἅρμα σου τὸ καλὸν (ια)
εἰς ἀτιμίαν καὶ τὸν οἶκον τοῦ ἄρ-
χοντός σου (ιβ) εἰς καταπάτημα,
19 [19] καὶ ἀφαιρεθήσῃ ἐκ τῆς οἰκονομίας
σου (ιγ) καὶ ἐκ τῆς στάσεώς σου.
20 [20] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
καλέσω τὸν παῖδά μου Ἐλιακεὶμ (ιδ)
21 τὸν τοῦ Χελκίου (ιε), [21] καὶ ἐνδύσω
αὐτὸν τὴν στολήν σου . . . καὶ
τὴν οἰκονομίαν σου δώσω εἰς τὰς
22 χεῖρας αὐτοῦ (ις) . . . [22] καὶ δώσω
τὴν δόξαν Δαυὶδ αὐτῷ (ιζ), καὶ ἄρξει,
καὶ οὐκ ἔσται ὁ ἀντιλέγων (ιη)· . . .
καὶ κλείσει (ιθ), καὶ οὐκ ἔσται ὁ
23 ἀνοίγων. [23] καὶ στήσω αὐτὸν ἄρχοντα
ἐν τόπῳ πιστῷ (κ), καὶ ἔσται εἰς
θρόνον δόξης τοῦ οἴκου τοῦ πατρὸς
24 αὐτοῦ (κα). [24] καὶ ἔσται πεποιθὼς
ἐπ' αὐτὸν πᾶς ἔνδοξος ἐν τῷ οἴκῳ
τοῦ πατρὸς αὐτοῦ, ἀπὸ μικροῦ ἕως
25 μεγάλου (κβ) . . . [25] . . . Κινη-
θήσεται (κγ) ὁ ἄνθρωπος ὁ ἐστηριγ-
μένος ἐν τόπῳ πιστῷ (κδ) . . .

(ι) τῇ ἀπιστίᾳ.
(ια) τὰς ἀπαρχὰς, τὰς θυσίας, τὰς νουμηνίας, τὰ σάββατα· καλὰ γὰρ, ὅτε κατὰ τὸν σκοπὸν τοῦ θεοῦ ἐπράττετο.
(ιβ) τοῦ Μωυσέως· αὐτὸς γὰρ διὰ τῆς σκηνῆς διετάξατο τὸν ναόν.
(ιγ) ὑπὸ τὴν τῶν ἐθνῶν ἐξουσίαν γινόμενος.
(ιδ) τὸν Χριστόν· Ἐλιακεὶμ γὰρ θεοῦ ἀνάστασις ἑρμηνεύεται.
(ιε) ἱερεὺς ἦν ὁ Χελκίας· ἦν δὲ τῷ Χριστῷ πρὸς τὴν φυλὴν τῶν ἱερέων συγγένεια.
(ις) ἵνα σοι, ὥσπερ θέλει, χρήσηται. f. 90
(ιζ) υἱὸς γὰρ Δαυὶδ κατὰ σάρκα ἐλέγετο.
(ιη) ὡς θεοῦ βασιλεύοντος.
(ιθ) τοῖς Ἰουδαίοις τὴν ἀρχαίαν Ἱερουσαλήμ.
(κ) ἐν τῇ ἐκκλησίᾳ· τόπος γὰρ αὕτη τῆς πίστεως.
(κα) ἀεὶ μὲν, πολὺ δὲ μᾶλλον ἐν τῷ αἰῶνι τῷ μέλλοντι· τότε γὰρ ἐν τῷ θρόνῳ τῆς δόξης τοῦ πατρὸς ἐμφανίζεται.[a]
(κβ) ἀπὸ ἀνθρώπων ἕως ἀγγέλων.
(κγ) μετενεχθήσεται.
(κδ) ὁ Ἰουδαϊκὸς λαός· ἐν τόπῳ γὰρ πιστῷ πρὶν παρακοῦσαι ἵστατο· νοήσεις δὲ ταῦτα καὶ περὶ Ἰούδα τοῦ προδότου.

20 καλέσω A[3] praem. καὶ. 24 ἕως μεγάλου + πᾶν τὸ σκεῦος τὸ μικρὸν ἀπὸ σκεύους τῶν Ἀγανὼθ A[3].

[a] Matth. 16^{27}. 25^{31}.

23 1–18. Κεφ. λε΄.

Προφητεία ἀπολεῖσθαι τοὺς φιλαργύρους οὓς εἰς αἴνιγμα τῶν ἐμπόρων τῆς θαλάσσης ἐξέθετο· πεσεῖσθαι δὲ καὶ τοὺς Ἀσσυρίους ἠπείλησε, τοὺς νοητοὺς δηλονότι, τοὺς δαίμονας· σωθήσεσθαι δὲ διὰ μετανοίας τὴν ἐκ τῶν ἐθνῶν ἐκκλησίαν εἰς τὸ πρόσωπον αὐτὴν Τύρου χαρακτηρίσας ὑπέσχετο.

23 Τὸ ὅραμα Τύρου.
1 Ὀλολύξατε (α) πλοῖα Καρ-
χηδόνος, ὅτι ἀπώλετο, καὶ οὐκέτι
ἔρχονται ἐκ γῆς Κιτιέων (β), ἦκται
2 αἰχμάλωτος. [2] τίνι ὅμοιοι γεγόνασιν
οἱ ἐνοικοῦντες ἐν τῇ νήσῳ (γ),
μετάβολοι Φοινίκης, διαπερῶντες
3 τὴν θάλασσαν; [3] ἐν ὕδατι πολλῷ
σπέρμα μεταβόλων (δ)· ὡς ἀμητοῦ
εἰσφερομένου οἱ μετάβολοι τῶν
4 ἐθνῶν (ε). [4] αἰσχύνθητι Σιδών, εἶπεν
ἡ θάλασσα (ϛ)· ἡ δὲ ἰσχὺς τῆς
θαλάσσης εἶπεν Οὐκ ὤδινον οὐδὲ
ἔτεκον οὐδὲ ἐξέθρεψα (ζ) νεανίσκους
5 οὐδὲ ὕψωσα παρθένους. [5] ὅταν δὲ
ἀκουστὸν γένηται ἐν Αἰγύπτῳ, λή-
ψεται αὐτοὺς ὀδύνη περὶ Τύρου (η).

(α) Θρηνήσατε τὴν ἐμπορίαν τὴν ἄπληστον· μετὰ γὰρ τῆς εἰδωλολατρίας ἡ φιλαργυρία ὡς συγγενὴς ἀπόλλυται.

(β) τουτέστιν ἡ ἄπληστος ἐμπορία ἡ τῶν νήσων ἀπώλετο· Κιτιεῖς γὰρ οἱ Κύπριοι.

(γ) ἐν Τύρῳ· σχῆμα γὰρ αὐτῇ νήσου· ταύτην δὲ οἰκοῦσιν οἱ τῆς Φοινίκης ἔμποροι ὑπὲρ τοὺς ἄλλους ἄπληστοι.

(δ) ἐν τῇ θαλάσσῃ φησίν ἐστι τὰ τῶν ἐμπόρων γεώργια.

(ε) ὡς ἐν θερισμῷ οἱ ἔμποροι πρὸς τὴν συλλογὴν τῶν χρημάτων ἐπείγονται.

(ϛ) τῇ Σιδῶνι ἡ θάλαττα λέγει Παῦσαι κατατολμῶσά μου φιλαργυρίας ἕνεκα.

(ζ) οὐδὲ γὰρ τρέφεται ἢ προκόπτει ὁ ἄνθρωπος ἀπὸ χρημάτων συλλογῆς ἥτις ἰσχὺς θαλάττης ὠνόμασται.

(η) τουτέστιν ἀλλήλας αἱ πόλεις f. 90v
ἐν αἷς ἡ ἄπληστος ἐμπορία κατεκράτει θρηνήσουσιν.

Κεφ. λε΄: πεσεῖσθαι > πεσεῖσθε O. δηλονότι > δῆλον ὅτι O. δὲ secund. om. Migne. τὴν ἐκ τῶν > τὴν τῶν V. 1 Ὀλολύξατε B Hes. (vide α), ὀλολύζετε AS. Κιτιείων sic in F; Κιτιαίων B, Κητιαίων A. 2. 3 interpung. sec. interpret. (β) Κιτιεῖς in F ex Κίτιοι corr.

7 . . . [7] οὐχ αὕτη ὑμῶν ἦν ἡ ὕβρις (θ)
ἡ ἀπ' ἀρχῆς πρὶν ἢ παραδοθῆναι
8 αὐτήν (ι); [8] τίς ταῦτα ἐβουλεύσατο
ἐπὶ Τύρον (ια); μὴ ἥσσων ἐστὶν ἢ
9 οὐκ ἰσχύει (ιβ); . . . [9] κύριος Σα-
βαὼθ ἐβουλεύσατο παραλῦσαι τὴν
ὕβριν (ιγ) τῶν ἐνδόξων καὶ ἀτιμάσαι
πᾶν ἔνδοξον ἐπὶ τῆς γῆς (ιδ).
10 [10] ἐργάζου τὴν γῆν σου (ιε)· καὶ
γὰρ πλοῖα οὐκέτι ἔρχεται ἐκ Καρ-
11 χηδόνος (ις). [11] ἡ δὲ χείρ σου
οὐκέτι ἰσχύει κατὰ θάλασσαν ἡ
παροξύνουσα (ιζ) βασιλεῖς· κύριος
Σαβαὼθ ἐνετείλατο περὶ Χαναὰν
12 ἀπολέσαι αὐτῆς τὴν ἰσχύν (ιη). [12] καὶ
ἐροῦσιν Οὐκέτι μὴ προσθῆτε τοῦ
ὑβρίζειν καὶ ἀδικεῖν τὴν παρθένον (ιθ)
θυγατέρα Σιδῶνος· καὶ ἐὰν ἀπέλθῃς
εἰς Κιτιεῖς, οὐδὲ ἐκεῖ σοι ἀνάπαυσις
13 ἔσται· [13] καὶ εἰς γῆν Χαλδαίων,
καὶ αὕτη ἠρήμωται ἀπὸ τῶν Ἀσ-
συρίων (κ), οὐδὲ ἐκεῖ σοι ἀνάπαυσις
ἔσται, ὅτι ὁ τοῖχος αὐτῆς πέπτωκεν·
ἐθεμελίωσεν αὐτὴν Σιείμ (κα)·
ἔστησαν ἐπάλξεις αὐτοῦ (κβ), ἐξ-
ήγειραν βάρεις αὐτῆς (κγ)· ὁ τοῖχος
14 αὐτῆς πέπτωκεν (κδ). [14] ὀλολύζετε
πλοῖα Καρχηδόνος, ὅτι ἀπώλετο

(θ) ἡ ὑπερηφανία· ἐξ αὐτῆς γὰρ αὕτη τὴν φιλαργυρίαν ἐγέννησεν.
(ι) ἑαυτὴν γὰρ ἡ φιλαργυρία προδίδωσιν.
(ια) τουτέστιν αὐτὴ καθ' ἑαυτῆς ἐβουλεύσατο.
(ιβ) τουτέστιν οὐ διὰ πτωχείαν οὐδὲ δι' ἀσθένειαν, ἀλλὰ διὰ τὴν ὀργὴν τοῦ θεοῦ ἠσθένησεν.
(ιγ) τὴν ὑπερηφανίαν.
(ιδ) ἵνα μηκέτι τὴν δόξαν τὴν ἐπὶ γῆς ζητήσωμεν.
(ιε) τὰς ἀρετὰς ἐν τῷ σώματι.
(ις) τὰ γὰρ τῆς φιλαργυρίας ὄργανα διέφθαρται καθελόντος τοῦ θεοῦ τῆς φιλαργυρίας καὶ τῆς ἐμπορίας τὴν δύναμιν.
(ιζ) εἰς ἐπιθυμίαν ἄπληστον.
(ιη) τὴν εἰδωλολατρίαν.
(ιθ) παρθένος γάρ, ὅταν ἐπιστρέψῃ, γίνεται καὶ τοῦ ὑβρίζεσθαι παύεται.
(κ) πανταχοῦ φησιν ἡ τῶν φιλοχρημάτων χώρα δαιμόνων αὐτῆς κυριευσάντων διέφθαρται.
(κα) τὴν φιλαργυρίαν ὁ πειραστὴς διάβολος· πειρασμὸς γὰρ τὸ Σιεὶμ ἑρμηνεύεται.
(κβ) τοὺς διαβολικοὺς πειρασμοὺς οἱ φιλάργυροι.
(κγ) τὰ τῆς φιλοχρημασίας ἐργαστήρια.
(κδ) ἡ ἔχθρα· καθεῖλε γὰρ αὐτῆς ὁ Χριστὸς τὸ μεσότοιχον.

7 A[8] in fine add. ἀπάξουσιν αὐτὴν οἱ πόδες αὐτῆς πόρρωθεν εἰς παροικίαν. 8 ἐβουλεύσατο S Hes. (vide ια), ἐβούλευσεν AB. 9 τὴν ὕβριν A[8] praem. πᾶσαν. 10 ἔρχεται > ἔρχονται A. 12 παρθένον Hes. (vide ιθ) cum A[8]; om. ABS. Σιδῶνος > Σιών A. Κιτιεῖς > Κητιεὶμ A. 13 ἀνάπαυσις > ἀναπαύσεις A. ἐθεμελίωσεν — πέπτωκεν om. ABS; pon. A[8] (nisi εἰς Σιεὶμ) et Hes. (vide κα. κβ. κγ); hic ex F.

15 τὸ ὀχύρωμα ὑμῶν (κε). [15] καὶ ἔσται
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καταλειφθήσεται
Τύρος (κϛ) ἔτη ἑβδομήκοντα (κζ)
ὡς χρόνος βασιλέως (κη)· . . . καὶ
ἔσται μετὰ ἑβδομήκοντα ἔτη, ἔσται
16 Τύρος ὡς ᾆσμα πόρνης (κθ). [16] λάβε
κιθάραν (λ), ῥέμβευσον (λα), πόλις
πόρνη ἐπιλελησμένη (λβ), καλῶς (λγ)
κιθάρισον, πολλὰ (λδ) ᾆσον, ἵνα σου
ἡ μνεία γένηται (λε). καὶ ἔσται μετὰ
ἑβδομήκοντα ἔτη (λϛ) ἐπισκοπὴν
ποιήσει ὁ θεὸς Τύρου καὶ πάλιν ἀπο-
καταστήσεται εἰς τὸ ἀρχαῖον (λζ)
18 . . . [18] καὶ ἔσται αὐτῆς ἡ ἐμπορία
καὶ ὁ μισθὸς ἅγιον τῷ κυρίῳ, οὐκ
αὐτοῖς συναχθήσεται οὐδὲ ἀποτεθή-
σεται εἰς ἐνθήκην (λη), ἀλλὰ τοῖς
κατοικοῦσιν ἔναντι κυρίου (λθ), πᾶσα
ἡ ἐμπορία αὐτῆς φαγεῖν (μ) καὶ
πιεῖν καὶ ἐμπλησθῆναι (μα), εἰς
συμβολὴν μνημόσυνον (μβ) ἔναντι
κυρίου.

(κε) ἡ πρὸς τὸν κόσμον φιλία· αὕτη γὰρ τῆς φιλαργυρίας ὀχύρωμα.

(κϛ) ὑπὸ τῶν δαιμόνων. f. 91

(κζ) τὸν καιρὸν τῆς μετανοίας· ὁ γὰρ ἕβδομος ἀριθμὸς ἄφεσιν ἔχει· πολυπλασιάζει δὲ τὴν ἄφεσιν ἡ μετάνοια ἥτις ἐν τῷ χρόνῳ τῆς τοῦ Χριστοῦ παρουσίας κεκήρυκται.[a]

(κη) τοῦ Χριστοῦ· μόνος γὰρ βασιλεὺς πρὸς ἀλήθειαν.[b]

(κθ) τῆς ἐκκλησίας, ἐπειδὴ ἐν τῇ πλάνῃ ποτὲ τῶν εἰδώλων ἐπόρνευσεν.

(λ) τὴν προφητικήν.

(λα) τὸν λογισμὸν ἐνάγαγε.

(λβ) πρότερον παρὰ τοῦ θεοῦ, ὕστερον παρὰ τῶν εἰδώλων.

(λγ) κατανυκτικῶς.

(λδ) μετὰ τῶν ἀρχαίων τὰ νέα.

(λε) παρὰ θεῷ.

(λϛ) μετὰ τὴν μετάνοιαν· ἐν γὰρ τῷ ἑβδόμῳ καὶ τῷ ἑβδομηκοστῷ ἀριθμῷ ἡ χάρις τῆς ἀφέσεως.

(λζ) εἰς τὸ τοῦ νόμου τοῦ φυσικοῦ ἀξίωμα.

(λη) τουτέστιν οὐκ εἰς σαρκικὴν ἀπόλαυσιν.

(λθ) τοῖς ἀγγέλοις· χαρὰν γὰρ τὴν σωτηρίαν τὴν ἡμετέραν ἔχουσιν.

(μ) τὰ μυστικά.

(μα) τὴν ἐκ νόμου καὶ προφητῶν συνεισφοράν.

(μβ) ἐκεῖνο ὅπερ ἔλεγεν ὁ Χριστός «Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν».[c]

---

18 οὐδὲ ἀποτεθήσεται εἰς ἐνθήκην A^3; om. ABS. εἰς συμβουλὴν A^3 praem. καὶ.

---

[a] Matth. 3^2. Luc. 3^3. 13^3, al. [b] Io. 18^{37}. [c] Luc. 22^{19}.

24[1–23] Κεφ. λϛ'.

Διήγησις τῶν ἐσομένων τοῖς ἁμαρτωλοῖς καὶ τοῖς δικαίοις ἐν τῷ αἰῶνι τῷ μέλλοντι καὶ τῶν ἐν τῇ συντελείᾳ τοῖς στοιχείοις συμβησομένων καὶ τῆς δόξης τοῦ Χριστοῦ ἣν διὰ σαρκὸς ἑαυτὸν ἐμφανίσας δεδόξασται.

24 1 Ἰδοὺ κύριος καταφθείρει τὴν
οἰκουμένην καὶ ἐρημώσει αὐτὴν (α)
καὶ ἀνακαλύψει τὸ πρόσωπον αὐ-
τῆς (β) καὶ διασπερεῖ (γ) τοὺς
2 ἐνοικοῦντας ἐν αὐτῇ. [2] καὶ ἔσται ὁ
λαὸς ὡς ὁ ἱερεύς, καὶ ὁ παῖς ὡς ὁ
κύριος, καὶ ἡ θεράπαινα ὡς ἡ
3 κυρία (δ) . . . [3] φθορᾷ φθαρήσεται
ἡ γῆ καὶ προνομῇ προνομευθήσεται
ἡ γῆ (ε)· τὸ γὰρ στόμα κυρίου
4 ἐλάλησε ταῦτα (ϛ). [4] ἐπένθησεν ἡ
γῆ (ζ), καὶ ἐφθάρη ἡ οἰκουμένη (η),
καὶ ἐπένθησαν οἱ ὑψηλοὶ τῆς γῆς (θ).
5 [5] ἡ δὲ γῆ ἠνόμησε διὰ τοὺς κατ-
οικοῦντας αὐτὴν (ι), διότι παρέβησαν
τὸν νόμον καὶ ἤλλαξαν τὰ προσ-
τάγματα κυρίου (ια), διεσκέδασαν
6 διαθήκην αἰώνιον (ιβ). [6] διὰ τοῦτο ἀρὰ
ἔδεται τὴν γῆν, ὅτι ἡμάρτοσαν οἱ
κατοικοῦντες αὐτήν (ιγ)· διὰ τοῦτο
πτωχοὶ (ιδ) ἔσονται οἱ ἐνοικοῦντες
ἐν τῇ γῇ, καὶ καταλειφθήσονται (ιε)

(α) ἡνίκα συντελεῖ τὰ ἀνθρώπινα.
(β) φανερώσει τὰ ἐν αὐτῇ.
(γ) διαμερίσει πέμπων τοὺς ἁμαρτωλοὺς εἰς γέενναν, τοὺς δικαίους δὲ εἰς παράδεισον.
(δ) ἐν γὰρ τῷ αἰῶνι τῷ μέλλοντι οὐκ ὠφελεῖ ἀξία, οὐ πλοῦτος οὐδέ τι τῶν ἀνθρωπίνων ἕτερον.
(ε) ἐπειδὴ γῆν καινὴν προσδοκῶμεν, ὥσπερ τῷ Πέτρῳ γέγραπται.[a]
(ϛ) τουτέστιν ἀληθῆ τὰ εἰρημένα· θεοῦ γάρ ἐστι ῥήματα.
(ζ) ὁ φρονήσας τὰ γήϊνα.
(η) τουτέστιν ἀοίκητος ἐν τῷ τῆς f. 91v
συντελείας καιρῷ γίνεται.
(θ) οἱ τῇ δόξῃ τῇ βιωτικῇ χαίροντες.
(ι) τουτέστι τοῦ μολυσμοῦ τῆς τῶν οἰκούντων ἀνομίας μετέλαβεν.
(ια) τὸν ἐν αὐτοῖς σκοπὸν παρερμηνεύοντες.
(ιβ) ἣν ὁ θεὸς πρὸς τοὺς ἀνθρώπους διέθετο.
(ιγ) κτῆμα γὰρ οὖσα ἡ γῆ τῶν ἀνθρώπων εἰκότως τούτων ἁμαρτανόντων μαστίζεται.
(ιδ) ταῖς ἀρεταῖς πτωχεύοντες.
(ιε) περιλειφθήσονται.

Κεφ. λϛ': ἑαυτὸν > αὐτὸν Migne. ἐμφανίσας > ἐμφανήσας O, ἐμφανίσεσθαι Migne. 4 ἐπένθησεν + κατερρίφη A[3]. ἐφθάρη + κατερρίφη A[3]. 5 διεσκέδασαν A[3] S; om. AB.

---

[a] II Petr. 3[13].

7 ἄνθρωποι (ιϛ) ὀλίγοι. [7] πενθήσει
οἶνος, πενθήσει ἄμπελος (ιζ), στε-
νάξουσι πάντες οἱ εὐφραινόμενοι τὴν
8 ψυχήν (ιη). [8] πέπαυται εὐφροσύνη
τυμπάνων (ιθ), πέπαυται αὐθαδία καὶ
πλοῦτος ἀσεβῶν· πέπαυται φωνὴ
9 κιθάρας. [9] ἠσχύνθησαν (κ), οὐκ
ἔπιον οἶνον (κα), πικρὸν ἐγένετο τὸ
10 σίκερα τοῖς πίνουσιν (κβ). [10] ἠρη-
μώθη πᾶσα πόλις (κγ), κλείσει (κδ)
11 οἰκίαν τοῦ μὴ εἰσελθεῖν. [11] ὀλολύ-
ζετε περὶ τοῦ οἴνου (κε) πανταχῇ,
πέπαυται πᾶσα εὐφροσύνη (κϛ) τῆς
12 γῆς. [12] καὶ καταλειφθήσονται πό-
λεις (κζ) ἔρημοι, καὶ οἶκοι (κη) ἐγ-
13 καταλελειμμένοι ἀπολοῦνται. [13] ταῦτα
πάντα ἔσται ἐν τῇ γῇ ἐν μέσῳ τῶν
ἐθνῶν (κθ)· ὃν τρόπον ἐάν τις καλα-
μήσηται ἐλαίαν, οὕτως καλαμήσονται
αὐτούς (λ)· καὶ ἐὰν παύσηται ὁ
14 τρυγητὸς (λα), [14] οὗτοι (λβ) βοῇ
βοήσονται, οἱ δὲ καταλειφθέντες (λγ)
ἐπὶ τῆς γῆς εὐφρανθήσονται ἅμα
τῇ δόξῃ κυρίου (λδ), ταραχθήσεται
15 τὸ ὕδωρ τῆς θαλάσσης. [15] διὰ
τοῦτο ἡ δόξα κυρίου ἐν ταῖς νή-
σοις ἔσται τῆς θαλάσσης (λε),

(ιϛ) οἱ σώζοντες τὸ τοῦ ἀνθρώπου ἀξίωμα.

(ιζ) οὐχ οἱ πίνοντες γὰρ οὐδ' οἱ τρώγοντες ἔσονται.

(ιη) οἱ ταῖς ἀθέσμοις ἡδοναῖς ἀρεσκόμενοι.

(ιθ) οὐδὲν γὰρ τούτων ἐν τῷ αἰῶνι τῷ μέλλοντι.

(κ) τὰ οἰκεῖα κακὰ καὶ τὰ τῶν δικαίων ἀγαθὰ βλέποντες.

(κα) τὸν μυστικόν.

(κβ) πικρὸς γὰρ ὁ τῆς μέθης καρπὸς ἐν τῷ καιρῷ τῆς κρίσεως.

(κγ) ἐν ᾗ ἀσέβεια ἐπολιτεύσατο.

(κδ) ἀποκλείσει γὰρ τοῖς ἁμαρτωλοῖς τὸ τοῦ θεοῦ κριτήριον μετὰ τῶν παρόντων ἀγαθῶν καὶ τὰ μέλλοντα.

(κε) ὃν οἱ μεθύοντες πίνουσιν.

(κϛ) ἡ ἄθεσμος.

(κζ) ἃς οἱ ἀσεβεῖς συνεστήσαντο.

(κη) οἱ ἐξ ἀδικίας τοῖς κτησαμένοις γενόμενοι.

(κθ) ἡ δίκη γὰρ ἅπαντας μετελεύσεται.

(λ) οἱ ἄγγελοι ἐν τῇ κρίσει τοὺς ἁμαρτωλοὺς ὡς κόκκους ἐλαίας κρυπτομένους μαστίζοντες.

(λα) ὁ τῆς συντελείας καιρός.

(λβ) οἱ ἁμαρτωλοὶ ἐν τῇ δίκῃ στενάζοντες.

(λγ) οἱ δίκαιοι· οὗτοι γὰρ εἰς σωτηρίαν περιλιμπάνονται.

(λδ) ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. f. 92

(λε) ἐν ταῖς ἐκκλησίαις· κυκλοῦνται γὰρ ὡς θαλάσσῃ τῇ πηγῇ τοῦ βαπτίσματος.

11 A³ in fine add. ἀπεσχίσθη χαρά. 14 βοῇ βοήσονται A, βοῇ φωνήσουσιν B, φωνῇ βοήσονται S.

ἐν ταῖς νήσοις τὸ ὄνομα κυρίου
16 ἔνδοξον ἔσται (λϛ). [16] κύριε ὁ θεὸς
Ἰσραὴλ, ἀπὸ τῶν πτερύγων τῆς γῆς
τέρατα (λζ) ἠκούσαμεν, ἐλπὶς τῷ
εὐσεβεῖ (λη). καὶ ἐροῦσιν (λθ) Οὐαὶ
τοῖς ἀθετοῦσιν. οἱ ἀθετοῦντες τὸν
17 νόμον (μ), [17] φόβος καὶ βόθυνος
καὶ παγὶς ἐφ' ὑμᾶς τοὺς ἐνοι-
18 κοῦντας ἐπὶ τῆς γῆς (μα). [18] καὶ
ἔσται ὁ φεύγων τὸν φόβον (μβ)
ἐμπεσεῖται εἰς τὸν βόθυνον (μγ)·
ὁ δὲ ἐκβαίνων ἐκ τοῦ βοθύνου
ἁλώσεται ὑπὸ τῆς παγίδος (μδ)· ὅτι
θυρίδες (με) ἐκ τοῦ οὐρανοῦ ἀνεῴχ-
θησαν, καὶ σεισθήσεται τὰ θεμέλια
19 τῆς γῆς (μϛ). [19] ταραχῇ ταραχθή-
σεται ἡ γῆ (μζ), καὶ ἀπορίᾳ ἀπορη-
20 θήσεται ἡ γῆ. [20] ἔκλινεν (μη) καὶ
σεισθήσεται ὡς ὀπωροφυλάκιον (μθ)
ἡ γῆ, ὡς ὁ μεθύων καὶ κραιπαλῶν·
καὶ πεσεῖται καὶ οὐ μὴ δύνηται
ἀναστῆναι· κατίσχυσεν γὰρ ἐπ' αὐτῆς
21 ἡ ἀνομία (ν)· [21] καὶ ἔσται ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ (να) ἐπάξει ὁ θεὸς
ἐπὶ τὸν κόσμον τοῦ οὐρανοῦ τὴν
χεῖρα καὶ ἐπὶ τοὺς βασιλεῖς (νβ)

(λϛ) ἐν ταῖς ἐκκλησίαις καὶ τοῦτο· ἐκεῖ γὰρ τοῦ Χριστοῦ καὶ τὸ ὄνομα καὶ ἡ δόξα πεφανέρωται.

(λζ) τοῦ κυρίου τὰ θαύματα.

(λη) διὰ τῆς τοῦ σωτῆρος ἀφίξεως.

(λθ) οἱ πιστοί.

(μ) τὸ εὐαγγέλιον, ἐπειδὴ δι' αὐτοῦ καὶ τὸν νόμον ἀθετοῦσιν.

(μα) τουτέστι κακὰ ἐκ κακῶν διαδέξεται τοὺς ἀγαπῶντας τὰ γήϊνα.

(μβ) τῆς ἀπειλῆς τοῦ θεοῦ.

(μγ) ὃν οἱ ἁμαρτωλοὶ ἑαυτοῖς ὀρύττουσιν.[a]

(μδ) ὁ γὰρ μὴ καθαρῶς τῆς ἁμαρτίας τὸ βάραθρον ἐξερχόμενος ὑπὸ τὴν παγίδα πάλιν τῶν δαιμόνων εὑρίσκεται.

(με) αἱ εὐαγγελικαὶ ἐντολαί· δι' αὐτῶν γὰρ θεωροῦμεν τὰ οὐράνια.

(μϛ) τῆς πολιτείας ἣν οἱ ἁμαρτωλοὶ ἑαυτοῖς ἐν τῇ γῇ ἐθεμελίωσαν.

(μζ) οἱ τοῖς γηΐνοις χαίροντες, ὅταν αὐτῶν τὸ σαθρὸν θεωρήσωσιν.

(μη) τουτέστι παρετράπη.

(μθ) πρόσκαιρα γὰρ τὰ ὀπωροφυλάκια.

(ν) ἐν τῷ παρόντι βίῳ.

(να) τῆς συντελείας· τότε γὰρ ὁ ἥλιος σκοτίζεται, καὶ τὰ ἄστρα σαλεύονται.[b]

(νβ) τοὺς ἀθέτως βασιλεύσαντας.

---

15 ἐν ταῖς νήσοις **alterum Hes. (vide** λϛ**) cum F; om. A (etiam A[3]) BS.** **16** ἐροῦσιν + τὸ μυστήριόν μου ἐμοί · τὸ μυστήριόν μου ἐμοί **A[3].** ἀθετοῦντες + καὶ ἀθεσίαν ἀθετούντων **A[3].** **18** ἀνεῴχθησαν > ἠνεῴχθησαν **AS.** **20** κρεπαλῶν **A.** **21** ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ **A[3] et Hes. (vide** να**).** οὐρανοῦ + ἐν τῷ ὕψει **A[3].**

---

[a] Ps. 7^{16}. 56 $(57)^{7}$. [b] Matth. 24^{29}.

22 τῆς γῆς (νγ). [22] καὶ συνάξουσι συν-
αγωγὴν αὐτῆς (νδ) καὶ ἀποκλείσουσιν
εἰς ὀχύρωμα καὶ εἰς δεσμωτήριον (νε),
διὰ πολλῶν γενεῶν ἐπισκοπὴ ἔσται
23 αὐτῶν (νϛ). [23] καὶ τακήσεται ἡ
πλίνθος (νζ), καὶ πεσεῖται τὸ τεῖ-
χος (νη), ὅτι βασιλεύσει κύριος ἐν
Σιὼν (νθ) καὶ ἐν Ἱερουσαλὴμ (ξ)
καὶ ἐνώπιον τῶν πρεσβυτέρων (ξα)
δοξασθήσεται.

(νγ) τουτέστιν ἀπ' ἐντεῦθεν αὐτῶν τῆς τιμωρίας ἄρξεται.
(νδ) τῆς πονηρίας τῶν ἁμαρτωλῶν δηλονότι τὸ σύστημα.
(νε) ὅπερ τοῖς τιμωρουμένοις εἰς δέσμα καὶ φυλακὴν ἀφώρισται.
(νϛ) ἐπειδὴ διὰ πολλῶν γενεῶν f. 92[v]
τιμωροῦνται οἱ τῆς τοῦ θεοῦ μακροθυμίας ἀκερδῶς ἀπολαύσαντες.
(νζ) τὸ πλίνθινον φρόνημα.
(νη) ἡ ἀσέβεια ἣν ἑαυτῷ τεῖχος ὁ διάβολος ἤγειρεν.
(νθ) τῇ νοητῇ.
(ξ) τῇ ἄνω.
(ξα) πατριαρχῶν καὶ προφητῶν καὶ ὅσοι τούτους ἐζήλωσαν.

25[1]—26[9a]. Κεφ. λζʹ.

Ὑμνολογία θεοῦ ἐφ' οἷς Ἱερουσαλὴμ ἡ ἀρχαία ὡς ἀσεβοῦσα ἔπεσεν, ἤνθησε δὲ τῆς Ἱερουσαλὴμ τῆς νέας τὰ μυστήρια, καὶ κατηργήθη μὲν ὁ θάνατος, πεπάτηται δὲ τῶν εἰδώλων ἡ ἀσέβεια καὶ ὁ ταύτην ἐνεργήσας διάβολος ἐφ' οἷς τὴν τῶν ἐθνῶν κλῆσιν διὰ τῆς εἰς θεὸν ἐλπίδος ὁ προφητικὸς προσεφώνησε κάλαμος.

25 1 Ὠιδή. Κύριε ὁ θεός μου, δο-
ξάσω σε, . . . ὅτι ἐποίησας θαυμαστὰ
πράγματα, βουλὴν (α) ἀρχαίαν
2 ἀληθινήν. γένοιτο (β), κύριε. [2] ὅτι
ἔθηκας πόλεις (γ) εἰς χῶμα, πόλεις
ὀχυρὰς (δ) τοῦ πεσεῖν αὐτῶν τὰ
θεμέλια, τῶν ἀσεβῶν πόλις (ε)

(α) τὴν οἰκονομίαν τῆς τοῦ Λόγου σαρκώσεως.
(β) τουτέστι βεβαιωθέτω.
(γ) ἐν αἷς ἡ ἀσέβεια ἐπολιτεύετο.
(δ) ἃς οἱ δαίμονες ἑαυτοῖς διὰ πλάνης ὠχύρωσαν.
(ε) Ἱερουσαλὴμ ἡ ἀρχαία.

---

21 A[3] add. in fine ἐπὶ τῆς γῆς. 22 συναγωγὴν αὐτῆς A[3] B et Hes. (vide νδ). 23 Σιὼν A[3] praem. τῷ ὄρει. Κεφ. λζʹ: πεπάτηται > πεπάτητε O. (ξ) τὴν ἄνω F.

3 τὸν αἰῶνα οὐ μὴ οἰκοδομηθῇ. [3] διὰ
τοῦτο εὐλογήσει σε ὁ λαὸς ὁ πτω-
χὸς (ϛ), καὶ πόλεις ἀνθρώπων
ἀδικουμένων (ζ) εὐλογήσουσί σε.
4 [4] ἐγένου γὰρ πάσῃ πόλει ταπεινῇ (η)
βοηθὸς, καὶ τοῖς ἀθυμήσασι (θ) δι'
ἔνδειαν σκέπη, ἀπὸ ἀνθρώπων πο-
νηρῶν (ι) ῥύσῃ αὐτούς· σκέπη
διψώντων καὶ πνεῦμα ἀνθρώπων
ἀδικουμένων εὐλογήσουσί σε (ια)·
5 [5] ὡς ἄνθρωποι ὀλιγόψυχοι διψῶντες
ἐν Σιὼν, ὅτι ῥύσῃ αὐτοὺς (ιβ) ἀπὸ
ἀνθρώπων ἀσεβῶν οἷς ἡμᾶς παρ-
έδωκας· καύσων ἐν σκέπῃ νέφους
6 κληματίδα ἰσχυρῶν ταπεινώσει. [6] καὶ
ποιήσει κύριος Σαβαὼθ πᾶσι τοῖς
ἔθνεσιν· ἐπὶ τὸ ὄρος τοῦτο (ιγ)
πίονται εὐφροσύνην (ιδ), πίονται
7 οἶνον· [7] χρίσονται μύρον (ιε) ἐν
8 τῷ ὄρει τούτῳ . . . [8] κατέπιεν ὁ
θάνατος ἰσχύσας (ιϛ), καὶ πάλιν
ἀφεῖλε (ιζ) ὁ θεὸς πᾶν δάκρυον ἀπὸ
παντὸς προσώπου· τὸ ὄνειδος (ιη)
τοῦ λαοῦ ἀφεῖλεν ἀπὸ πάσης τῆς

(ϛ) περὶ ὧν εἴρηται «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι».[a]

(ζ) ἡ ἐκκλησία· ἀδικεῖσθαι γὰρ καὶ μὴ ἀδικεῖν παρὰ Χριστοῦ ἐντέταλται.[b]

(η) πάσῃ ἐκκλησίᾳ· νόμον γὰρ τὴν ταπείνωσιν κέκτηνται.

(θ) τοῖς ἔθνεσιν· ἠθύμουν γὰρ οὔτε νόμον ποτὲ οὔτε προφήτας ἔχοντες.

(ι) παντὸς ἀσεβοῦς συστήματος.

(ια) σύ φησιν, ὁ θεὸς, καὶ διψῶντας σκέπεις καὶ πνεῦμα τοῖς ἀδικουμένοις παρέχεις ἐκ δικήσεως.

(ιβ) τοὺς ἀποστόλους· ἐδίψων γὰρ ἐν τῇ Σιὼν μετὰ τὸν σταυρὸν τὸν Χριστὸν ὀλιγοψυχοῦντες διὰ τὴν τῶν Ἰουδαίων ἀσέβειαν οἷς πρὸς ὀλίγον ἐν χλεύῃ ἐκδοθέντες ὑπῆρχον ὡς ἐν καύσωνι ὅστις ἐν σκέπῃ τοῦ νέφους τῆς ἀθυμίας τὴν κληματίδα τῶν ἰσχυρῶν, δηλαδὴ τὴν ἐλπίδα τῶν εὐσεβῶν, πρὸς μικρὸν ἐταπείνωσεν.

(ιγ) τὸν Γολγοθᾶν.

(ιδ) τὴν χαρὰν τοῦ σταυροῦ.

(ιε) τὴν εὐωδίαν τοῦ πνεύματος.

(ιϛ) διὰ τῆς κατάρας τὸ γένος τὸ f. 93
ἀνθρώπινον.

(ιζ) διὰ τῆς οἰκείας ἀναστάσεως.

(ιη) τὴν κατὰ τοῦ Ἀδὰμ κατάραν· εἰς ὅλον γὰρ τὸν λαὸν τοῦ θεοῦ, εἰς τὸ γένος διῆλθε τὸ ἀνθρώπινον.

5 ὅτι ῥύσῃ αὐτοὺς om. AB; Hes. (vide ιβ) cum S. καύσων — ταπεινώσει om. ABS; Hes. leg. (vide ιβ) cum A^3 (nisi καύσωνα pro καύσων A^3). 7 μύρον + τρυγιῶν διυλισμένων A^3. 8 ὁ θεὸς A^3 praem. κύριος.

[a] Matth. 5^3. [b] Luc. 6^{29} et al.

γῆς· τὸ γὰρ στόμα κυρίου ἐλά-
9 λησεν. [9] καὶ ἐροῦσιν ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ (ιθ) Ἰδοὺ ὁ θεὸς ἡμῶν (κ)
ἐφ' ᾧ ἠλπίζομεν· καὶ ἠγαλλιώ-
μεθα (κα) καὶ εὐφρανθησόμεθα ἐπὶ
10 τῇ σωτηρίᾳ ἡμῶν. [10] ὅτι ἀνάπαυσιν
δώσει ὁ θεὸς ἐπὶ τὸ ὄρος τοῦτο (κβ),
καὶ καταπατηθήσεται ἡ Μωαβῖτις (κγ)
ὃν τρόπον πατοῦσιν ἅλωνα ἐν ἁμά-
11 ξαις (κδ)· [11] καὶ ἀνήσει τὰς χεῖρας
αὐτοῦ (κε) ὃν τρόπον καὶ αὐτὸς
ἐταπείνωσε τοῦ ἀπολέσαι (κϛ), καὶ
ταπεινώσει τὴν ὕβριν αὐτοῦ ἐφ' ἃ
12 τὰς χεῖρας ἐπέβαλεν (κζ)· [12] καὶ
τὸ ὕψος (κη) τῆς καταφυγῆς (κθ)
τοῦ τοίχου σου ταπεινώσει, καὶ
καταβήσονται ἕως τοῦ ἐδάφους, ἕως
κόνεως (λ).
26 1 Ὠιδή. Τῇ ἡμέρᾳ ἐκείνῃ (λα)
ᾄσονται τὸ ᾆσμα τοῦτο ἐπὶ γῆς
Ἰούδα (λβ) λέγοντες Ἰδοὺ πόλις
ὀχυρὰ (λγ), καὶ σωτήριον ἡμῖν θήσει
τὸ τεῖχος καὶ περίτειχος (λδ).
2 [2] ἀνοίξατε πύλας (λε), εἰσελθέτω
δίκαιος λαὸς (λϛ) φυλάσσων δι-
καιοσύνην καὶ φυλάσσων ἀλήθειαν,
3 [3] ἀντιλαμβανόμενος ἀληθείας καὶ

(ιθ) τῆς τοῦ σωτῆρος ἀφίξεως.

(κ) τουτέστιν ἦλθεν ὁ προσδοκώμενος.

(κα) χαρὰ γὰρ τοῦ Χριστοῦ ἡ προσδοκία ἐτύγχανεν.

(κβ) ἐπὶ τὸν Γολγοθᾶν· ἐκεῖ γὰρ τὰς ἁμαρτίας εἰς τὸν σταυρὸν ἀναγαγὼν ἀνάπαυσιν τῷ γένει τῶν ἀνθρώπων ἔδωκεν.

(κγ) ἡ εἰδωλολατρία.

(κδ) διὰ τῶν τῶν ἀποστόλων γλωσσῶν· ἠλόησαν γὰρ ὡς βόες τῆς ἀσεβείας τὸ ἄχυρον.

(κε) ἀπολύων τὴν αἰχμαλωσίαν ὁ διάβολος.

(κϛ) ὥσπερ ἐταπείνωσε τοὺς ἁμαρτωλούς, ταπεινωθήσεται.

(κζ) τουτέστι καθ' ὧν τὰς χεῖρας ἐπέβαλεν ὁ διάβολος· διὰ γὰρ τῶν ταπεινωθέντων παρ' αὐτοῦ ταπεινοῦν αὐτὸν ὁ θεὸς ἐπαγγέλλεται.

(κη) τὴν ὑπερηφανίαν τοῦ διαβόλου.

(κθ) τῆς Ἑλληνικῆς σοφίας.

(λ) παρὰ πάντων πατούμενοι.

(λα) ὅταν ταπεινωθῶσι τῆς ἀσεβείας οἱ αἴτιοι.

(λβ) ἐν τῇ χώρᾳ τῆς ἐξομολογήσεως.

(λγ) ἡ εὐσέβεια.

(λδ) τὸν νόμον καὶ τὸ εὐαγγέλιον.

(λε) τὰς τῆς ζωῆς.

(λϛ) ὁ τοῦ Χριστοῦ· οὗτος γὰρ οὐκ ἐν σκιᾷ τὴν δικαιοσύνην φυλάττει, ἀλλὰ πρὸς ἀλήθειαν.

---

9 ἠλπίζομεν + καὶ σώσει ἡμᾶς· οὗτος κύριος, ὑπεμείναμεν αὐτῷ A^8 B. εὐφρανθησόμεθα > εὐφράνθημεν A^8. 10 ἀναπαύσει pro ἀνάπαυσιν A. Μωαβῖτις + ἐν τῷ τόπῳ αὐτῆς A^8. πατῶσιν A. 12 καταβήσονται > καταβήσεται ABS. ἕως κόνεως A^8. 1 πόλεις ὀχυραὶ A. 2 εἰσελθάτω A. δίκαιος A^8 et Hes. (vide λϛ).

φυλάσσων εἰρήνην (λζ), ὅτι ἐπὶ σοὶ
4 [4] ἤλπισαν, κύριε, ἕως τοῦ αἰῶνος,
5 ὁ θεὸς ὁ μέγας ὁ αἰώνιος, [5] ὃς
ταπεινώσας κατήγαγες τοὺς ἐν-
οικοῦντας ἐν ὑψηλοῖς (λη)· πόλεις
ὀχυρὰς (λθ) καταβαλεῖς καὶ κατάξεις
6 αὐτὰς ἕως τοῦ ἐδάφους, [6] καὶ
πατήσουσιν αὐτὰς πόδες πρᾳέων καὶ
7 ταπεινῶν (μ). [7] ὁδὸς (μα) εὐσεβῶν
εὐθεῖα ἐγένετο (μβ), καὶ παρεσκευ-
8 ασμένη ἡ ὁδὸς τῶν εὐσεβῶν. [8] ἡ γὰρ
ὁδὸς κυρίου κρίσις (μγ)· ἠλπίσαμεν
ἐπὶ τῷ ὀνόματί σου καὶ ἐπὶ τῇ
9 μνείᾳ (μδ) [9] ἧ ἐπιθυμεῖ ἡ ψυχὴ ἡμῶν.

(λζ) οὐ μάχεται γὰρ ἀδικούμενος διὰ τὴν ἐλπίδα τοῦ Χριστοῦ τὴν ἐν τῷ αἰῶνι προσδοκωμένην τῷ μέλλοντι.
(λη) τοὺς δαίμονας. f. 93ᵛ
(λθ) τὰ τῆς πλάνης συστήματα ἅπερ ἑαυτοῖς ὠχύρωσαν.
(μ) οἱ τῶν ἀποστόλων.
(μα) ἡ εὐαγγελική.
(μβ) ὁ Χριστός· αὐτὸς γὰρ εὐθεῖαν κατεσκεύασεν.
(μγ) οὐδὲν ἄδικον ἔχουσα.
(μδ) τουτέστιν ἐπὶ τῇ μνήμῃ τοῦ θεοῦ· ταύτης γὰρ ἡ ψυχὴ ἐπιθυμοῦσα ἐκ τοῦ φυσικοῦ νόμου ἐτύγχανεν.

26⁹ᵇ⁻¹⁹. Κεφ. λη'.

Ὠιδὴ τοῦ προφήτου ἀπώλειαν τοῦ διαβόλου καὶ τῶν Ἰουδαίων ἄγνοιαν καὶ φθόνον καταγγέλλουσα καὶ τῶν εὐσεβῶν τὴν ἐλπίδα εἰς θεὸν εἶναι κηρύττουσα τὸν ἐγείροντα τοὺς νεκροὺς οὓς ἰατροὶ μὴ δύνανται.

Ὠιδή. Ἐκ νυκτὸς ὀρθρίζει τὸ
πνεῦμά μου πρὸς σέ, ὁ θεὸς (α),
διότι φῶς (β) τὰ προστάγματά σου
10 ἐπὶ τῆς γῆς· . . . [10] πέπαυται γὰρ
ὁ ἀσεβής (γ)· οὐ μὴ μάθῃ δικαιο-
σύνην (δ), ἐπὶ τῆς γῆς ἀλήθειαν
οὐ μὴ ποιήσῃ (ε)· ἀρθήτω ὁ
ἀσεβὴς (ϛ), ἵνα μὴ ἴδῃ τὴν δόξαν

(α) χρὴ γὰρ τὸν εὐσεβῆ ἐν νυκτὶ αἰσθητῇ καὶ νοητῇ πρὸς τὸν θεὸν διανίστασθαι.
(β) φωτοποιά.
(γ) ὁ τὴν ἀσέβειαν ἐνεργῶν, ὁ διάβολος.
(δ) ἐκὼν γὰρ τὴν δικαιοσύνην καὶ γινώσκων ἀπώλεσεν.
(ε) σπείρων γὰρ τὸ ψεῦδος ἐπὶ τῆς γῆς οὐ παύεται.
(ϛ) ἐν τῷ αἰῶνι τῷ μέλλοντι.

---

3 εἰρήνην alter. add. A³. in fine add. ἐλπίδι A³. 7 εὐθεῖα alter. add. A³. 8 κρίσεις A. 9 ἡμῶν + ἐπιθυμίᾳ ψυχῆς A³. Κεφ. λη': ἀπώλειαν > ἀπωλίαν O. ante ἰατροὶ pon. οἱ V; vide versic. 14. μὴ > οὐ μὴ C. δύνανται > δύναιντο V.

11 κυρίου. [11] κύριε, ὑψηλός σου ὁ
βραχίων, καὶ οὐκ ᾔδεισαν (ζ), γνόντες
δὲ αἰσχυνθήσονται· ζῆλος λήψεται
λαὸν ἀπαίδευτον (η), καὶ νῦν πῦρ (θ)
12 τοὺς ὑπεναντίους ἔδεται. [12] κύριε
ὁ θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν,
13 πάντα γὰρ ἀπέδωκας ἡμῖν (ι). [13] κύριε
ὁ θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς (ια)·
κύριε, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν·
14 τὸ ὄνομά σου ὀνομάζομεν (ιβ). [14] οἱ
δὲ νεκροὶ (ιγ) ζωὴν οὐ μὴ ἴδωσιν,
οὐδὲ ἰατροὶ (ιδ) οὐ μὴ ἀναστήσουσι·
διὰ τοῦτο ἐπήγαγες (ιε) καὶ ἀπώλεσας
καὶ ἦρας πᾶν ἄρσεν (ις) αὐτῶν.
15 [15] πρόσθες αὐτοῖς κακὰ (ιζ), κύριε
16 . . . [16] κύριε, ἐν θλίψει ἐμνήσθην
σου (ιη), ἐν θλίψει (ιθ) μικρὰ ἡ
17 παιδεία σου ἡμῖν (κ). [17] καὶ ὡς ἡ
ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν καὶ ἐπὶ
τῇ ὠδῖνι αὐτῆς ἐκέκραξεν, οὕτως
ἐγενήθημεν τῷ ἀγαπητῷ σου (κα).
18 [18] διὰ τὸν φόβον σου, κύριε, ἐν γαστρὶ
ἐλάβομεν (κβ) καὶ ὠδινήσαμεν καὶ

(ζ) ἠγνόουν φησὶ τὴν δύναμιν τῆς τοῦ κυρίου σαρκώσεως οἱ δαίμονες καὶ οἱ παρὰ τούτων ἐνεργούμενοι· «εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν».[a]

(η) τὸν Ἰουδαϊκόν.

(θ) ἡ τοῦ ἁγίου πνεύματος ἐνέργεια.

(ι) ἡ γὰρ κατὰ θεὸν εἰρήνη πάντων φύλαξ τῶν ἀγαθῶν καθέστηκεν.

(ια) οἰκείῳ ἐξωνούμενος αἵματι.

(ιβ) τουτέστι καὶ Χριστὸν ὀνομάζοντες· ἕτερον θεὸν παρὰ τὸν ἕνα οὐκ οἴδαμεν.

(ιγ) οἱ ἄπιστοι.

(ιδ) οἱ λόγοις ἐπιπλάστοις θεραπεύειν τὸν λαὸν προσποιούμενοι.

(ιε) παιδείαν.

(ις) πάντα λογισμὸν ἀνδρεῖον ὃν ἔχειν ἐν ὑποκρίσει ἐνομίζοντο.

(ιζ) ἵνα τὴν ἀληθινὴν δόξαν ποθήσωσι τῷ πλήθει τῶν κακῶν στενοχωρούμενοι.

(ιη) οὐδὲ γὰρ ἀνθρώποις ἐν ταῖς f. 94
θλίψεσιν οἱ δίκαιοι, ἀλλὰ θεῷ προσφεύγουσιν.

(ιθ) τῇ παρὰ ἀνθρώπων ἢ δαιμόνων.

(κ) ἐπειδὴ σὺ μὲν συμπαθῶς παιδεύεις, ἀνηλεῶς δὲ καὶ οἱ παρ' ἐκείνων ἐνεργούμενοι θλίβουσιν.

(κα) τουτέστιν ἡνίκα τὴν ἑαυτῶν τίκτειν σωτηρίαν ἐμέλλομεν, μετὰ κραυγῆς τῆς ἐν προσευχῇ τῷ σῷ παιδὶ προσήλθομεν.

(κβ) τὴν ἀρετήν.

---

12 πάντα γὰρ + τὰ ἔργα ἡμῶν A³. 16 μικρὰ legit Hes. (vide κ), μικρᾷ Tisch. et al. edit.

---

[a] I Cor. 2⁸.

ἐτέκομεν· πνεῦμα σωτηρίας σου (κγ)
ἐποιήσαμεν ἐπὶ τῆς γῆς· ἀλλὰ
πεσοῦνται πάντες (κδ) οἱ ἐνοικοῦντες
19 ἐπὶ τῆς γῆς. 19 ἀναστήσονται γὰρ οἱ
νεκροὶ (κε), καὶ ἐγερθήσονται οἱ ἐν
τοῖς μνημείοις, καὶ εὐφρανθήσονται
οἱ ἐν τῇ γῇ (κϛ)· ἡ γὰρ δρόσος
ἡ παρὰ σοῦ (κζ) ἴαμα αὐτοῖς ἐστιν,
ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται (κη).

(κγ) ὁ γὰρ τῆς ἀρετῆς τόκος καρπός ἐστι τοῦ σωτηρίου πνεύματος.
(κδ) ὅσοι δυναστείᾳ τῆς γῆς τῇ προσκαίρῳ τεθαρρήκασιν.
(κε) ἐγερθήσονταί φησιν οἱ ἄπιστοι διὰ μετανοίας, οἱ τεθνηκότες διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως.
(κϛ) χαρὰ γὰρ τοῦ κοινοῦ γένους μετάνοια καὶ ἀνάστασις.
(κζ) ὁ νόμος περὶ οὗ καὶ Μωυσῆς «Καταβήτω ὡς δρόσος τὰ ῥήματά μου».[a]
(κη) οἱ ἀσεβεῖς ἄνθρωποι περὶ ὧν εἴρηται «Οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει».[b]

26²⁰—27¹¹ᵃ. Κεφ. λθ΄.

Παραίνεσις τὴν ὀργὴν τοῦ θεοῦ ὑποστέλλεσθαι ὡς καὶ αὐτὸν ἀναιρεῖν τὸν διάβολον μέλλουσαν· καὶ κατηγορία τῆς τῶν Ἰουδαίων ἀκαρπίας· καὶ προφητεία τὴν γῆν τῷ Χριστῷ προσελεύσεσθαι· καὶ ὑπόσχεσις σωθήσεσθαι παρὰ Χριστοῦ τὸν ἐπιστρέφοντα Ἰσραὴλ καὶ ἀπολεῖσθαι τὰ εἴδωλα, τὰ λογικὰ δὲ ἀνασωθήσεσθαι πρόβατα.

20 20 Βάδιζε, ὁ λαός μου, εἴσελθε
εἰς τὰ ταμιεῖά σου (α), ἀπόκλεισον
τὴν θύραν σου (β), ἀποκρύβηθι (γ)
μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ
21 ἡ ὀργὴ (δ) κυρίου. 21 ἰδοὺ γὰρ
κύριος ἀπὸ τοῦ ἁγίου (ε) ἐπάγει
τὴν ὀργὴν ἐπὶ τοὺς ἐνοικοῦντας ἐπὶ
τῆς γῆς (ϛ)· καὶ ἀνακαλύψει (ζ)
ἡ γῆ τὸ αἷμα (η) αὐτῆς, καὶ οὐ

(α) εἰς τὰ κρυπτὰ τοῦ συνειδότος.
(β) ὥστε μὴ γενέσθαι βατὴν τοῖς ἐχθροῖς τὴν διάνοιαν.
(γ) φιλοσόφησον τὴν ἡσυχίαν.
(δ) ἡ κατὰ τῶν ἁμαρτωλῶν ἠπειλημένη.
(ε) ἀπὸ τοῦ οὐρανοῦ.
(ϛ) τοὺς μηδὲν φρονοῦντας οὐράνιον.
(ζ) γυμνώσει.
(η) τὰς ἀνομίας.

18 ἐποιήσαμεν A³ praem. οὐ. πάντες om. AS. 19 νεκροὶ + σου A³. Κεφ. λθ΄: ἀνασωθήσεσθαι > ἀναθήσεσθαι O Migne. 21 τῆς γῆς + κατ' αὐτῶν A³. αἷμα > στόμα A.

[a] Deut. 32². [b] Ps. 1⁵; tantummodo οἱ ἀσεβεῖς.

κατακαλύψει ἡ γῆ τοὺς ἀνῃρημένους
ἔτι (θ).
27 1 Τῇ ἡμέρᾳ ἐκείνῃ (ι) ἐπάξει ὁ
θεὸς τὴν μάχαιραν τὴν ἁγίαν (ια) καὶ
τὴν μεγάλην (ιβ) καὶ τὴν ἰσχυρὰν
ἐπὶ τὸν δράκοντα ὄφιν (ιγ) φεύ-
γοντα (ιδ), ἐπὶ τὸν δράκοντα ὄφιν
σκολιὸν (ιε), καὶ ἀνελεῖ τὸν δράκοντα
2 τὸν ἐν τῇ θαλάσσῃ (ιϛ). [2] τῇ ἡμέρᾳ
ἐκείνῃ ἀμπελὼν καλὸς (ιζ) ἐπι-
θύμημα ἐξάρχειν κατ' αὐτῆς (ιη).
3 [3] ἐγὼ πόλις ἰσχυρὰ (ιθ), πόλις
πολιορκουμένη (κ), μάτην ποτιῶ
αὐτήν (κα)· ἁλώσεται γὰρ νυ-
κτὸς (κβ), ἡμέρας δὲ πεσεῖται τὸ
4 τεῖχος (κγ). [4] καὶ οὐκ ἔστιν ᾗ οὐκ
ἐπελάβετο αὐτῆς (κδ)· τίς με θήσει
φυλάσσειν καλάμην ἐν ἀγρῷ; διὰ
τὴν πολεμίαν ταύτην (κε) ἠθέτηκα
αὐτήν. τοίνυν διὰ τοῦτο ἐποίησε
κύριος ὁ θεὸς πάντα ὅσα συν-
έταξεν (κϛ)· κατακέκαυμαι (κζ),
5 [5] βοήσονται οἱ ἐνοικοῦντες ἐν αὐτῇ
Ποιήσωμεν εἰρήνην αὐτῷ (κη),

(θ) οὐκέτι γὰρ κρύψει τοὺς ταῖς ἁμαρτίαις τετρωμένους.

(ι) τῇ κρίσει.

(ια) τὴν ἀπόφασιν, ἐπειδὴ ἀληθής.

(ιβ) τὰ γὰρ ἀπ' αἰῶνος ἐκδικήσει.

(ιγ) τὸν διάβολον.

(ιδ) ἐκκλῖναι τὴν ἀπόφασιν φεύγοντα.

(ιε) πανοῦργον.

(ιϛ) τὸν ἐν τῷ σάλῳ τοῦ βίου τυραννήσαντα.

(ιζ) ὁ Ἰουδαϊκὸς λαός, ἐπειδὴ τὴν f. 94v
ῥίζαν ἐξ Ἀβραὰμ ἐκέκτητο.

(ιη) ὁ θεός φησιν ἐπιθυμίαν ἔχων ἐν τῇ Ἱερουσαλὴμ ἄρχειν αὐτῆς κατ' αὐτῆς διὰ τοῦτο μὴ βουληθείσης ὑποταγῆναι ἐγένετο.

(ιθ) διὰ τὸν νόμον.

(κ) διὰ τὴν ἀσέβειαν ἣν εἰς τὸν νομοθέτην ἠσέβησεν.

(κα) ταῖς διδασκαλίαις· καρποφορεῖν γὰρ οὐ βούλεται.

(κβ) ἐν τῇ οἰκείᾳ ἀγνωσίᾳ.

(κγ) ἐν τῷ εὐαγγελικῷ φωτὶ τὸ νομικὸν γράμμα.

(κδ) πανταχόθεν γὰρ αὐτῆς ὁ ἐχθρὸς ἐπελάβετο.

(κε) διὰ τὴν συναγωγήν· ὕστερον γὰρ οὐδὲ καλάμην εἶχε μετὰ τοῦ γράμματος τὸ πνεῦμα παραβαίνουσα.

(κϛ) ὅσα ἠπείλησεν.

(κζ) ἐμπρησμὸν αἰσθητὸν καὶ νοητόν.

(κη) τουτέστιν ἐροῦσιν Εἰρηνεύσωμεν πρὸς τὸν Χριστόν, οἱ ἐκ πλάνης τῆς Ἰουδαϊκῆς ἐπανερχόμενοι.

---

21 ἔτι in fine A[3], item Hes. (vide θ). 1 μάχαιραν + αὐτοῦ A[3]. in fine τὸν ἐν τῇ θαλάσσῃ SA[3] Hes. (vide ιϛ). 4 καὶ om. BS. ᾗ sic corrigendum videtur (Tisch. ἥ) ex Hes. interpret. (κδ): οὐκ ἔστιν ᾗ = πανταχόθεν. 5 sq. Hes. aliter interpungit ac Tisch.

6 ποιήσωμεν εἰρήνην, 6 οἱ ἐρχόμενοι
τέκνα Ἰακώβ. βλαστήσει καὶ ἐξ-
ανθήσει Ἰσραὴλ (κθ), καὶ ἐμπλησ-
θήσεται ἡ οἰκουμένη τοῦ καρποῦ
7 αὐτοῦ (λ). 7 μὴ ὡς αὐτὸς ἐπάταξε,
καὶ αὐτὸς οὕτως πληγήσεται (λα);
καὶ ὡς αὐτὸς ἀνεῖλεν, οὕτως ἀν-
8 αιρεθήσεται (λβ); 8 μαχόμενος (λγ)
καὶ ὀνειδίζων (λδ) ἐξαποστελεῖ (λε)
αὐτούς· οὐ σὺ ἦσθα ὁ μελετῶν
τῷ πνεύματι τῷ σκληρῷ ἀνελεῖν
9 αὐτοὺς πνεύματι θυμοῦ (λϛ); 9 διὰ
τοῦτο ἀφαιρεθήσεται ἡ ἀνομία Ἰα-
κὼβ (λζ), καὶ τοῦτό ἐστιν ἡ εὐλογία
αὐτοῦ, ὅταν ἀφέλωμαι αὐτοῦ τὴν
ἁμαρτίαν (λη) . . . καὶ τὰ εἴδωλα
αὐτῶν (λθ) ἐκκεκομμένα· ὥσπερ
10 δρυμὸς μακρὰν 10 τὸ κατοικούμενον
ποίμνιον (μ)· ἀνειμένον ἔσται (μα)
ὡς ποίμνιον καταλελειμμένον (μβ)·
καὶ ἔσται πολὺν χρόνον εἰς βό-
σκημα (μγ), κἀκεῖ ἀναπαύσονται.
11 11 μετὰ χρόνον οὐκ ἔσται ἐν
αὐτῇ (μδ) πᾶν χλωρὸν διὰ τὸ ξη-
ρανθῆναι.

(κθ) ὁ Χριστός· αὐτὸς γὰρ Ἰσραὴλ πρὸς ἀλήθειαν.
(λ) τῆς ἐξ αὐτοῦ σωτηρίας.
(λα) τουτέστιν οὐκ ἐπάταξεν αὐτὸς καὶ παταχθῆναι ἀνέχεται.
(λβ) αὐτὸς γὰρ οὐκ ἀνεῖλεν, ἀλλ' ἔσωσεν· ὑπὲρ ἡμῶν καὶ τεθανάτωται.
(λγ) τοῖς δαίμοσι.
(λδ) τοῖς ἁμαρτωλοῖς.
(λε) ἐλευθέρους ἀφήσει.
(λϛ) ταῦτα πρὸς τὸν διάβολον· σκληρῶς γὰρ ἀνελεῖν τοὺς Ἰουδαίους ἐμελέτησεν.
(λζ) ὅταν ἐπιστρέψωσιν.
(λη) μεγίστη γὰρ εὐλογία ἁμαρτημάτων ἄφεσις.
(λθ) ἄλση τῶν εἰδώλων.
(μ) τὸ τῶν ἐθνῶν· πόρρω γὰρ διὰ τὴν πλάνην ἐτύγχανεν.
(μα) ἐν ἀνέσει ἔσται.
(μβ) ὑπὸ τῶν ἐχθρῶν.
(μγ) εἰς τὸ βόσκεσθαι τὴν εὐαγγελικὴν χλόην.
(μδ) ἐν τῇ πλάνῃ· οὐκέτι γὰρ ἀνθεῖν f. 95
τὰ ἐξ αὐτῆς συγχωρήσεται.

27^{11b}—28^{13}. Κεφ. μ'.

Κλῆσις γυναικῶν αἵτινες ἐθεώρησαν τοῦ Χριστοῦ τὴν ἀνάστασιν· καὶ πρόρρησις, ὅπως διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος ἀπολεῖται ἡ ἀσέβεια· ὀργὴ δὲ τοῖς Ἰουδαίοις ἀνθ' ὧν οὐ μόνον τῇ πλάνῃ τῶν εἰδώλων ἐμεθύσθησαν, ἀλλὰ καὶ τῷ κηρύγματι τῶν ἀποστόλων οὐκ ἐπείσθησαν, ἐξ οὗ τοῖς ἀπίστοις ἀπώλεια, σωτηρία δὲ τοῖς πιστοῖς ἐλπίζεται.

Γυναῖκες (α) ἐρχόμεναι ἀπὸ

(α) αἱ μυροφόροι τῆς ἀναστάσεως τῆς ἐν τῷ δεσποτικῷ τάφῳ.[a]

9. 10 aliter interpung. Tisch.

[a] Marc. 16^{1}. Luc. 24^{1}.

θέας δεῦτε· οὐ γὰρ λαός ἐστιν
ἔχων σύνεσιν (β), διὰ τοῦτο οὐ μὴ
οἰκτειρήσῃ ὁ ποιήσας αὐτοὺς (γ)
12 . . . [12] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ συμφράξει κύριος (δ) ἀπὸ
τῆς διώρυγος τοῦ ποταμοῦ ἕως
Ῥινοκορούρων (ε)· ὑμεῖς δὲ (ϛ)
συναγάγετε τοὺς υἱοὺς Ἰσραὴλ καθ'
13 ἕνα (ζ). [13] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ σαλπιοῦσιν (η) ἐν τῇ σάλπιγγι
τῇ μεγάλῃ (θ), καὶ ἥξουσιν οἱ
ἀπολόμενοι (ι) ἐν τῇ χώρᾳ τῶν
Ἀσσυρίων καὶ οἱ ἀπολόμενοι ἐν
Αἰγύπτῳ καὶ προσκυνήσουσι τῷ
κυρίῳ . . .
28 1 Οὐαὶ τῷ στεφάνῳ τῆς ὕβρεως (ια)
οἱ μισθωτοὶ Ἐφραΐμ (ιβ), τὸ ἄνθος
τὸ ἐκπεσὸν ἐκ τῆς δόξης ἐπὶ τῆς
κορυφῆς τοῦ ὄρους τοῦ παχέος, οἱ
2 μεθύοντες ἄνευ οἴνου (ιγ). [2] ἰδοὺ
ἰσχυρὸν καὶ σκληρὸν ὁ θυμὸς κυρίου
ὡς χάλαζα καταφερομένη οὐκ ἔχουσα
σκέπην (ιδ), βίᾳ καταφερομένη·
ὡς ὕδατος πολὺ πλῆθος σῦρον
χώραν (ιε) τῇ γῇ ποιήσει ἀνάπαυ-
3 σιν (ιϛ)· ταῖς χερσὶ [3] καὶ τοῖς ποσὶ
καταπατηθήσεται ὁ στέφανος τῆς
ὕβρεως, οἱ μισθωτοὶ τοῦ Ἐφραΐμ (ιζ).

(β) ὁ Ἰουδαϊκὸς ὡς συκοφαντῆσαι τολμήσας τοῦ Χριστοῦ τὴν ἀνάστασιν.

(γ) ἐπειδὴ βλασφημίαν βλασφημίᾳ προσέθηκαν.

(δ) πᾶσαν εἰδωλικὴν πλάνην συγκλείσει ἥτις ἔσχε πρωτοτύπως τὴν Αἴγυπτον.

(ε) Ῥινοκόρουρα πόλις διορίζουσα Αἴγυπτον καὶ Παλαιστίνην.

(ϛ) οἱ ἀπόστολοι.

(ζ) τουτέστιν ἐπιμελῶς.

(η) οἱ ἀπόστολοι.

(θ) τῇ εὐαγγελικῇ.

(ι) οἱ γεγονότες ὑπὸ τὴν τῶν εἰδώλων ἀπώλειαν, ἀλλ' ἐπιστρέψαντες ὕστερον.

(ια) τῆς ὑπερηφανίας.

(ιβ) ὁ Ἰουδαϊκὸς λαός· οὐδὲ γὰρ ὡς υἱοί, ἀλλ' ὡς μισθωτοὶ τῷ θεῷ καὶ τῷ νόμῳ προσήρχοντο· οὗτοι ὡς ἄνθος ἐκ τῆς δόξης τοῦ θεοῦ ἐκπεσόντες εἰς τὴν κορυφὴν τοῦ παχέος ὄρους τοῦ διαβολικοῦ, εἰς τὸν φθόνον δηλαδὴ καὶ τὸν τῦφον, πεπτώκασιν.

(ιγ) ὑπὸ γὰρ πλάνης ἐμέθυον.

(ιδ) οὐδεὶς γὰρ σκεπάσαι ἐκ τῆς ὀργῆς τοῦ θεοῦ τὸν ὑπεύθυνον δύναται.

(ιε) πάντες γὰρ οἱ ἁμαρτωλοὶ τῇ ὀργῇ τοῦ θεοῦ σύρονται.

(ιϛ) εἰς τὸ μηκέτι ἀνομίας ἐργάζεσθαι.

(ιζ) ὑπὸ γὰρ τῶν ὀρθὰ βιούντων

---

12 ἕνα alter. add. A. 13 οἱ ἀπολόμενοι > οἱ ἀπὸ ἀνατολῶν A. προσκυνήσουσι > προσκυνήσωσι A. 1 δόξης + αὐτοῦ A[3]. παχέος > παχέως Tisch.
(ϛ) legitur in margine inferiore F.

4 [4] καὶ ἔσται τὸ ἄνθος τὸ ἐκπεσὸν τῆς
ἐλπίδος τῆς δόξης (ιη) ἐπ' ἄκρου
τοῦ ὄρους τοῦ ὑψηλοῦ (ιθ) ὡς πρό-
δρομος σύκου (κ)· ὁ ἰδὼν αὐτὸ (κα)
πρὶν ἢ εἰς τὴν χεῖρα αὐτοῦ λαβεῖν,
5 θελήσει αὐτὸ καταπιεῖν. [5] τῇ ἡμέρᾳ
ἐκείνῃ ἔσται κύριος Σαβαὼθ ὁ
στέφανος τῆς ἐλπίδος ὁ πλακεὶς τῆς
δόξης τῷ καταλειφθέντι (κβ) τοῦ
6 λαοῦ· [6] καὶ καταλειφθήσονται (κγ)
ἐπὶ πνεύματι (κδ) κρίσεως ἐπὶ κρίσιν
7 καὶ ἰσχὺν κωλύοντι ἀνελεῖν. [7] οὗτοι
γὰρ οἴνῳ (κε) πεπλανημένοι εἰσίν·
ἐπλανήθησαν διὰ τὸ σίκερα (κϛ),
ἱερεὺς καὶ προφήτης ἐξέστησαν διὰ
τὸν οἶνον (κζ), ἐσείσθησαν ἀπὸ τῆς
μέθης τοῦ σίκερα, ἐπλανήθησαν·
9 τοῦτό ἐστι φάντασμα (κη). ... [9]...
καὶ τίνι ἀνηγγείλαμεν ἀγγελίαν (κθ);
οἱ ἀπογεγαλακτισμένοι ἀπὸ γάλα-
10 κτος (λ)... [10] θλῖψιν ἐπὶ θλῖψιν προσ-
δέχου (λα), ἐλπίδα ἐπ' ἐλπίδι (λβ),
11 ἔτι μικρὸν ἔτι μικρόν, [11] διὰ φαυλισμὸν
χειλέων, διὰ γλώσσης ἑτέρας, ὅτι

πατοῦνται οἱ ὑπερήφανοι, ὁ Ἰουδαϊκὸς δὲ λαὸς μάλιστα.

(ιη) ἄνθος ὁ Ἰουδαϊκὸς λαὸς διὰ τὸν Ἀβραάμ, ἀλλ' ὡς ἄπιστος τῆς τοῦ θεοῦ δόξης ἐξέπεσεν.

(ιθ) τοῦ διαβολικοῦ· ὑψηλὸν γὰρ διὰ τὴν ὑπερηφανίαν.

(κ) ὡς καρπὸς τῆς πρώτης παρακοῆς, ἐπειδὴ φύλλα συκῆς ὁ Ἀδὰμ ἐνεδύσατο παρακούσας.[a]

(κα) ὁ διάβολος· ἐπείγει γὰρ τὴν Ἰουδαίων ἀπώλειαν.

(κβ) τῷ περιλειφθέντι εἰς σωτηρίαν. f. 95v

(κγ) σωθήσονται.

(κδ) τοῦ Χριστοῦ· αὐτοῦ γὰρ τὸ πνεῦμα τῆς κρίσεως εἰς κατάκρισιν τοῦ διαβόλου καὶ κατὰ τῆς ἰσχύος αὐτοῦ κωλῦον ὑπ' αὐτοῦ ἀναιρεθῆναι τὸν ἄνθρωπον.

(κε) ταῖς τῶν δαιμόνων σπονδαῖς.

(κϛ) ὃ τοῖς εἰδώλοις ἐξέχεον.

(κζ) ἡνίκα τῆς πλάνης τῶν εἰδώλων ἐκοινώνησαν.

(κη) τὸ τῶν εἰδώλων ὅπερ τοὺς Ἰουδαίους διὰ μαντειῶν καὶ τελετῶν πονηρῶν ἐξηπάτησαν.

(κθ) τὴν ἐν τοῖς κακοῖς.

(λ) οἱ Ἰουδαῖοι, ἐπειδὴ τῆς πολιτείας τοῦ νομικοῦ γράμματος ἐκωλύθησαν.[b]

(λα) τῷ ἀπίστῳ φησὶ λαῷ.

(λβ) πρὸς τὸν πιστὸν ὁ λόγος· τούτου γὰρ ἡ ἐλπὶς ἐν τάχει προκόπτει, ὁμοῦ μὲν διὰ τὸν

---

4 δόξης + αὐτοῦ A^{3}. distinguo sicut Hes. interpretatur; aliter Tisch. 5 τοῦ λαοῦ > μου λαῷ A. 6 κρίσεως + τῷ καθημένῳ A^{3}. κωλύοντι Hes. (vide κδ). κωλύων AS. κωλυόντων B.

---

[a] Gen. 3[7]. [b] cf. Hebr. 5[12 sq.]

λαλήσουσι τῷ λαῷ τούτῳ (λγ)
12 [12] λέγοντες (λδ) αὐτῷ Τοῦτο τὸ ἀνάπαυμα τῷ πεινῶντι (λε) καὶ τοῦτο τὸ σύντριμμα (λϛ), καὶ οὐκ ἠθέλησαν
13 ἀκούειν. [13] καὶ ἔσται αὐτοῖς τὸ λόγιον κυρίου τοῦ θεοῦ θλῖψις ἐπὶ θλῖψιν, ἐλπὶς ἐπ' ἐλπίδι (λζ), ἔτι μικρὸν ἔτι μικρὸν (λη), ἵνα πορευθῶσι καὶ πέσωσιν (λθ) εἰς τὰ ὀπίσω καὶ κινδυνεύσουσι καὶ συντριβήσονται καὶ ἁλώσονται (μ).

ὀνειδισμὸν τῶν Ἰουδαίων, ὁμοῦ δὲ διὰ τῆς γλώττης τῶν ἀποστόλων ἣν ἐν ἀλλοτρίαις γλώσσαις ἃς παρὰ τοῦ πνεύματος ἔμαθον τοῖς πιστοῖς διελέγοντο.
(λγ) τῷ Ἰουδαϊκῷ.
(λδ) οἱ ἀπόστολοι.
(λε) τὴν σωτηρίαν.
(λϛ) τῷ σωθῆναι μὴ θέλοντι.
(λζ) τουτέστι προσδέχου καὶ τοῖς ἀπίστοις θλῖψιν καὶ τοῖς πιστοῖς σωτηρίας ἐλπίδα, ἐν τάχει δὲ ἑκάτερον.
(λη) μετ' ὀλίγον.
(λθ) οἱ τὸ εὐαγγελικὸν μὴ δεξάμενοι κήρυγμα.
(μ) ὑπὸ τῶν ἐχθρῶν τῶν αἰσθητῶν καὶ τῶν νοητῶν.

28 14—29. Κεφ. μα'.

Ἀπειλὴ κατὰ τῶν οἰομένων ὑπὸ τῆς ἀσεβείας βοηθεῖσθαι· καὶ παραίνεσις ὑπακοῦσαι τῷ Χριστῷ τῷ μετὰ τὴν ἀνάστασιν ὀργὴν τοῖς ἀπίστοις, σωτηρίαν δὲ σύντομον ἀποστέλλοντι τῇ οἰκουμένῃ, κήρυγμα καὶ πρότερον τῷ νόμῳ καὶ μετὰ τοῦτο ταῖς εὐαγγελικαῖς ἡμᾶς ἐντολαῖς γεωργήσαντι.

14 [14] Διὰ τοῦτο ἀκούσατε λόγον κυρίου, ἄνδρες τεθλιμμένοι (α) . . .
15 [15] ὅτι εἴπατε Ἐποιήσαμεν διαθήκην
16 μετὰ τοῦ ᾅδου (β) . . . [16] διὰ τοῦτο οὕτως λέγει κύριος Ἰδοὺ ἐγὼ ἐμβαλῶ εἰς τὰ θεμέλια Σιὼν λίθον (γ)

(α) οἱ τῇ κακίᾳ συνεχόμενοι.
(β) ταῦτα γὰρ ἔθος τοῖς ἀσεβέσι λογίζεσθαι.
(γ) ὥστε ὑμῶν ἐλεγχθῆναι τὴν f. 96
ἐλπίδα ψευδῆ, ἐπιτελῶ φησιν ὁ πατὴρ τὰ εὐαγγελικὰ μυστήρια ἐξ ὧν ἡ νέα Σιὼν ᾠκοδόμηται,

Κεφ. μα': σωτηρίαν > σωτηρίας V. καὶ μετὰ τοῦτο > μετὰ δὲ τοῦτο V. καὶ μετὰ τοῦτον καὶ C. 16 κύριος alter. add. A[3] B.

πολυτελῆ, ἐκλεκτὸν, ἀκρογωνιαῖον,
ἔντιμον, εἰς τὰ θεμέλια αὐτῆς, καὶ
ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ κατ-
17 αισχυνθῇ (δ). [17] καὶ θήσω κρίσιν εἰς
ἐλπίδα (ε), ἡ δὲ ἐλεημοσύνη μου
εἰς σταθμοὺς (ϛ), καὶ οἱ πεποιθότες
μάτην ψεύδει, ὅτι οὐ μὴ παρέλθῃ
18 ὑμᾶς καταιγὶς (ζ), [18] μὴ καὶ ἀφέλῃ
ὑμῶν τὴν διαθήκην τοῦ θανάτου (η)
19 . . . [19] ὅταν παρέλθῃ, λήψεται
ὑμᾶς, πρωῒ πρωῒ παρελεύσεται
ἡμέρας (θ), καὶ ἐν νυκτὶ ἔσται
ἐλπὶς πονηρά (ι). μάθετε ἀκούειν
20 [20] στενοχωρούμενοι (ια)· οὐ δυνάμεθα
μάχεσθαι (ιβ), αὐτοὶ δὲ ἀσθενοῦμεν
21 τοῦ ἡμᾶς συναχθῆναι (ιγ). [21] ὥσπερ
ὄρος ἀσεβῶν ἀναστήσεται κύριος (ιδ)
καὶ ἔσται ἐν τῇ φάραγγι Γαβαὼν (ιε),
μετὰ θυμοῦ ποιήσει τὰ ἔργα αὐ-
τοῦ (ιϛ), πικρίας ἔργα (ιζ)· ὁ δὲ
θυμὸς αὐτοῦ ἀλλοτρίως χρήσεται,
καὶ ἡ πικρία αὐτοῦ ἀλλοτρία (ιη).

ἐν οἷς φανερῶ τὸν Χριστόν· περὶ γὰρ αὐτοῦ Δανιὴλ Ἐτμήθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν.[a]

(δ) ἐπὶ θεῷ γὰρ πιστεύει.

(ε) σωτηρίαν τοῖς μετανοοῦσιν.

(ϛ) τουτέστιν ἠκριβωμένη.

(ζ) ἡ τοῦ θεοῦ ὀργή.

(η) τὰς συνθήκας ἃς διὰ μαγγανείας ὡς δοκεῖτε πρὸς τὸν θάνατον ἔσεσθαι.

(θ) τουτέστιν ἐμφανῶς ἐπελεύσεται.

(ι) διηνεκῶς γὰρ τὰ κακὰ τοῖς πονηροῖς ἐλπίζεται.

(ια) ἐπειδὴ στενὴ ἡ ὁδὸς ἡ εἰς ζωὴν ἀπάγουσα.[b]

(ιβ) οἱ ἀπόστολοι λέγουσι Πείθειν γὰρ, οὐκ ἀναγκάζειν ἐντετάγμεθα.

(ιγ) οὐκ ἔστιν ἡμῖν δύναμις ἐπὶ κακίᾳ συνάγεσθαι, ὥσπερ τῶν δαιμόνων καὶ τῶν ἐκείνοις τελουμένων τὸ σύστημα.

(ιδ) ὁ Χριστὸς ἐκ νεκρῶν.

(ιε) ἐν τῇ ἐκκλησίᾳ· αὕτη γὰρ φάραγξ διὰ τὴν συγκατάβασιν, ἀλλ' ὑψηλὴ διὰ τὰ μυστήρια· Γαβαὼν γὰρ ὑψηλὴ ἑρμηνεύεται.

(ιϛ) τὴν κατὰ τῶν ἁμαρτωλῶν ἐκδίκησιν.

(ιζ) ἐν οἷς τὸν ἁμαρτωλὸν τιμωρεῖται.

(ιη) αὐτὸς γὰρ οὐδὲ τὴν ὀργὴν οὐδὲ τὸν θάνατον τῶν ἁμαρτωλῶν βούλεται.[c]

---

19 ὑμᾶς + ὅτι κατὰ A^3. 21 κύριος A^3 B. πικρίας ἔργα S Hes.' (vide ιζ); πικρίας ἔργον AB.

(ιε) Γαβαὼν > Γαβᾶον F.

---

[a] Dan. 2^{45}: ἀπὸ ὄρους ἐτμήθη λίθος. [b] Matth. 7^{14}. [c] Ez. 33^{11}.

22 [22] καὶ ὑμεῖς (ιθ) μὴ εὐφρανθείητε,
μηδὲ ἰσχυσάτωσαν ὑμῶν οἱ δεσμοί·
διότι συντετελεσμένα καὶ συν-
τετμημένα πράγματα (κ) ἤκουσα
παρὰ κυρίου Σαβαὼθ ἃ ποιήσει ἐπὶ
24 πᾶσαν τὴν γῆν . . . [24] μὴ ὅλην τὴν
ἡμέραν μέλλει ὁ ἀροτριῶν ἀροτριᾶν
ἢ σπόρον προετοιμάσει πρὶν ἐργά-
25 σασθαι τὴν γῆν (κα); [25] καὶ ὅταν
ὁμαλίσῃ αὐτῆς (κβ) τὸ πρόσωπον,
πρῶτον σπείρει μικρὸν μελάνθιον καὶ
κύμινον (κγ) καὶ πάλιν πυρὸν καὶ
κριθὴν (κδ) καὶ ζέαν ἐν τοῖς ὁρίοις
26 σου. [26] καὶ παιδευθήσῃ κρίματι θεοῦ
27 σου (κε) καὶ εὐφρανθήσῃ. [27] οὐ
γὰρ μετὰ σκληρότητος καθαίρεται
τὸ μελάνθιον (κϛ), οὐδὲ τροχὸς
ἁμάξης (κζ) περιάξει ἐπὶ τὸ κύμι-
νον (κη)· ἀλλὰ ῥάβδῳ ἐκτινάσσεται
τὸ μελάνθιον (κθ), τὸ δὲ κύμινον
28 [28] μετὰ ἄρτου (λ) βρωθήσεται· οὐ
γὰρ εἰς τὸν αἰῶνα ἐγὼ ὑμῖν ὀργισθή-
σομαι (λα), οὐδὲ φωνὴ τῆς πικρίας
29 μου καταπατήσει ὑμᾶς (λβ). [29] καὶ
ταῦτα παρὰ κυρίου Σαβαὼθ ἐξῆλθε
τὰ τέρατα (λγ)· βουλεύσασθε (λδ),
ὑψώσατε ματαίαν παράκλησιν (λε).

(ιθ) οἱ δαίμονες.
(κ) τὰ εὐαγγελικὰ μυστήρια· τέλεια γὰρ καὶ σύντομα.
(κα) τουτέστιν οὐ διὰ παντός τις f. 96v
ἀροτριᾷ· εἰκότως τοίνυν οὐδ' ὁ Ἰουδαϊκὸς νόμος διηνεκῆ τὴν ἐνέργειαν ἔλαχεν, οὐδ' ὁ τοῦ εὐαγγελίου σπόρος, πρὶν γεωργηθῆναι τὸν ἄνθρωπον ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν, δίδοται.
(κβ) τῆς ἀνθρωπίνης φύσεως.
(κγ) τὰς συμμέτρους ἐντολὰς τοῦ νόμου.
(κδ) τὰς εὐαγγελικὰς ἐντολάς.
(κε) διδαχθήσῃ δοκιμασίᾳ θεοῦ.
(κϛ) οὐδὲ γὰρ σκληρὸν τὸ εὐαγγέλιον δι' οὗ ὁ νόμος φανεροῦται.
(κζ) ἡ νομικὴ κατάρα· ὡς ἅμαξα γὰρ τοὺς Ἰουδαίους ἠλόησεν.
(κη) ἐπὶ τὴν προφητικὴν ἄρτυσιν.
(κθ) τῷ σταυρῷ τὸ νομικὸν γράμμα.
(λ) τὸ προφητικὸν ἄρτυμα μετὰ τῆς εὐαγγελικῆς τροφῆς.
(λα) εἰ γὰρ εἰς τέλος ὠργίζετο, οὐκ ἂν τὸ εὐαγγέλιον δέδωκεν.
(λβ) ἀπειλῆς γὰρ πάσης ἡ χάρις ἀπήλλακται.
(λγ) τὰ ὑπὲρ φύσιν θαύματα.
(λδ) βουλεύσασθε περὶ ὧν ἐπράξατε.
(λε) ἐμεγαλύνατε τὴν ἀνωφελῆ τῶν Φαρισαίων διδασκαλίαν.

---

22 συντετελεσμένα > συντετελμημένα A. κυρίου dupl. A^{8}. 25 καὶ > οὐχ S. πρῶτον om. S. πάλιν + σπείρει A^{8}. interpungendum videtur aut οὐχ ὅταν — ὁρίοις σου; aut καὶ ὅταν — ὁρίοις σου. 27 in fine add. βακτηρίᾳ A^{8}.

(λα) δέδωκεν sic F. (λε) illud ὑψώσατε (vers. 29) ergo non imperativi, sed indicativi modus.

29 1—12. Κεφ. μβ'.

Σχετλιασμὸς κατὰ τῆς ἀρχαίας Ἱερουσαλὴμ· καὶ ἀπειλὴ κατὰ δαιμόνων τῶν αὐτὴν τυραννησάντων· καὶ κατηγορία τῆς τῶν Ἰουδαίων πωρώσεως, καὶ ὅπως τὸ εὐαγγέλιον τοῖς Ἰουδαίοις ἐσφράγισται, ἀγνοεῖται δὲ πρὶν τὰ θεῖα παιδευθῆναι τοῖς ἔθνεσιν.

29 1 Οὐαὶ πόλις Ἀριὴλ (α) ἣν
Δαυὶδ ἐπολέμησεν. συναγάγετε γε-
νήματα ἐνιαυτὸν ἐπ' ἐνιαυτόν (β)·
2 φάγεσθε γὰρ σὺν Μωάβ (γ)· 2 ἐκ-
θλίψω γὰρ Ἀριὴλ, καὶ ἔσται αὐτῆς
ἡ ἰσχὺς καὶ ὁ πλοῦτος ἐμοί (δ)·
3 3 καὶ κυκλώσω ὡς Δαυὶδ ἐπὶ σὲ
καὶ βαλῶ περὶ σὲ χάρακα (ε) καὶ
4 θήσω ἐπὶ σὲ πύργους (ϛ), 4 καὶ
ταπεινωθήσονται οἱ λόγοι σου εἰς
τὴν γῆν (ζ), καὶ εἰς τὴν γῆν οἱ
λόγοι σου (η) δύσονται· καὶ ἔσται
ὡς οἱ φωνοῦντες ἐκ τῆς γῆς ἡ
5 φωνή σου (θ) . . . 5 καὶ ἔσται ὡς
κονιορτὸς (ι) ἀπὸ τροχοῦ ὁ πλοῦτος
τῶν ἀσεβῶν, . . . καὶ ἔσται ὡς
6 στιγμὴ παραχρῆμα 6 παρὰ κυρίου
Σαβαώθ (ια)· ἐπισκοπὴ (ιβ) γὰρ

(α) Μωαβιτῶν μητρόπολις ἣν Ἀρεόπολιν λέγουσι· ταύτην δὲ Δαυὶδ ἐπολέμησεν ὁ ἀρχαῖος, ἀλλὰ καὶ ὁ νέος· ὁ Χριστὸς γὰρ τὴν τῶν εἰδώλων πλάνην τὴν τυραννήσασαν ἐν Μωὰβ ἐπολέμησεν.

(β) ἀπὸ τοῦ νομικοῦ χρόνου εἰς τὸν εὐαγγελικόν.

(γ) πάντα γὰρ τὰ ἔθνη τῶν θείων χορτασθήσεσθε.

(δ) τὴν ἐκκλησίαν τῶν ἐθνῶν αἰνίττεται· ὅταν γὰρ ταῖς ἀπειλαῖς στενοχωρηθῇ, τότε αὐτῶν τὰ ἀγαθὰ τοῦ θεοῦ, οὐ τῶν εἰδώλων γίνεται.

(ε) τὸ νομικὸν γράμμα.

(ϛ) τὰς εὐαγγελικὰς ἐντολάς.

(ζ) οὐκέτι γὰρ ἐν ὑπερηφανίᾳ λαλήσουσιν.

(η) αἰσχυνομένης ἐφ' οἷς ἥμαρτες ἔμπροσθεν. f. 97

(θ) ἐν τῷ μετὰ φόβου καὶ δειλίας ὑπερβαλλούσης φθέγγεσθαι.

(ι) πανταχοῦ σκορπιζόμενος.

(ια) ὡς ῥοπὴ θεοῦ ἥτις ἀθρόως ἀφανίζεται.

(ιβ) ἡ τοῦ Χριστοῦ παρουσία.

Κεφ. μβ': ἐσφράγισται > ἐφράγισται O. ἀγνοεῖται > ἀγνοεῖτε O. τοῖς ἔθνεσιν om. Migne. 1 ἐπ' ἐνιαυτόν + ἑορταὶ συγκρουσθήσονται A[3]. 2 ὁ πλοῦτος > τὸ πλοῦτος A.

ἔσται μετὰ βροντῆς (ιγ) καὶ σει-
σμοῦ (ιδ) καὶ φωνῆς μεγάλης (ιε)
καταιγὶς φερομένη (ις) καὶ φλὸξ
7 πυρὸς κατεσθίουσα (ιζ). 7 καὶ ἔσται
ὡς ὁ ἐνυπνιαζόμενος ἐνύπνιον ὁ
πλοῦτος τῶν ἐθνῶν πάντων ὅσοι
ἐπεστράτευσαν ἐπὶ Ἰσραὴλ, καὶ
πάντες οἱ στρατευσάμενοι ἐπὶ Ἱερου-
8 σαλὴμ (ιη) . . . 8 καὶ ἔσονται
ὡς οἱ ἐν ὕπνῳ πεινῶντες καὶ
ἔσθοντες, καὶ ἐξαναστάντων μά-
ταιον αὐτῶν τὸ ἐνύπνιον (ιθ) · . . .
9 9 ἐκλύθητε καὶ ἔκστητε καὶ ἐξαπα-
τηθῆτε καὶ ἀπατᾶσθε (κ) καὶ κραιπα-
10 λήσατε . . . 10 ὅτι πεπότικεν ὑμᾶς
κύριος πνεύματι κατανύξεως (κα)
καὶ καμμύσει τοὺς ὀφθαλμοὺς αὐτῶν
καὶ τῶν προφητῶν αὐτῶν καὶ τῶν
ἀρχόντων αὐτῶν (κβ), οἱ ὁρῶντες τὰ
11 κρυπτά (κγ). 11 καὶ ἔσονται ὑμῖν
πάντα τὰ ῥήματα ταῦτα ὡς οἱ λό-
γοι τοῦ βιβλίου τοῦ ἐσφραγισμένου
τούτου (κδ) ὃ ἐὰν δῶσιν αὐτὸ
ἀνθρώπῳ ἐπισταμένῳ γράμματα
λέγοντες Ἀνάγνωθι ταῦτα, καὶ ἐρεῖ
Οὐ δύναμαι ἀναγνῶναι · ἐσφράγισται
12 γάρ (κε). 12 καὶ δοθήσεται τὸ βι-
βλίον τοῦτο εἰς χεῖρας ἀνθρώπου μὴ
ἐπισταμένου γράμματα (κς), καὶ ἐρεῖ
αὐτῷ Ἀνάγνωθι τοῦτο, καὶ ἐρεῖ Οὐκ
ἐπίσταμαι γράμματα (κζ).

(ιγ) τῆς παρουσίας τοῦ πνεύματος.
(ιδ) ἐν τῷ τὰ γήϊνα σείεσθαι.
(ιε) τῆς εὐαγγελικῆς.
(ις) κατὰ δαιμόνων.
(ιζ) τῆς ἁμαρτίας τὴν ὕλην.
(ιη) τουτέστι μέχρι φαντασίας ἔσται προσκαίρου ὁ πλοῦτος ὃν ἔχειν οἱ ἐπιστρατεύσαντες τῇ Ἱερουσαλὴμ δαίμονες ἐν τοῖς ἔθνεσιν ἔδοξαν.
(ιθ) οἱ γὰρ δαίμονες πεινήσαντες τὴν τῶν ἀνθρώπων ἀπώλειαν καὶ τρώγειν αὐτὴν διὰ τῆς πλάνης δόξαντες ἐξυπνισθέντες τῆς τοιαύτης φαντασίας τῇ τοῦ κυρίου μάστιγι ἔγνωσαν, ὡς ἐφαντάσθησαν μάταια.
(κ) οἱ Ἰουδαῖοι τῷ φόβῳ καὶ τοῖς θαύμασιν · οἱ δὲ αὐτοὶ καὶ ἀπατῶνται · ἑαυτοὺς γὰρ ἠπάτησαν.
(κα) ἐκστάσεως. f. 97v
(κβ) ἡ γὰρ τῶν θαυμάτων τῶν κυριακῶν ἔκστασις τοὺς ὀφθαλμοὺς τῶν Ἰουδαϊκῶν ἀρχόντων καὶ διδασκάλων ἀθυμούντων ἐπ' αὐτοῖς καὶ βασκαινόντων ἔκλεισεν.
(κγ) οἱ προσποιούμενοι θεωρεῖν τὰ τοὺς ἄλλους λανθάνοντα.
(κδ) τοῦ εὐαγγελίου · ἐσφράγισται γὰρ τῷ δακτυλίῳ τοῦ πνεύματος.
(κε) τῇ θεωρίᾳ τοῦ πνεύματος · Ἰουδαῖοι δὲ τοῖς πνευματικοῖς ἐντυγχάνειν οὐ δύνανται.
(κς) τοῦ λαοῦ τῶν ἐθνῶν.
(κζ) τουτέστι διδαχθῶ καὶ ἀναγινώσκω.

6 βροντῆς > κραυγῆς A. 7 ἐνύπνιον + νυκτὸς A[8]. 8 πεινῶντες Hes. (vide ιθ) cum F. πίνοντες ABS. 9 καὶ ἐξαπατηθῆτε καὶ ἀπατᾶσθε Hes. (vide κ) cum A[8]; om. ABS. 11 Ἀνάγνωθι + δὴ A[8].

29^{13}—30^{5} Κεφ. μγ΄.

Κατηγορία τῆς τῶν Ἰουδαίων ὑποκρίσεως· καὶ πρόρρησις τῆς τῶν ἐθνῶν θεογνωσίας καὶ τῆς ἀπωλείας τῶν ἔργῳ καὶ λόγῳ τὸν λαὸν σκανδαλιζόντων· καὶ ὅπως τοῖς τοῦ Χριστοῦ θαύμασι τὰ μὲν ἔθνη παιδευθήσεται, Ἰουδαῖοι δὲ αἰσχυνθήσονται ὡς ἀποστάντες θεοῦ καὶ τοῦ νοητοῦ Φαραὼ τὴν συμμαχίαν ἑλόμενοι.

13 13 Καὶ εἶπε κύριος· Ἐγγίζει
μοι ὁ λαὸς οὗτος, τοῖς χείλεσιν
αὐτῶν τιμῶσί με (α), ἡ δὲ καρδία
αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ (β)·
μάτην δὲ σέβονταί με διδάσκοντες
ἐντάλματα ἀνθρώπων (γ) καὶ διδα-
14 σκαλίας. 14 διὰ τοῦτο ἰδοὺ . . .
μεταθήσω αὐτοὺς (δ) καὶ ἀπολῶ
τὴν σοφίαν τῶν σοφῶν (ε) καὶ τὴν
σύνεσιν τῶν συνετῶν κρύψω (ϛ).
15 15 οὐαὶ οἱ βαθέως (ζ) βουλὴν ποι-
οῦντες καὶ οὐ διὰ κυρίου· οὐαὶ οἱ
ἐν κρυφῇ (η) βουλὴν ποιοῦντες, καὶ
ἔσται ἐν σκότει (θ) τὰ ἔργα αὐτῶν,
καὶ ἐροῦσι Τίς ἡμᾶς ἑώρακεν (ι);
16 . . . 16 οὐχ ὡς ὁ πηλὸς τοῦ κερα-
μέως λογισθήσεσθε (ια); μὴ ἐρεῖ
τὸ πλάσμα τῷ πλάσαντι Οὐ σύ με
ἔπλασας (ιβ); ἢ τὸ ποίημα τῷ ποιή-
σαντι Οὐ συνετῶς με ἐποίησας;
17 17 οὐκέτι μικρὸν καὶ μετατεθήσεται ὁ

(α) ἐν τῷ μελετᾶν τὸν νόμον θεοσεβεῖν λόγῳ προσποιούμενοι.
(β) θέλημα γὰρ θεοῦ ἐν ἑαυτοῖς οὐκ ἔχουσιν.
(γ) τουτέστιν ἐξ ὧν ἀνθρώποις, οὐχὶ θεῷ ἀρέσκουσιν.
(δ) ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν ὡς οὐκ ἀξίους αὐτῶν τῆς μελέτης ὑπάρχοντας.
(ε) οἵων δήποτε τῇ οἰκείᾳ σοφίᾳ πεποιθότων, οὐχὶ δὲ τῇ τοῦ θεοῦ.
(ϛ) καλύψω τῇ εὐαγγελικῇ διδασκαλίᾳ.
(ζ) μετὰ πονηρίας καὶ δόλου.
(η) οἱ ἐν εἰρωνείᾳ.
(θ) σκότους ἄξια.
(ι) λανθάνειν γὰρ οἱ πονηροὶ ὥσπερ ἀνθρώπους, οὕτω καὶ τὸν θεὸν οἴονται.
(ια) οὐδὲν γὰρ τῶν ἐν τῷ πηλῷ ὁ κεραμεὺς ἀγνοεῖν συνεχῶς αὐτὸν στρέφων καὶ ψηλαφῶν δύναται.
(ιβ) ταῦτα πρὸς τοὺς ἀρνουμένους f. 98
τὴν τοῦ θεοῦ δημιουργίαν ἢ τὴν οἰκονομίαν μεμφομένους.

Κεφ. μγ΄: ὑποκρίσεως > κατακρίσεως Migne; deleatur ergo eiusdem nota [ἴσ. προφητεία]. τῶν ἔργῳ > τῷ ἔργῳ C Migne. παιδευθήσεται > παιδευθήσονται C. αἰσχυνθήσονται > αἰσχυνθήτωσαν O. ὡς om. V. Φαραὼ om. Migne. 13 τοῖς χείλεσιν A^{3} praem. ἐν τῷ στόματι αὐτοῦ καὶ ἐν. 14 σοφῶν + αὐτοῦ A^{3}; idem post συνετῶν. 16 πλάσαντι + αὐτὸ A^{3}. 17 μικρὸν + βραχὺ A^{3}.

Λίβανος καὶ τὸ ὄρος τὸ Χέρμελ (ιγ)
18 . . . [18] καὶ ἀκούσονται ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ κωφοὶ (ιδ) λόγους βιβλίου (ιε),
καὶ οἱ ἐν τῷ σκότει καὶ οἱ ἐν τῇ
ὁμίχλῃ, ὀφθαλμοὶ τυφλῶν (ις) βλέ-
19 ψονται, [19] καὶ ἀγαλλιάσονται πτωχοὶ
διὰ κύριον ἐν εὐφροσύνῃ (ιζ), καὶ
οἱ ἀπηλπισμένοι (ιη) τῶν ἀνθρώ-
πων ἐμπλησθήσονται εὐφροσύνης.
20 [20] ἐξέλειπεν ἄνομος, καὶ ἀπώλετο
ὑπερήφανος (ιθ), καὶ ἐξωλοθρεύθη-
σαν οἱ ἀνομοῦντες ἐπὶ κακίᾳ (κ),
21 [21] καὶ οἱ ποιοῦντες ἁμαρτεῖν ἀνθρώ-
πους ἐν λόγῳ (κα)· πάντας δὲ
τοὺς ἐλέγχοντας ἐν πύλαις πρόσ-
κομμα θήσουσι (κβ) καὶ ἐπλαγίασαν
22 ἐν ἀδίκοις δίκαιον (κγ). [22] διὰ τοῦτο
τάδε λέγει κύριος ἐπὶ τὸν οἶκον
Ἰακὼβ ὃν ἀφώρισεν (κδ) ἐξ Ἀβραάμ
Οὐ νῦν αἰσχυνθήσεται (κε) Ἰα-
κὼβ (κς), οὐδὲ νῦν τὸ πρόσωπον
23 μεταβαλεῖ Ἰσραήλ (κζ)· [23] ἀλλ'
ὅταν ἴδωσι τὰ τέκνα αὐτῶν τὰ ἔργα
μου (κη), δι' ἐμὲ (κθ) ἁγιάσουσι
τὸ ὄνομά μου καὶ ἁγιάσουσι τὸν

(ιγ) τουτέστιν ὁμοῦ τὰ τῶν ἀσεβῶν ἐθνῶν τε καὶ Ἰουδαίων παύσεται· Λίβανος γὰρ οἰκητήριον εἰδώλων, Ἰουδαίων δὲ ὁ Κάρμηλος.

(ιδ) οἱ μηδέποτε λόγους θεογνωσίας ἀκούσαντες.

(ιε) τοῦ εὐαγγελίου.

(ις) τὰ ἔθνη· οὗτοι γὰρ ἐν σκότει ποτὲ διὰ τὴν ἀπιστίαν, τυφλοὶ δὲ διὰ τὴν ἀγνωσίαν.

(ιζ) τῇ εὐαγγελικῇ· αὕτη γὰρ μυσταγωγεῖ τοὺς πρότερον θεογνωσίας πτωχεύσαντας.

(ιη) τὰ ἔθνη· ἦσαν γὰρ ἐλπίδα μὴ ἔχοντες[a] καὶ ἄθεοι ἐν τῷ κόσμῳ.

(ιθ) ἑκάτερον ὁ διάβολος.

(κ) ὥστε καὶ ἄλλους εἰς κακίαν προτρέψασθαι.

(κα) οἱ πονηρὰ διδάσκοντες.

(κβ) τοὺς παρρησιαζομένους ἐν δικαιοσύνῃ συκοφαντοῦντες καὶ προσκόπτειν ἐπ' αὐτοῖς τὸν λαὸν παρασκευάζοντες.

(κγ) κακουργίᾳ τὸ ἀληθὲς σοφιζόμενοι.

(κδ) ἐξελέξατο.

(κε) τὴν ἐπὶ μεταμελείᾳ αἰσχύνην.

(κς) ἡ τοῦ Ἰακὼβ συγγένεια.

(κζ) ἀπὸ τῆς κακίας τῆς ἔμπροσθεν.

(κη) τὰ εὐαγγελικὰ θαύματα.

(κθ) οὐ διὰ νόμον καὶ προφήτας, ἀλλὰ διὰ τὴν ἐμὴν ἄφιξιν.

---

19 ἀνθρώπων + καὶ Ἰσραὴλ A[3]. 20 ἐξωλεθρεύθησαν A. πάντες οἱ ἀνομοῦντες A[3]. 22 πρόσωπον + αὐτοῦ A[3].

---

[a] I Thess. 4[12].

ἅγιον τοῦ Ἰακὼβ καὶ τὸν θεὸν τοῦ
24 Ἰσραὴλ (λ) φοβηθήσονται. [24] καὶ
γνώσονται οἱ τῷ πνεύματι πλανώ-
μενοι (λα) σύνεσιν, οἱ δὲ γογγύ-
ζοντες (λβ) μαθήσονται ὑπακούειν,
καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι (λγ)
μαθήσονται λαλεῖν εἰρήνην.
30 1 Οὐαὶ τέκνα ἀποστάται (λδ),
τάδε λέγει κύριος Ἐποιήσατε βου-
λὴν (λε) οὐ δι' ἐμοῦ καὶ συν-
θήκας (λϛ) οὐ διὰ τοῦ πνεύματός
μου, προσθεῖναι ἁμαρτίας ἐφ' ἁμαρ-
2 τίαις (λζ), [2] οἱ πορευόμενοι κατα-
βῆναι εἰς Αἴγυπτον (λη), ἐμὲ δὲ
οὐκ ἐπηρώτησαν τοῦ βοηθηθῆναι
4 ὑπὸ Φαραὼ (λθ) . . . [4] ὅτι εἰσὶν ἐν
Τάνει ἀρχηγοὶ ἄγγελοι πονηροί (μ)·
5 [5] μάτην κοπιάσουσι πρὸς λαὸν (μα)
ὃς οὐκ ὠφελήσει αὐτοὺς οὔτε εἰς
βοήθειαν οὔτε εἰς ὠφέλειαν, ἀλλὰ
εἰς αἰσχύνην καὶ ὄνειδος (μβ).

(λ) τὸν Χριστόν· ἅγιος γὰρ ἐν τῇ συγγενείᾳ τοῦ Ἰακὼβ ὑπῆρχεν ὡς ἀναμάρτητος· θεὸς δὲ αὐτὸς τοῦ Ἰσραὴλ ἐτύγχανεν.

(λα) οἱ ἐν τῇ πλάνῃ τῶν εἰδώλων ποτὲ πλανώμενοι.

(λβ) οἱ ἐκ τοῦ γογγυστοῦ λαοῦ τῶν Ἰουδαίων πιστεύσαντες.

(λγ) αἱ τῶν ἀποστόλων· ψελλαὶ γὰρ ὡς ἰδιῶται λέγονται.

(λδ) Ἰουδαῖοι· τέκνα γὰρ ἦσαν θεοῦ, ἀλλ' ἀπέστησαν ὕστερον.

(λε) τὴν κατὰ Χριστοῦ ᾗ ὁ πατὴρ ἀπαρέσκεται.

(λϛ) τὰς κατὰ τῶν ἀποστόλων. f. 98v

(λζ) ἐπειδὴ μετὰ τὸν Χριστὸν καὶ τοὺς αὐτοῦ ἐδίωξαν.

(λη) τὴν αἰσθητὴν καὶ τὴν νοητήν.

(λθ) οὐδὲ γὰρ ἀνέθεντο θεῷ ἐπικαλούμενοι τὴν τῶν νοητῶν Αἰγυπτίων, τῶν δαιμόνων, βοήθειαν.

(μ) ἀρχαία ἡ Τάνις τῶν Αἰγυπτίων μητρόπολις ἐν ᾗ κατῴκουν οἱ τῆς πλάνης τῶν Αἰγυπτίων ἄρχοντες πάσης ἄγγελοι πονηρίας ὑπάρχοντες.

(μα) τὸν τῶν δαιμόνων.

(μβ) τοιαῦτα γὰρ ὅσα δοκοῦσιν εὐεργετεῖν οἱ δαίμονες.

---

23 τοῦ ante Ἰακὼβ om. ABS. 1 βουλὴν + καὶ A. προσθεῖναι ἁμαρτίαις A. 4 ἀρχηγοὶ + αὐτοῦ A^{3}. ἄγγελοι A^{3} praem. καὶ et add. αὐτοῦ.

$30^{6-14.}$ Κεφ. μδ'.

Ὅπως τὰ παρὰ τῶν δαιμόνων ἀνωφελῆ· τούτους γὰρ τοῖς θηρίοις παρείκασεν ὅπερ ἐν εἰκόνι τῆς εὐαγγελικῆς βίβλου γράψαι ὁ προφήτης κελεύεται· καὶ ὅπως ἀκούειν οἱ Ἰουδαῖοι τὰ θεῖα παραιτούμενοι πτῶμα ἀνίατον πίπτουσιν.

6 [6] Ἡ ὅρασις τῶν τετραπόδων τῶν ἐν τῇ ἐρήμῳ (α).

Ἐν τῇ θλίψει καὶ ἐν τῇ στενοχωρίᾳ (β) λέων (γ) καὶ σκύμνος λέοντος (δ), ἐκεῖθεν (ε) καὶ ἀσπίδες καὶ ἔκγονα ἀσπίδων (ϛ) πετομένων οἳ ἔφερον ἐπ' ὄνων (ζ) καὶ καμήλων (η) τὸν πλοῦτον αὐτῶν πρὸς ἔθνος (θ) ὃ οὐκ ὠφελήσει αὐτοὺς εἰς βοήθειαν
7 . . . [7] Αἰγύπτιοι (ι) μάταια καὶ κενὰ ὠφελήσουσιν ὑμᾶς· ἀπάγγειλον αὐτοῖς, ὅτι ματαία ἡ παράκλησις
8 ὑμῶν αὕτη (ια). [8] νῦν οὖν καθίσας γράψον ἐπὶ πυξίου ταῦτα καὶ εἰς βιβλίον (ιβ), ὅτι ἔσται εἰς ἡμέρας καιρῶν (ιγ) ταῦτα καὶ εἰς τὸν
9 αἰῶνα (ιδ). [9] ὅτι λαὸς ἀπειθής (ιε)

(α) τῶν ἐθνῶν· κτηνώδεις γὰρ ἦσαν ἐν ἐρημίᾳ θεογνωσίας ὑπάρχοντες.
(β) ἐν τῇ πολιορκίᾳ τῆς ἀσεβείας.
(γ) πᾶς ὠμός.
(δ) πρὸς ἁρπαγὴν ὀξύς.
(ε) ἐκ τῆς ἀσεβείας· ἐξ αὐτῆς γὰρ οἱ τοιοῦτοι προέρχονται.
(ϛ) τῶν δαιμόνων· τούτων γὰρ πάντες ἀσεβεῖς ἔκγονα.
(ζ) τῶν παχυσάρκων ἀνθρώπων.
(η) τῶν θυμικῶν καὶ ὑπερηφάνων· ἐν τούτοις γὰρ τὴν κακίαν οἱ ἀσεβεῖς θησαυρίζουσιν.
(θ) τὸ τῶν δαιμόνων.
(ι) οἱ νοητοὶ μάλιστα.
(ια) ἣν διὰ μαντειῶν καὶ ἐπῳδῶν παρακαλοῦσι τοὺς πλανωμένους οἱ δαίμονες.
(ιβ) ὥστε καὶ παιδίον ἀναγινώσκειν καὶ τέλειον ἄνθρωπον· τοιοῦτον γὰρ τὸ εὐαγγέλιον.
(ιγ) ἡμέραν ἐσχάτην.
(ιδ) ὄψιμον γάρ, ἀλλὰ διηνεκὲς τὸ εὐαγγέλιον.
(ιε) ὁ Ἰουδαϊκός.

Κεφ. μδ': ἀνωφελῆ > ἀνωφελεῖ O. ante Ἰουδαῖοι om. οἱ CO Migne. 6 ἔκγονα > ἔγγονα S. ἔφερον + θησαυροὺς αὐτῶν A^3. ὄνων A^3 praem. ὤμων. καμήλων A^3 praem. ἐπί. 8 βιβλίον + ἐγχάραξον αὐτὰ A^3. εἰς τὸν αἰῶνα A^3 praem. ἕως.

10 ἐστιν, υἱοὶ ψευδεῖς (ις) . . . ¹⁰ οἱ
λέγοντες τοῖς προφήταις Μὴ ἀν-
αγγέλλετε ἡμῖν, καὶ τοῖς τὰ ὁρά-
ματα (ιζ) ὁρῶσι Μὴ λαλεῖτε ἡμῖν,
ἀλλὰ ἡμῖν λαλεῖτε καὶ ἀναγγέλ-
λετε ἡμῖν ἑτέραν πλάνησιν (ιη),
11 ¹¹ καὶ ἀποστρέψατε ἡμᾶς ἀπὸ τῆς
ὁδοῦ ταύτης (ιθ) . . . καὶ ἀφέλετε
ἀφ' ἡμῶν τὸ λόγιον τοῦ Ἰσραήλ (κ).
12 ¹² διὰ τοῦτο οὕτως λέγει κύριος ὁ
ἅγιος τοῦ Ἰσραήλ Ὅτι ἠπειθήσατε
τοῖς λόγοις τούτοις (κα) καὶ ἠλ-
πίσατε ἐπὶ ψεύδει (κβ), καὶ ὅτι
ἐγόγγυσας (κγ) καὶ πεποιθὼς ἐγένου
13 ἐπὶ τῷ λόγῳ τούτῳ (κδ), ¹³ διὰ
τοῦτο ἔσται ὑμῖν ἡ ἁμαρτία αὕτη
ὡς τεῖχος πίπτον παραχρῆμα (κε)
πόλεως ὀχυρᾶς ἑαλωκυίας (κς) ἧς
παραχρῆμα πάρεστι τὸ πτῶμα (κζ)·
14 ¹⁴ καὶ τὸ πτῶμα αὐτῆς ἔσται ὡς
σύντριμμα . . . ὥστε μὴ εὑρεῖν ἐν
αὐτοῖς ὄστρακον ἐν ᾧ πῦρ ἀρεῖς
καὶ ἐν ᾧ ἀποσυρεῖς ὕδωρ μικρόν (κη).

(ις) ἐψεύσατο γὰρ τοῦ θεοῦ τὴν εὐγένειαν.

(ιζ) τὰ παρὰ θεοῦ γνωριζόμενα.

(ιη) οὐχ ὅσα ὁ θεὸς ἀνεκάλυψεν, ἀλλ' ὅσα πλάνης ἔχεται. f. 98 (dupl. in F)

(ιθ) ἐπειδὴ στενὴ «καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν».[a]

(κ) ὅπερ διὰ τοῦ εὐαγγελίου ὁ Χριστὸς τῷ Ἰσραὴλ ἐκήρυξεν.

(κα) τοῖς εὐαγγελικοῖς.

(κβ) τῇ τῶν Φαρισαίων διδασκαλίᾳ.

(κγ) κατὰ τοῦ Χριστοῦ.

(κδ) τῷ τὸ εὐαγγελικὸν διαστρέφοντι κήρυγμα.

(κε) ἀθρόον.

(κς) τῆς Ἱερουσαλήμ· ὀχυρὰ γὰρ ἦν διὰ τὸν νόμον, ἀλλ' ἐπορθήθη διὰ τὴν τῶν οἰκούντων ἀσέβειαν.

(κζ) ἅμα γὰρ ὁ Χριστὸς ἠπείλησε,[b] καὶ τῆς Ἱερουσαλὴμ ἡ πτῶσις ἐπηκολούθησεν.

(κη) τουτέστιν οὐχ εὑρεθήσεται παρ' αὐτοῖς οὐδὲ σκεῦος ἁμαρτωλοῦ μέν, ἀλλ' ἐπιστρέφοντος καὶ δυναμένου δέξασθαι δωρεὰν πνεύματος καὶ χάριν τοῦ βαπτίσματος.

---

10 λαλεῖτε ἡμῖν + ὀρθῶς A^3. ἡμῖν λαλεῖτε + δόλια A^3. 13 ὀχυρᾶς A^3 BS Hes. (vide κς). 14 ἀρεῖς + ἀπὸ καύστρας A^3. ἀποσυρεῖς sic Hes. legisse videtur (confer κη). ἀποσυριεῖς ABS.

---

[a] Matth. 7^{14}. [b] Ibid. 23^{38}. 24^{2}.

30^{15-26}. Κεφ. με′.

Παραίνεσις μετανοίας τῷ Ἰσραὴλ· καὶ ἀνάμνησις οἷα αὐτοὶ μὲν ἀποστάντες ἀπὸ θεοῦ ἐβουλεύσαντο, ὁ Χριστὸς δὲ διὰ τῆς οἰκείας σαρκώσεως οἰκονομεῖν εὐτρέπισται.

15 [15] Οὕτως λέγει κύριος ὁ ἅγιος
Ἰσραὴλ Ὅταν ἀποστραφεὶς (α)
στενάξῃς, τότε σωθήσῃ καὶ γνώσῃ
ποῦ ἦσθα (β)· ὅτε ἐπεποίθεις ἐπὶ
τοῖς ματαίοις (γ), ματαία ἡ ἰσχὺς
ὑμῶν (δ) ἐγενήθη. καὶ οὐκ ἐβού-
16 λεσθε ἀκούειν, [16] ἀλλὰ εἴπατε Ἐφ'
ἵππων (ε) φευξόμεθα· διὰ τοῦτο
φεύξεσθε· καὶ εἴπατε Ἐπὶ κούφοις (ϛ)
ἀναβάται ἐσόμεθα· διὰ τοῦτο κοῦ-
φοι (ζ) ἔσονται οἱ διώκοντες ὑμᾶς.
17 [17] καὶ διὰ φωνὴν ἑνὸς φεύξονται
χίλιοι (η), καὶ διὰ φωνὴν πέντε (θ)
φεύξονται πολλοί, ἕως ἂν κατα-
λειφθῆτε (ι) ὡς ἱστὸς ἐπ' ὄρους καὶ
ὡς σημαίαν φέρων ἐπὶ βουνοῦ (ια).
18 [18] καὶ πάλιν μενεῖ ὁ θεὸς τοῦ
οἰκτειρῆσαι ὑμᾶς (ιβ), καὶ διὰ τοῦτο
ὑψωθήσεται (ιγ) τοῦ ἐλεῆσαι ὑμᾶς,

(α) παντελῶς τὴν ἁμαρτίαν ἀρνησάμενος.
(β) τουτέστιν ἐν ποίοις ἦσθα κακοῖς.
(γ) τοῖς τῶν Φαρισαίων λόγοις.
(δ) ἣν ἐν τῷ νόμῳ ἐκέκτησθε.
(ε) ἐπὶ τῶν θηλυμανῶν λογισμῶν· οὗτοι γὰρ τὸν ἄνθρωπον ἀπὸ θεοῦ φυγαδεύουσιν.
(ϛ) τοῖς δαίμοσιν ὡς ἀσωμάτοις.
(ζ) τὰ ἔθνη· ζυγὸν γὰρ κοῦφον βαστάζουσιν.
(η) οἱ τῶν δαιμόνων λεγεῶνες διὰ τὴν τοῦ μονογενοῦς φωνήν.[a]
(θ) τῶν λόγων οὓς ὁ θεῖος Παῦλός φησι Θέλω πέντε λόγους τῷ νοΐ μου λαλῆσαι·[b] πλῆθος γὰρ οὗτοι δαιμόνων ἐφυγάδευσαν.
(ι) τῆς τῶν δαιμόνων αἰχμαλωσίας ἐλεύθεροι.
(ια) ὁ σταυρός· φέρει γὰρ ἐπὶ τοῦ Γολγοθᾶ τῆς νίκης τοῦ κυρίου τὸ τρόπαιον.
(ιβ) ἀεὶ γὰρ τὴν ἡμετέραν σωτηρίαν προσδέχεται.
(ιγ) ἐπὶ τοῦ σταυροῦ. f. 98v (dupl. in F)

Κεφ. με′: τῷ > τούτῳ O τοῦ τῷ (sic) C. post αὐτοὶ om. μὲν O Migne. οἰκονομεῖν > οἰκονομὴν O. εὐτρέπισται > ηὐτρέπισται CV. 15 οὕτως A[s] praem. ὅτι. κύριος alter. add. A[s]. στενάξῃς > στενάξῃ A. 16 Ἐφ' ἵππων > Ἐφ' ἵπποις A.

---

[a] **Matth.** $5^{9sqq.}$ Luc. $8^{30sqq.}$ [b] 1 Cor. 14^{19}, ubi διὰ τοῦ νοός μου pro τῷ νοΐ μου.

διότι κριτὴς κύριος ὁ θεὸς ἡμῶν
ἐστιν (ιδ)· καὶ ποῦ καταλείψετε τὴν
δόξαν ὑμῶν; μακάριοι οἱ ἐμμένον-
19 τες ἐν αὐτῷ (ιε). [19] διότι λαὸς
ἅγιος ἐν Σιὼν (ις) οἰκήσει· καὶ
Ἱερουσαλὴμ (ιζ) κλαυθμῷ οὐκ
ἔκλαυσεν Ἐλέησόν με (ιη)· καὶ
ἐλεήσει (ιθ), τὴν φωνὴν τῆς
κραυγῆς σου ἡνίκα εἶδεν (κ), ἐπ-
20 ήκουσέ σου. [20] καὶ δώσει κύριος ὑμῖν
ἄρτον θλίψεως (κα) καὶ ὕδωρ στε-
νὸν (κβ), καὶ οὐκέτι οὐ μὴ ἐγγίσωσί
σοι οἱ πλανῶντές σε (κγ)· ὅτι οἱ
ὀφθαλμοί σου ὄψονται τοὺς πλανῶν-
21 τάς σε (κδ), [21] καὶ τὰ ὦτά σου
ἀκούσονται τοὺς λόγους τῶν ὀπίσω
σε πλανησάντων (κε), οἱ λέγοντες
Αὕτη ἡ ὁδὸς, πορευθῶμεν ἐν αὐτῇ
εἴτε δεξιὰ εἴτε ἀριστερά (κς).
22 [22]. . . καὶ λικμήσεις ὡς ὕδωρ
ἀποκαθημένης (κζ), καὶ ὡς κόπρον
23 ὤσεις αὐτά (κη). [23] τότε ἔσται ὁ
ὑετὸς (κθ) τῷ σπέρματι τῆς γῆς
σου (λ), καὶ ὁ ἄρτος τοῦ γενήμα-
τος τῆς γῆς σου (λα) ἔσται πλησ-
μονὴ καὶ λιπαρός· καὶ βοσκηθήσεταί
σου τὰ κτήνη (λβ) τῇ ἡμέρᾳ ἐκείνῃ
24 τόπον πίονα καὶ εὐρύχωρον, [24] οἱ
ταῦροι ὑμῶν καὶ οἱ βόες οἱ ἐργα-
ζόμενοι τὴν γῆν (λγ) φάγονται

(ιδ) ὡς γὰρ κριτὴς τὸν ἀπατηθέντα ἔσωσε, κατέκρινε δὲ τὸν ἀπατήσαντα.

(ιε) οἱ ἀπόστολοι καὶ οἱ ἐκείνοις ἀκολουθήσαντες.

(ις) τῇ νέᾳ.

(ιζ) τῇ ἀρχαίᾳ.

(ιη) οὐδὲ γὰρ τοῦ Χριστοῦ τοὺς οἰκτιρμοὺς ἐξεζήτησεν.

(ιθ) ἀφ' ἑαυτοῦ ὡς ἀγαθός.

(κ) τουτέστιν ὅταν ἴδῃ· οἱ προφῆται γὰρ καὶ τὰ μέλλοντα ὡς παρελθόντα λέγουσιν.

(κα) τὸν ἐν μετανοίᾳ.

(κβ) τὸ τῶν δακρύων.

(κγ) φεύγουσι γὰρ οἱ δαίμονες τὴν μετάνοιαν.

(κδ) αἰσχυνομένους.

(κε) τῶν ἀκολουθεῖν αὐτοῖς σε αἰχμαλωτευσάντων, δακνομένων δὲ ἐπὶ τῇ σῇ μετανοίᾳ.

(κς) τουτέστιν οἵῳ δήποτε τρόπῳ τὴν ὁδὸν τὴν ἀγαθὴν ἐκκλίνωμεν.

(κζ) ἐφέδρου.

(κη) τουτέστι μετὰ τοῦ φεύγειν καὶ βδελλύττεσθαι.

(κθ) ἡ χορηγία τοῦ πνεύματος.

(λ) τῆς νοητῆς.

(λα) ὁ μυστικὸς ἄρτος ὁ ἐκ τοῦ γενήματος τῆς σαρκὸς τοῦ Χριστοῦ· γῆ γὰρ ἡμετέρα αὕτη διὰ τὴν πρὸς ἡμᾶς συγγένειαν.

(λβ) οἱ ἐξ ἁμαρτωλῶν ἐπιστρέφοντες.

(λγ) οἱ ἐν δικαιοσύνῃ τὸν ἀγρὸν τοῦ θεοῦ ἐργαζόμενοι.

---

18 μακάριοι + πάντες A^3. 19 ἔκλαυσεν A^3 praem. οὐκ; item Hes. (vide ιη). ἐλεήσει + σε, πρὸς A^3. 24 οἱ ταῦροι A^3 praem. καὶ.

ἄχυρα ἀναπεποιημένα ἐν κριθῇ λε-
25 λικμημένῃ (λδ). [25] καὶ ἔσται ἐπὶ
παντὸς ὄρους ὑψηλοῦ (λε) καὶ ἐπὶ
παντὸς βουνοῦ μετεώρου ὕδωρ (λϛ)
διαπορευόμενον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ,
ὅταν ἀπόλωνται πολλοὶ (λζ), καὶ
26 ὅταν πέσωσι πύργοι (λη). [26] καὶ
ἔσται τὸ φῶς τῆς σελήνης (λθ)
ὡς τὸ φῶς τοῦ ἡλίου (μ), καὶ
τὸ φῶς τοῦ ἡλίου ἔσται ἑπτα-
πλάσιον (μα) ἐν τῇ ἡμέρᾳ, ὅταν
ἰάσηται κύριος τὸ σύντριμμα τοῦ
λαοῦ αὐτοῦ (μβ), καὶ τὴν ὀδύνην
τῆς πληγῆς σου ἰάσεται.

(λδ) τὸ γράμμα τοῦ νόμου μετὰ τῆς πνευματικῆς ἐντολῆς· ὡς κριθὴ γὰρ τὸ νομικὸν γράμμα τροφὴ τοῦ λαοῦ τοῦ κτηνώδους ἐγένετο, ἀλλ' ἐλικμήθη τῷ εὐαγγελίῳ πνευματικῶς τοῦ νόμου τὸν σκοπὸν ἑρμηνεύσαντι.
(λε) πάσης ψυχῆς ἢ μεγάλα φιλοσοφούσης ἢ σύμμετρα.
(λϛ) ἡ χάρις τοῦ βαπτίσματος. f. 99
(λζ) τὸ πλῆθος τῶν δαιμόνων.
(λη) οἱ τῶν εἰδώλων ναοί.
(λθ) τὸ τῆς ἐκκλησίας.
(μ) τοῦ Χριστοῦ.
(μα) ὅταν αὐτοῦ τὴν δόξαν ὅσον χωροῦμεν τῆς θεότητος ἴδωμεν.
(μβ) τουτέστιν ὅταν τὰ ἔθνη ἰάσηται· τούτους γὰρ ἔχει λαόν· τότε τὴν πληγὴν καὶ τοῦ λαοῦ τῶν Ἰουδαίων ἰάσεται.

30^{27}—31^{9a}. Κεφ. μϛ'.

Πρόρρησις τοῦ Χριστοῦ τῆς δευτέρας ἀφίξεως· καὶ ἀπειλὴ κατὰ τῶν ἀποκεχρημένων τῷ οἴκῳ τοῦ θεοῦ καὶ κατὰ τοῦ διαβόλου καὶ τῶν ἐπ' αὐτῷ πεποιθότων· καὶ ὅπως ἡ τοῦ σωτῆρος ἐπιδημία ἀναίρεσις τῆς πλάνης τῶν εἰδώλων καὶ τοῦ ταύτην ἐνεργήσαντος γίνεται.

27 [27] Ἰδού, τὸ ὄνομα κυρίου (α)
διὰ χρόνου ἔρχεται πολλοῦ (β)·
καιόμενος ὁ θυμός· μετὰ δόξης τὸ
λόγιον τῶν χειλέων αὐτοῦ (γ), τὸ

(α) ὁ Χριστός· ἐν γὰρ τῇ δόξῃ τοῦ πατρὸς παραγίνεται.[a]
(β) ἐν τῷ καιρῷ τῆς συντελείας.
(γ) ἐπειδὴ καὶ κριτὴν ἑαυτὸν καὶ θεὸν ἐμφανίζει.

24 λελικμημένῃ B Hes. (vide λδ); λελικμημένα AS. 26 ἑπταπλάσιον + ὡς τὸ φῶς τῶν ἑπτὰ ἡμερῶν A[s]. 27 θυμὸς + αὐτοῦ A[s].

[a] Matth. 16^{27}.

λόγιον ὀργῆς πλῆρες (δ), καὶ ἡ
ὀργὴ τοῦ θυμοῦ ὡς πῦρ ἔδεται (ε)·
28 [28] καὶ τὸ πνεῦμα αὐτοῦ ὡς ὕδωρ
ἐν φάραγγι σῦρον ἥξει (ϛ) ἕως τοῦ
τραχήλου καὶ διαιρεθήσεται (ζ) τοῦ
ἔθνη ταράξαι ἐπὶ πλανήσει ματαίᾳ
(η), καὶ διώξεται αὐτοὺς πλάνησις
ματαία, καὶ λήψεται αὐτοὺς κατὰ
29 πρόσωπον αὐτῶν (θ). [29] μὴ διὰ
παντὸς δεῖ ὑμᾶς εὐφραίνεσθαι καὶ
εἰσπορεύεσθαι εἰς τὰ ἅγιά μου (ι)
διὰ παντὸς ὡσεὶ ἑορτάζοντας . . .
30 [30] καὶ ἀκουστὴν ποιήσει ὁ θεὸς τὴν
δόξαν τῆς φωνῆς αὐτοῦ καὶ τὸν
θυμὸν τοῦ βραχίονος αὐτοῦ (ια) . . .
καὶ ὡς ὕδωρ καὶ χάλαζα (ιβ) συγ-
31 καταφερομένη βίᾳ. [31] διὰ γὰρ τὴν
φωνὴν κυρίου ἡττηθήσονται οἱ Ἀσ-
σύριοι (ιγ), τῇ πληγῇ ᾗ ἂν πατάξῃ
32 αὐτούς. [32] καὶ ἔσται αὐτῷ κυκλόθεν,
ὅθεν ἦν αὐτῷ ἡ ἐλπὶς τῆς βοη-
θείας (ιδ) ἐφ' ᾗ αὐτὸς ἐπεποίθει·
αὐτοὶ μετὰ αὐλῶν καὶ κιθάρας
πολεμήσουσιν αὐτὸν ἐκ μεταβολῆς.
33 [33] σὺ γὰρ πρὸ ἡμερῶν ἀπαιτη-
θήσῃ (ιε)· μὴ καὶ σοὶ ἡτοιμάσθη
βασιλεύειν φάραγγα βαθεῖαν (ιϛ),
ξύλα κείμενα, πῦρ καὶ ξύλα πολλά;

(δ) κατὰ τῶν ἀσεβῶν.
(ε) ἁμαρτωλοὺς καὶ δαίμονας.
(ϛ) ἡ δίκη γὰρ τότε καὶ καταποντοῖ καὶ φλέγει τὸν ὑπεύθυνον.
(ζ) εἰς τὴν ἐφ' ἑκάστῳ ψῆφον.
(η) δαιμόνων καὶ ἁμαρτωλῶν· οἱ μὲν γὰρ ἀδίκως ἐπλάνησαν, οἱ δὲ μάτην ἐπλανήθησαν.
(θ) εἰς τιμωρίαν ἐλεγχομένων εἰς πρόσωπον.
(ι) ταῦτα πρὸς τοὺς ἀποκεχρημένους τῇ τῶν ἁγίων λειτουργίᾳ καὶ οὐ λογιζομένους, ὅτιπερ αὐτοὺς ἡ δίκη δέξεται.
(ια) ὅσα γὰρ φθέγγεται, τότε διὰ τῶν ἔργων παρίστησιν.
(ιβ) ὕδωρ διὰ τὸ λαῦρον, χάλαζαν διὰ τὸ βίαιον τὴν τοῦ θεοῦ ὀργὴν προσηγόρευσεν.
(ιγ) οὐδὲ γὰρ πρὸς τὴν φωνὴν τοῦ f. 99v
θεοῦ δικαιολογήσασθαι οἱ νοητοὶ Ἀσσύριοι τῇ κρίσει μαστιζόμενοι δύνανται.
(ιδ) τῶν παρὰ τοῦ διαβόλου ἀπατηθέντων· βοηθεῖν γὰρ αὐτῷ τούτους ᾤετο πρὸς ἀντίστασιν, οὗτοι δὲ μεταβληθέντες αὐτὸν μὲν πολεμοῦσι, μετ' ὀργάνων δὲ ὑμνῳδίας πρὸς τὸν θεὸν εἰσέρχονται.
(ιε) πρὸ γὰρ τοῦ καιροῦ τῆς συντελείας ἀπαιτεῖται τοὺς ἁμαρτωλοὺς ἐμέσαι.
(ιϛ) τῷ μὲν γὰρ θανάτῳ ἡ κατὰ τοῦ Ἀδὰμ ἀπειλὴ τὴν βασιλείαν ἡτοίμασεν, ὁ διάβολος δὲ ἀφ'

31 οἱ ante Ἀσσύριοι om. S. πατάξῃ BS. πατάξει A. 33 σὺ γὰρ > οὐ γὰρ σὺ AS. καὶ σοὶ > καὶ σὺ AS.

ὁ θυμὸς κυρίου ὡς φάραγξ ὑπὸ
θείου καιομένη (ιζ).
31 1 [1] Οὐαὶ οἱ καταβαίνοντες εἰς
Αἴγυπτον (ιη) ἐπὶ βοήθειαν, οἱ ἐφ'
ἵπποις πεποιθότες καὶ ἐφ' ἅρμασιν·
ἔστι γὰρ πολλά, καὶ ἐφ' ἵπποις
πλῆθος σφόδρα (ιθ)· καὶ οὐκ ἦσαν
πεποιθότες ἐπὶ τὸν ἅγιον τοῦ
2 Ἰσραὴλ (κ) . . . [2] καὶ αὐτὸς σο-
φὸς (κα) ἦγεν ἐπ' αὐτοὺς κακὰ (κβ)
. . . καὶ ἐπαναστήσεται ἐπ' οἴκους
ἀνθρώπων πονηρῶν καὶ ἐπὶ τὴν
ἐλπίδα αὐτῶν τὴν ματαίαν (κγ),
3 [3] Αἰγύπτιον ἄνθρωπον (κδ) καὶ οὐ
θεόν, ἵππων σάρκας, καὶ οὐκ ἔστι
βοήθεια (κε) . . . καὶ κοπιάσουσιν
οἱ βοηθοῦντες (κϛ), καὶ πεσεῖται ὁ
βοηθούμενος, καὶ ἅμα πάντες (κζ)
4 ἀπολοῦνται. [4] ὅτι οὕτως εἶπέ μοι
κύριος Ὃν τρόπον ἐὰν βοήσῃ ὁ
λέων ἢ ὁ σκύμνος . . . καὶ ἡττή-
θησαν (κη), καὶ τὸ πλῆθος τοῦ
θυμοῦ ἐπτοήθησαν, οὕτως κατα-
βήσεται (κθ) κύριος Σαβαὼθ ἐπι-
στρατεῦσαι ἐπὶ τὸ ὄρος τὸ Σιὼν καὶ
5 ἐπὶ τὰ ὄρη αὐτῆς (λ). [5] ὡς ὄρνεα
πετόμενα (λα), οὕτως ὑπερασπιεῖ

ἑαυτοῦ ἐν τῇ σκοτεινῇ τῆς ἀσεβείας ἐτυράννησε φάραγγι.

(ιζ) τὴν γέενναν φησιν ἐν ᾗ ξύλων δίκην οἱ ἀσεβεῖς διὰ τὸν τοῦ κριτοῦ θυμὸν καὶ οἱ δαίμονες καίονται.

(ιη) εἰδωλικήν.

(ιθ) πλεονάζει γὰρ ἡ κακία ἐν τῷ βίῳ, αἱ ἡδοναὶ δὲ αἱ φιλόπορνοι μάλιστα.

(κ) τὸν Χριστόν· ὡς ἁγιωσύνης γὰρ ἐξηγητῇ οἱ φιλόπορνοι ἀκολουθεῖν οὐκ ἀνέχονται.

(κα) ὁ Χριστὸς ὡς σοφία χρηματίζων θεοῦ.

(κβ) παιδείας, ἵνα καὶ πρὸς ἀνάγκην τὰς ἡδονὰς ἐάσωσιν.

(κγ) τὴν τῆς βιωτικῆς φαντασίας.

(κδ) τὸν διάβολον· εἰκόνα γὰρ αὐτοῦ τὸν Φαραὼ οἱ προφῆται ἐκτίθενται.

(κε) τοὺς ἡδυπαθεῖς καὶ φιλοσάρκους δαίμονας παρ' ὧν οὐκ ἔστιν ἀγαθή τις βοήθεια.

(κϛ) ἐπὶ κακίᾳ.

(κζ) οἱ πονηρὰ βοηθοῦντες καὶ βοη- f. 100
θούμενοι.

(κη) τουτέστιν ἐδειλίασαν.

(κθ) διὰ τῆς σαρκώσεως.

(λ) τουτέστιν ἐν τῷ ὄρει Σιὼν καὶ ἐν τοῖς λοιποῖς τῆς θεοφανείας χώροις.

(λα) τουτέστιν ὡς ὑπὲρ ὄρνεων πετομένων· τοιοῦτοι γὰρ οἱ τὴν νέαν Ἱερουσαλὴμ οἰκοῦντες ὡς ὑψηλοὶ τὴν πολιτείαν ὑπάρχοντες.

---

3 καὶ πεσεῖται ὁ βοηθούμενος A[3], item Hes. (vide κζ). 4 ὁ ante λέων A[3] BS.

6 κύριος ὑπὲρ Ἱερουσαλὴμ . . . [6] ἐπι-
στράφητε οἱ τὴν βαθεῖαν (λβ) βουλὴν
βουλευσάμενοι καὶ ἄνομον (λγ).
7 [7] ὅτι τῇ ἡμέρᾳ ἐκείνῃ (λδ) ἀπ-
αρνηθήσονται (λε) οἱ ἄνθρωποι τὰ
8 χειροποίητα αὐτῶν . . . [8] καὶ
πεσεῖται Ἀσσούρ (λϛ)· οὐ μάχαιρα
ἀνδρὸς (λζ) οὐδὲ μάχαιρα ἀνθρώπου
καταφάγεται αὐτὸν, καὶ φεύξεται οὐκ
ἀπὸ προσώπου διώκοντος (λη)· οἱ
δὲ νεανίσκοι (λθ) ἔσονται εἰς ἥττημα·
9 [9] πέτρᾳ γὰρ περιληφθήσονται (μ)
ὡς χάρακι καὶ ἡττηθήσονται, ὁ δὲ
φεύγων ἁλώσεται (μα).

(λβ) τὴν δολεράν.
(λγ) τὴν κατὰ Χριστοῦ.
(λδ) τουτέστι τοσαύτη τοῦ σταυρωθέντος ἡ δύναμις· ὅτε Ἰουδαῖοι τολμῶσι τὸν σταυρὸν, τότε τὰ ἔθνη τὴν τῶν εἰδώλων ἀποβολὴν βουλεύεται.
(λε) ἀποβαλοῦνται.
(λϛ) ὁ νοητὸς, διάβολος.
(λζ) οὐδὲ γὰρ ψιλὸς ἀνὴρ ὁ Χριστὸς οὗ τῇ μαχαίρᾳ, δηλαδὴ τῷ σταυρῷ, ὁ διάβολος ἔπεσεν.
(λη) ἀλλ' ἀπὸ προσώπου τῆς γλώττης τοῦ Χριστοῦ.
(λθ) οἱ τῇ πονηρίᾳ νεανιευόμενοι.
(μ) τῇ πίστει πολιορκηθήσονται.
(μα) οἱ δαίμονες φεύγουσι μὲν τὸν Χριστὸν, παρ' αὐτοῦ δὲ δεσμεύονται.

31⁹ᵇ—32⁸. Κεφ. μζ'.

Μακαρισμὸς τῶν φυλαττόντων τὴν πρὸς Ἱερουσαλὴμ τὴν νοητὴν συγγένειαν ἐν ᾗ φανεροῖ τῆς οἰκείας ἐπιδημίας ὁ Χριστὸς τὰ μυστήρια καὶ τὴν τῶν Ἰουδαίων ἀλαζονείαν παύει, βεβαιοῖ δὲ τῶν πιστῶν τὴν εὐσέβειαν.

Τάδε λέγει κύριος Μακάριος ὃς
ἔχει ἐν Σιὼν σπέρμα καὶ οἰκείους
ἐν Ἱερουσαλήμ (α).
32 1 Ἰδοὺ γὰρ βασιλεὺς δίκαιος βασι-
λεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως
2 ἄρξουσι (β). [2] καὶ ἔσται ὁ ἄν-
θρωπος (γ) κρύπτων τοὺς λόγους

(α) τουτέστι πρὸς τὰ μυστήρια τὰ τῆς Σιὼν καὶ τῆς νέας Ἱερουσαλὴμ συγγένειαν.
(β) οἱ γὰρ ἀπόστολοι οὐκ ἀφ' ἑαυτῶν ἦρξαν, παρὰ Χριστοῦ δὲ ἐξελέχθησαν.
(γ) ὁ Χριστός· τοῦτο γὰρ διὰ τὴν σάρκα λέγεται. f. 100ᵛ

5 κύριος + Σαβαὼθ A³ B. 6 ἄνομον + υἱοὶ Ἰσραὴλ A³ B. 7 τὰ χειροποίητα A³ B. Κεφ. μζ': πρὸς Ἱερουσ. > ἀπὸ Ἱερουσ. V. συγγένειαν > εὐγένειαν C. οἰκείας ὁ Χριστὸς ἐπιδημίας C. 2 τοὺς λόγους τούτους A.

αὐτοῦ (δ), καὶ κρυβήσεται ὡς ἀφ'
ὕδατος φερομένου (ε)· καὶ φανή-
3 σεται ἐν Σιὼν (ϛ) . . . [3] καὶ οὐκέτι
ἔσονται πεποιθότες ἐπ' ἀνθρώπους (ζ),
ἀλλὰ τὰ ὦτα δώσουσιν ἀκούειν (η)·
4 [4] καὶ ἡ καρδία τῶν ἀσθενούντων (θ)
προσέξει τῷ ἀκούειν, καὶ αἱ γλῶσσαι
αἱ ψελλίζουσαι (ι) ταχὺ μαθήσονται
5 λαλεῖν εἰρήνην· [5] καὶ οὐκέτι οὐ μὴ
εἴπωσι τῷ μωρῷ ἄρχειν (ια), καὶ
οὐκέτι οὐ μὴ εἴπωσιν οἱ ὑπηρέται
6 σου Σίγα (ιβ). [6] . . . καὶ ἡ καρδία
αὐτῶν μάταια νοήσει τοῦ συντελεῖν
ἄνομα καὶ λαλεῖν πρὸς κύριον
πλάνησιν (ιγ), τοῦ διαφθεῖραι
ψυχὰς πεινώσας καὶ τὰς ψυχὰς τὰς
7 διψώσας κενὰς ποιῆσαι (ιδ). [7] ἡ
γὰρ βουλὴ τῶν πονηρῶν ἄνομα βου-
λεύεται, καταφθεῖραι ταπεινοὺς (ιε)
ἐν λόγοις ἀδίκοις (ιϛ) καὶ διασκεδά-
σαι λογισμοὺς ταπεινῶν ἐν κρίσει.
8 [8] οἱ δὲ εὐσεβεῖς συνετὰ ἐβουλεύ-
σαντο, καὶ αὕτη ἡ βουλὴ μενεῖ (ιζ).

(δ) διὰ τὸ ἐν παραβολαῖς λαλεῖν.[a]

(ε) ἐκ τῆς τῶν Ἰουδαίων ἐπιβουλῆς·[b] σφοδρὰ γάρ, ἀλλὰ πρόσκαιρος.

(ϛ) ὅτε τοῖς μαθηταῖς μετὰ τὴν ἀνάστασιν ἑαυτὸν ἐνεφάνισεν.[c]

(ζ) ἐπὶ διδασκαλίας ἀνθρωπίνας.

(η) τὸν εὐαγγελικὸν λόγον.

(θ) τῶν ἐξ ἀσθενείας ἀπιστούντων, πιστευσάντων δὲ ὕστερον.

(ι) αἱ τῶν ἐθνῶν· ὡς ἀρτιμαθεῖς γὰρ ἀναγκαίως ἐψέλλιζον.

(ια) τοῖς ἀνοήτοις τῶν Ἰουδαίων ἄρχουσιν.

(ιβ) τῇ συναγωγῇ λέγει· ταύτης γὰρ οἱ ὑπηρέται σιγᾶν τὸν Χριστὸν καὶ τὸν Παῦλον ἐκέλευον.

(ιγ) ὅτε πλάνον τὸν Χριστὸν προσηγόρευσαν.[d]

(ιδ) τὰς πεινώσας καὶ διψώσας τὴν τοῦ θεοῦ δικαιοσύνην· ταύταις γὰρ διὰ φθόνον ἐπεβούλευον.

(ιε) τοὺς διὰ Χριστὸν ταπεινουμένους.

(ιϛ) ἐγκαλοῦντες ἀδίκως τοῦ νόμου τὴν παράβασιν.

(ιζ) ἡ τῶν εὐσεβῶν ἣν ὁ Πέτρος τοῖς Ἰουδαίοις ἔλεγε «Πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις».[e]

---

3 ἐπ' ἀνθρώπους Hes. (vide ζ), ἐπ' ἀνθρώποις ABS. 4 τῶν ἀσθενούντων > τῶν ἀσθενῶν A. τοῦ ἀκούειν A. ταχὺ om. A.

---

[a] Matth. 13[34]. Marc. 4[34]. [b] Io. 8[59]. 12[36]. [c] Io. 12[1. 14]. [d] Io. 7[12]. [e] Act. 5[29].

32^{9}—33^{4}. Κεφ. μη'.

Εὐαγγελισμὸς τῶν ἐκκλησιῶν καὶ θρῆνος τῶν Ἰουδαϊκῶν συναγωγῶν· καὶ ἀπειλὴ τῆς Ἱερουσαλὴμ ἐρημώσεως, μέχρις ἂν δέξηται τὴν κοινωνίαν τοῦ πνεύματος ἣν τὰ ἔθνη δεχόμενα ἐλεύθερα πάσης βλάβης φυλάττεται, Ἰουδαῖοι δὲ διασπορᾶς ὡς ἀπειθοῦντες πείσονται.

9 [9] Γυναῖκες (α) πλούσιαι, ἀνά-
στητε καὶ ἀκούσατε τῆς φωνῆς μου·
θυγατέρες ἐν ἐλπίδι ἀκούσατε
10 τοὺς λόγους μου. [10] ἡμέρας (β)
ἐνιαυτοῦ μνείαν ποιήσασθε ἐν ὀδύνῃ
μετὰ ἐλπίδος (γ)· ἀνήλωται ὁ τρυ-
γητὸς (δ), πέπαυται ὁ σπόρος καὶ
11 οὐκέτι μὴ ἔλθῃ (ε). [11] εὐθηνοῦσαι
ἔκστητε, λυπήθητε αἱ πεποιθυῖαι (ϛ),
ἐκδύσασθε, γυμναὶ γένεσθε, περι-
ζώσασθε σάκκους τὰς ὀσφύας (ζ)
12 [12] καὶ ἐπὶ τῶν μασθῶν κόπτεσθε,
περὶ ἀγροῦ ἐπιθυμήματος (η) καὶ
13 ἀμπέλου γενήματος. [13] ἡ γῆ τοῦ
λαοῦ μου, ἄκανθα (θ) καὶ χόρτος
ἀναβήσεται, καὶ ἐκ πάσης οἰκίας (ι)
εὐφροσύνη ἀρθήσεται· πόλις πλου-
14 σία (ια) [14] οἶκοι ἐγκαταλελειμμέ-
νοι (ιβ)· πλοῦτον πόλεως (ιγ) καὶ

(α) αἱ ἐκκλησίαι· αὗται γὰρ καὶ νύμφαι Χριστοῦ καὶ θυγατέρες λέγονται.
(β) ἐν ᾗ Χριστὸς ἐκήρυξεν.
(γ) μνημονεύσατε τῶν κυριακῶν θαυμάτων ὀδυνώμεναι μὲν ἐπὶ τοῖς Ἰουδαίοις, ἀγαθὰ δὲ ἐλπίζουσαι διὰ τὴν ὑμῶν πίστιν.
(δ) ὁ Ἰουδαϊκός.
(ε) τά ποτε τοῖς Ἰουδαίοις ἀνθήσαντα.
(ϛ) ταῖς συναγωγαῖς φησιν· εὐθηνοῦσαι μὲν γὰρ ἦσαν καὶ πεποιθυῖαι ἐπὶ τῇ τοῦ νόμου σκιᾷ, νῦν δὲ ἐπὶ τῇ χάριτι τῆς ἐκκλησίας ἐξίστανται.
(ζ) διὰ τὴν τῶν ἀρετῶν ἀτεκνίαν.
(η) ἐπιθυμητὸς γὰρ καὶ εὔφορος f. 101
διὰ τὸν Ἀβραὰμ ὁ ἀγρὸς τῶν Ἰουδαίων ἐτύγχανεν.
(θ) ἐπειδὴ τοιαῦτα τὰ παρὰ τοῖς Ἰουδαίοις γεωργηθέντα ὕστερον.
(ι) συναγωγῆς Ἰουδαϊκῆς.
(ια) Ἱερουσαλὴμ ποτε.
(ιβ) αἱ τῆς Ἱερουσαλὴμ συναγωγαί.
(ιγ) τὸν ἐν τῇ ἀρχαίᾳ Ἱερουσαλὴμ νομικὸν πλοῦτον οἱ πιστοὶ κατα-

Κεφ. μη': διασπορᾶς > διασπορᾷ V. πείσονται > πεύσονται C. πεσοῦνται V.
9 ἀνάστητε + δὴ A^{3}. 11 εὐθηνοῦσαι A^{3}, item Hes. (vide ϛ).
13 sq. Hic Hes. aliter ac Tisch. interpungere videtur.

οἴκους ἐπιθυμητοὺς (ιδ) ἀφήσουσιν·
καὶ ἔσονται κῶμαι σπήλαια (ιε) ἕως
15 τοῦ αἰῶνος . . . [15] ἕως ἂν ἐπέλθῃ
ἐφ' ὑμᾶς πνεῦμα ἀφ' ὑψηλοῦ (ις).
καὶ ἔσται ἔρημος ὁ Χέρμελ (ιζ),
καὶ ὁ Χέρμελ εἰς δρυμὸν λογισ-
16 θήσεται (ιη). [16] καὶ ἀναπαύσεται
ἐν τῇ ἐρήμῳ κρίμα, καὶ δικαιοσύνη
ἐν τῷ Καρμήλῳ κατοικήσει (ιθ)·
17 [17] . . . καὶ κρατήσει ἡ δικαιοσύνη
ἀνάπαυσιν (κ), καὶ πεποιθότες
ἔσονται (κα) ἕως τοῦ αἰῶνος·
18 [18] καὶ κατοικήσει ὁ λαὸς αὐτοῦ (κβ)
ἐν πόλει εἰρήνης (κγ) καὶ ἐνοικήσει
πεποιθὼς, καὶ ἀναπαύσονται μετὰ
19 πλούτου (κδ). [19] ἡ δὲ χάλαζα (κε)
ἐὰν καταβῇ, οὐκ ἐφ' ὑμᾶς (κς)
ἥξει. καὶ ἔσονται οἱ ἐνοικοῦντες ἐν
τοῖς δρυμοῖς πεποιθότες ὡς οἱ ἐν
20 τῇ πεδινῇ (κζ). [20] μακάριοι οἱ
σπείροντες ἐπὶ πᾶν ὕδωρ οὗ βοῦς
καὶ ὄνος πατεῖ (κη).
33 1 Οὐαὶ τοῖς ταλαιπωροῦσιν ὑμᾶς (κθ),
ὑμᾶς δὲ οὐδεὶς ποιεῖ ταλαιπώρους (λ),

λείψουσι τὸν τῆς σκιᾶς, δηλονότι τοῦ γράμματος.

(ιδ) τὰς ἐπιθυμητὰς τῶν Ἰουδαίων συναγωγάς.

(ιε) τουτέστιν ἐρημωθήσονται πάντα τὰ τῶν Ἰουδαίων οἰκητήρια.

(ις) ἔρημος γὰρ ἔσται ἡ Ἰουδαία, μέχρις ἂν τὴν δωρεὰν τοῦ πνεύματος δέξηται.

(ιζ) ἐκ τῆς τῶν Ἰουδαίων κατοικίας.

(ιη) ὡς μηδενὸς ἐν αὐτῷ καρπὸν φέροντος ἥμερον.

(ιθ) ὅτε γὰρ ὁ τῶν προφητῶν χῶρος ὃν μηνύει ὁ Κάρμηλος ἔρημος τῆς κατοικίας τῶν Ἰουδαίων γένηται, τότε καὶ κρίμα καὶ δικαιοσύνη ἀναπαύσεται ἐν αὐτῷ.

(κ) τουτέστιν ἕξει ἀνάπαυσιν.

(κα) οἱ ἐν δικαιοσύνῃ πολιτευόμενοι.

(κβ) τοῦ Χριστοῦ.

(κγ) τῇ ἐκκλησίᾳ.

(κδ) τῶν δωρεῶν τοῦ πνεύματος.

(κε) ὀργὴ ἐξ οὐρανοῦ.

(κς) οὐκ ἐπὶ τοὺς πιστούς.

(κζ) τουτέστιν οἱ ἐν ἀσεβείᾳ γενόμενοι καὶ ἐπιστρέψαντες ἴσοι τοῖς ἐν εὐσεβείᾳ πολιτευομένοις ἔσονται.

(κη) βαπτίσματος καὶ μετανοίας, ἐπεὶ καὶ οἱ ἐκ περιτομῆς — οἵπερ εἰσὶ βοῦς — καὶ οἱ ἐξ ἐθνῶν — οἵτινες ὄνος — ἐν αὐτῷ βαδίζουσι, δηλαδὴ πολιτεύονται.

(κθ) τοῖς βουλομένοις ὑμῖν ἐγεῖραι ταλαιπωρίαν.

(λ) οὐδὲ γὰρ ἀσθενοῦσιν οἱ εὐσεβεῖς πειραζόμενοι.

καὶ ὁ ἀθετῶν ὑμᾶς οὐκ ἀθετεῖ (λα)·
ἁλώσονται οἱ ἀθετοῦντες καὶ παρα-
δοθήσονται (λβ), καὶ ὡς σῆς ἐφ'
ἱματίου, οὕτως ἡττηθήσονται (λγ).
2 ² . . . ἡ δὲ σωτηρία ἡμῶν ἐν
3 καιρῷ θλίψεως (λδ). ³ διὰ φωνῆς
τοῦ φόβου σου (λε) ἐξέστησαν
λαοὶ ἀπὸ τοῦ φόβου σου, καὶ
4 διεσπάρησαν τὰ ἔθνη (λϛ). ⁴ νῦν
δὲ συναχθήσεται τὰ σκῦλα ὑμῶν (λζ)
ἀπὸ μικροῦ καὶ μεγάλου (λη)· ὃν
τρόπον ἐάν τις συναγάγῃ ἀκρίδας
ἀπὸ τῶν βουνῶν, οὕτως ἐμπαίξουσιν
ὑμῖν (λθ).

(λα) ἀλλὰ τὸν θεὸν τὸν ἐν ὑμῖν.

(λβ) τῇ κρίσει. f. 101ᵛ

(λγ) ἐν τῇ ἁμαρτίᾳ οἱ δαίμονες τιμωρηθήσονται ὥσπερ οἱ σῆτες ἀναιροῦνται ἐν τοῖς ἱματίοις εὑρισκόμενοι.

(λδ) ἐπειδὴ στενὴ «καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν». [a]

(λε) τῆς τοῦ κυρίου φωνῆς.

(λϛ) ὥστε μηκέτι συγκεκροτημένοι τυγχάνειν εἰς ἀσέβειαν.

(λζ) εἰς τὴν αἰχμαλωσίαν τοῦ Χριστοῦ.

(λη) ἰδιώτου καὶ σοφοῦ.

(λθ) τουτέστι πόνου χωρὶς συνάξουσιν ὑμᾶς ἀπὸ τῶν βουνῶν τῆς πλάνης, καθάπερ ἀκρίδας οἱ θηρῶντες, εἰς εὐσέβειαν.

33⁵⁻²⁴. Κεφ. μθ'.

Δοξολογία θεοῦ καὶ τῶν ἀγαθῶν ἅπερ αὐτὸς χαρίζεται· καὶ πρόρρησις φθαρήσεσθαι τὴν ἀσέβειαν δι' ἀναστάσεως Χριστοῦ καὶ ἀναλήψεως καὶ τῶν ἄλλων μυστηρίων ἅπερ εἰς ἀφανισμὸν πάσης πλάνης ἐπιτελεῖ σαρκούμενος, ἐξ ὧν Σιὼν μὲν ἡ νέα ἀσάλευτος ἔσται, αἱ συναγωγαὶ δὲ τῶν Ἰουδαίων σεισθήσονται.

5 ⁵ Ἅγιος ὁ θεὸς ὁ κατοικῶν ἐν
6 ὑψηλοῖς, . . . ⁶ ἐν νόμῳ παρα-

---

1 ὁ ἀθετῶν ὑμῖν A. ἐπὶ ἱματίου A. 3 διὰ φωνῆς Hes. (vide λε). διὰ φωνὴν ABS. 4 ἀπὸ τῶν βουνῶν Hes. (vide λθ). ὡς ἀπὸ τῶν βοθύνων F. (ABS om.). ἐμπαίξουσιν B Hes. ἐμπαίξονται S. ἐμπέξονται A.

Κεφ. μθ': τὴν ἀσέβειαν > τὴν ἀπώλειαν V. πάσης om. V. μὲν ante ἡ νέα om. V. σεισθήσοντα > σείονται CO Migne.

---

[a] Matth. 7¹⁴.

δοθήσονται (α), ἐν θησαυροῖς ἡ
σωτηρία ἡμῶν, ἐκεῖ σοφία καὶ ἐπι-
7 στήμη καὶ εὐσέβεια (β) . . . [7] ἰδοὺ
δὴ ἐν τῷ φόβῳ ὑμῶν αὐτοὶ φοβη-
θήσονται (γ) · οὓς ἐφοβεῖσθε,
φοβηθήσονται ἀφ' ὑμῶν (δ)·
ἄγγελοι γὰρ ἀποσταλήσονται πικρῶς
κλαίοντες, παρακαλοῦντες εἰρήνην (ε).
8 [8] ἐρημωθήσονται γὰρ αἱ τούτων
ὁδοί (ς)· πέπαυται γὰρ ὁ φόβος τῶν
ἐθνῶν (ζ), καὶ ἡ πρὸς τούτους
διαθήκη (η) αἴρεται, καὶ οὐ μὴ
λογίσησθε αὐτοὺς ἀνθρώπους (θ).
9 [9] ἐπένθησεν ἡ γῆ (ι), ἠσχύνθη ὁ
Λίβανος (ια), ἕλη ἐγένετο ὁ Σά-
ρων (ιβ) · φανερὰ ἔσται ἡ Γαλι-
λαία καὶ ὁ Κάρμηλος (ιγ).
10 [10] νῦν ἀναστήσομαι (ιδ), λέγει
κύριος, νῦν δοξασθήσομαι (ιε), νῦν
11 ὑψωθήσομαι (ις)· [11] νῦν ὄψεσθε (ιζ),
νῦν αἰσχυνθήσεσθε· ματαία ἔσται
ἡ ἰσχὺς τοῦ πνεύματος ὑμῶν (ιη),
12 πῦρ (ιθ) ὑμᾶς κατέδεται, [12] καὶ
ἔσονται ἔθνη (κ) κατακεκαυμένα
ὡς ἄκανθα ἐν ἀγρῷ (κα) ἐρριμμένη

(α) Ἰουδαῖοι· Μωυσῆς γὰρ αὐτῶν ἔσται κατήγορος, ὡς ὁ κύριος ἔλεγεν.[a]
(β) ταῦτα γὰρ οἱ πιστοὶ καρποφοροῦσιν.
(γ) τουτέστιν ὁ φόβος ὁ ἐξ ὑμῶν ἐκφοβήσει τοὺς δαίμονας.
(δ) παρ' ὑμῶν μαστιζόμενοι.
(ε) πέμπονται γὰρ εἰς χοίρους οἱ τῶν δαιμόνων λεγεῶνες, παρακαλοῦντες μὴ πεμφθῆναι εἰς τὴν ἄβυσσον·[b] ἄγγελοι γὰρ ἦσάν ποτε τοῦ θεοῦ, νῦν δὲ τοῦ διαβόλου τυγχάνουσιν.
(ς) αἱ τῆς ἀσεβείας.
(ζ) ὃν ἐφοβοῦντο τοὺς δαίμονας.
(η) ἣν πρὸς τοὺς δαίμονας διὰ τῶν εἰδώλων τὰ ἔθνη διέθετο.
(θ) οὐ μὴ νομίσητε ἐψυχῶσθαι τὰ εἴδωλα.
(ι) ὁ ἄνθρωπος διὰ τὴν ἀσέβειαν.
(ια) ἡ εἰδωλολατρία.
(ιβ) ἄκαρπος ἡ Ἰουδαία · ὁ γὰρ Σάρων τῆς Ἰουδαίας ὅριον.
(ιγ) γυμνωθήσεται γὰρ ἡ παρὰ τοῖς Ἰουδαίοις ὑπόκρισις.
(ιδ) ἐκ νεκρῶν.
(ιε) διὰ τοῦ σταυροῦ.
(ις) εἰς οὐρανούς.
(ιζ) τὰ διὰ τῶν ἀποστόλων ἐπιτελούμενα θαύματα ἐφ' οἷς Ἰουδαῖοι ἠσχύνοντο.
(ιη) τοῦ φθονεροῦ.
(ιθ) ὁ ζῆλος.
(κ) τὰ τῇ ἀπιστίᾳ ἐπιμείναντα. f. 102
(κα) ἐν τῷ κόσμῳ.

7 ἀποσταλήσονται + ἀξιοῦντες εἰρήνην AS.

[a] Io. 5^{45}. [b] Matth. 8$^{28 \text{ sqq.}}$ Marc. 5$^{9 \text{ sqq.}}$ Luc. 8$^{30 \text{ sqq.}}$

13 καὶ κατακεκαυμένη. [13] ἀκούσονται
οἱ πόρρωθεν (κβ) ἃ ἐποίησα . . .
14 [14] ἀπέστησαν οἱ ἐν Σιὼν ἄνομοι (κγ)
. . . τίς ἀναγγελεῖ ὑμῖν, ὅτι πῦρ
καίεται (κδ); τίς ἀναγγελεῖ ὑμῖν
15 τὸν τόπον τὸν αἰώνιον; [15] πορευόμενος
ἐν δικαιοσύνῃ, λαλῶν εὐθεῖαν
ὁδὸν (κε), μισῶν ἀνομίαν καὶ
ἀδικίαν, καὶ τὰς χεῖρας ἀποσειόμενος
ἀπὸ δώρων (κϛ) . . . καμμύων τοὺς
ὀφθαλμοὺς, ἵνα μὴ ἴδῃ ἀδικίαν (κζ),
16 [16] οὗτος οἰκήσει ἐν ὑψηλῷ σπη-
λαίῳ (κη) πέτρας ὀχυρᾶς· ἄρτος
αὐτῷ δοθήσεται (κθ), καὶ τὸ ὕδωρ
17 αὐτοῦ πιστόν. [17] βασιλέα μετὰ δόξης
ὄψεσθε (λ), καὶ οἱ ὀφθαλμοὶ ὑμῶν
18 ὄψονται γῆν πόρρωθεν (λα), [18] ἡ
ψυχὴ ὑμῶν μελετήσει φόβον (λβ)·
ποῦ εἰσὶν οἱ γραμματικοί (λγ); ποῦ
εἰσὶν οἱ συμβουλεύοντες (λδ); ποῦ
ἔστιν ὁ ἀριθμῶν τοὺς τρεφομένους (λε)
19 [19] μικρὸν καὶ μέγαν λαὸν ᾧ οὐ
συνεβούλευσεν (λϛ) οὐδὲ ᾔδει

(κβ) ἐκεῖνοι περὶ ὧν ὁ Παῦλός φησιν Οἵ ποτε ὄντες μακρὰν, ἐγενήθητε ἐγγὺς διὰ τοῦ αἵματος τοῦ Χριστοῦ.[a]

(κγ) οἱ τῶν Ἰουδαίων ἄρχοντες.

(κδ) τὸν Χριστὸν αἰνίττεται· αὐτὸς γὰρ τὸ πῦρ τὸ τῆς γεέννης ἠπείλησεν.[b]

(κε) πρότερον γὰρ ὁ Χριστὸς ἐποίει δικαιοσύνην καὶ μετὰ τοῦτο ἐδίδασκεν.

(κϛ) ἐπεὶ καὶ τοὺς μαθητὰς ἐκέλευε μὴ κτήσασθαι χρυσὸν μηδὲ ἄργυρον.[c]

(κζ) σφόδρα γὰρ αὐτῷ τὸ συμπαθὲς σπουδάζεται.

(κη) ὑψηλὸν γὰρ τὸ σπήλαιον τῆς Βηθλεὲμ διὰ τὴν χάριν μάλιστα.

(κθ) ἐν τῷ μυστικῷ δείπνῳ προσενεχθήσεται.

(λ) ὅταν ἐν τῇ δόξῃ τοῦ πατρὸς παραγένηται.[d]

(λα) ἐντεῦθεν γὰρ ἡμῖν τοῖς ὀφθαλμοῖς τῆς διανοίας τὴν γῆν τῶν ζώντων ἔδειξεν.

(λβ) τὸν τῆς κρίσεως.

(λγ) οἱ παρ' Ἕλλησι σοφοί.

(λδ) οἱ διὰ μαντειῶν συμβουλεύοντες.

(λε) ὁ δι' ἀστρολογίας ψηφίζων τοὺς παρὰ θεοῦ τὸ ζῆν ἔχοντας καὶ τὸ τρέφεσθαι.

(λϛ) ὁ θεός· ἀστρολόγῳ γὰρ καὶ μάντει τὴν οἰκείαν βουλὴν οὐκ

---

18 φόβον κυρίου A. τρεφομένους B Hes. συστρεφομένους AS. 19 συνεβούλευσεν Hes. (vide λϛ), συνεβούλευσαν A, συνεβουλεύσαντο S, συνεβουλεύσατο B. interpunctio sec. interpret. (λϛ).

---

[a] Eph. 2[13]: ἐγγὺς ἐγενήθητε ἐν τῷ αἵματι. [b] Matth. 29[41] et al.
[c] Matth. 10[9]. [d] Marc. 8[38].

βαθύφωνον, ὥστε μὴ ἀκοῦσαι «λαὸς
πεφαυλισμένος»; καὶ οὐκ ἔστι τῷ
20 ἀκούοντι σύνεσις (λζ). [20] . . . οἱ
ὀφθαλμοί σου ὄψονται (λη), Ἱερου-
σαλὴμ πόλις πλουσία (λθ), σκηναὶ
αἳ οὐ μὴ σαλευθῶσιν (μ) οὐδ' οὐ μὴ
κινηθῶσιν οἱ πάσσαλοι τῆς σκηνῆς
αὐτῆς (μα) εἰς τὸν αἰῶνα χρόνον,
οὐδὲ τὰ σχοινία αὐτῆς (μβ) οὐ μὴ
21 διαρραγῶσιν, [21] ὅτι τὸ ὄνομα
κυρίου (μγ) μέγα ἐστίν· τόπος ὑμῖν
ἔσται, ποταμοὶ καὶ διώρυγες (μδ)
πλατεῖς καὶ εὐρύχωροι (με)· οὐ
πορεύσῃ ταύτην τὴν ὁδὸν (μϛ), οὐδὲ
πορεύσεται πλοῖον ἐλαῦνον (μζ).
22 [22] ὁ γὰρ θεός μου μέγας ἐστίν· οὐ
παρελεύσεταί (μη) με κύριος (μθ)
κριτὴς ἡμῶν . . . κύριος οὗτος
23 ἡμᾶς σώσει (ν). [23] ἐρράγησαν τὰ
σχοινία σου (να), ὅτι οὐκ ἐνίσχυσεν·
ὁ ἱστός σου ἔκλινεν (νβ), οὐ χαλάσει
τὰ ἱστία (νγ), οὐκ ἀρεῖ σημεῖον (νδ),
ἕως οὗ παραδοθῇ εἰς προνομὴν (νε)·
τοίνυν πολλοὶ χωλοὶ (νϛ) προνομὴν
24 ποιήσουσι, [24] καὶ οὐ μὴ εἴπῃ
Κοπιῶ (νζ), ὁ λαὸς ὁ ἐνοικῶν ἐν
αὐτοῖς· ἀφεθῇ γὰρ αὐτοῖς ἡ ἁμαρτία.

ἀνατίθεται, οὐδὲ οἶδεν ὁ τοιοῦτος τὸν τὰ βαθέα καὶ κεκρυμμένα λέγοντα· εἰ γὰρ ᾔδει, λαὸς πεφαυλισμένος οὐκ ἂν ἐλέγετο.

(λζ) ἀσύνετοι γὰρ οἱ ἀκούοντες ἀστρολόγων ἢ μάντεων.

(λη) τὰ τοῦ κυρίου θαύματα.

(λθ) ἡ τὴν χάριν πλουτήσασα.

(μ) αἱ ἐκκλησίαι· ἐπὶ γὰρ τὴν πέτραν τεθεμελίωνται.[a]

(μα) τῆς νέας Ἱερουσαλήμ.

(μβ) τὰ τῆς πίστεως.

(μγ) τὸ τοῦ Χριστοῦ. f. 102 v

(μδ) αἱ πηγαὶ τοῦ βαπτίσματος.

(με) ἐπειδὴ πάντας δέχονται.

(μϛ) ὁ διάβολος· οὐκ ἔχει γὰρ ἐν τῷ βαπτίσματι δίοδον.

(μζ) τῆς τῶν δαιμόνων ἐμπορίας τὸ σύστημα.

(μη) οὐ παρόψεται.

(μθ) ὁ Χριστός.

(ν) διὰ σταυροῦ καὶ ἀναστάσεως.

(να) τῆς συναγωγῆς· οὐδὲ γάρ ἐστι πεπλεγμένα ἐκ πίστεως.

(νβ) ὁ νόμος ἐσαλεύθη.

(νγ) τὰ τοῦ γράμματος ἄρμενα οἷς βαρούμενος ὁ νόμος σαλεύεται.

(νδ) τοῦ σταυροῦ.

(νε) τὴν τοῦ Χριστοῦ.

(νϛ) οἵ ποτε ἄπιστοι καὶ ἁμαρτωλοί, ἀλλὰ νῦν ἐπιστρέφοντες.

(νζ) ἐπειδὴ οὐκέτι τῆς ἁμαρτίας τῷ φόρτῳ βαρύνονται.

---

20 Glossa sic interpungere videtur. 21 μέγα + ἡμῖν A[3]. 22 κύριος κριτὴς > κύριος πατὴρ κύριος κριτὴς A. 23 ποιήσωσι pro ποιήσουσι A.

---

[a] Matth. 16[18].

34^{1-17}. Κεφ. ν'.

Πρόρρησις συντελείας τῆς ὁρωμένης κτίσεως καθ' ἣν ἀφανίζονται θυμῷ τοῦ Θεοῦ μετὰ τῆς ἀσεβείας οἱ ταύτῃ προσχωρήσαντες, τοῖς εὐσεβέσι δὲ κληρονομία δίδοται.

34 1 Προσαγάγετε (α) ἔθνη, καὶ
ἀκούσατε ἄρχοντες (β)· ἀκουσάτω
ἡ γῆ καὶ οἱ ἐνοικοῦντες ἐν αὐτῇ (γ)
2 . . . ² διότι θυμὸς κυρίου ἐπὶ πάντα
τὰ ἔθνη (δ) καὶ ὀργὴ ἐπὶ τὸν
3 ἀριθμὸν αὐτῶν (ε) . . . ³ οἱ δὲ
τραυματίαι αὐτῶν (ϛ) ῥιφήσονται
καὶ οἱ νεκροὶ (ζ), καὶ ἀναβήσεται
αὐτῶν ἡ ὀσμὴ (η), καὶ βραχήσεται
τὰ ὄρη (θ) ἀπὸ τοῦ αἵματος αὐτῶν.
4 ⁴ . . . καὶ πάντα τὰ ἄστρα πεσεῖται
ὡς φύλλα ἐξ ἀμπέλου, καὶ ὡς πίπτει
5 φύλλα ἀπὸ συκῆς (ι). ⁵ ἐμεθύσθη (ια)
ἡ μάχαιρά μου ἐν τῷ οὐρανῷ (ιβ)
6 . . . ⁶ ἡ μάχαιρα κυρίου ἐνεπλήσθη
αἵματος (ιγ), ἐπαχύνθη ἀπὸ στέατος
ἀρνῶν καὶ ἀπὸ στέατος τράγων καὶ

(α) Ἐγγίσατε.

(β) τουτέστι μετὰ τῶν ὑπηκόων οἱ ἄρχοντες.

(γ) τὰ τῆς χάριτος λόγια· οὐδὲ γὰρ τόπῳ ὡς ὁ νόμος ἀφώρισται.

(δ) τὰ τῶν δαιμόνων.

(ε) ἐπὶ τὸ πλῆθος τῶν αὐτῶν.

(ϛ) οἱ παρὰ τῶν δαιμόνων τῇ ἀσεβείᾳ τρωθέντες.

(ζ) οἱ ἀποθανόντες τῆς ἁμαρτίας τὸν θάνατον.

(η) δυσωδία.

(θ) οἱ χῶροι ἐν οἷς τιμωροῦνται οἱ δαίμονες.

(ι) ὥστε ἀλλοιωθέντα καινισθῆναι, καθάπερ τὰ φύλλα τῶν δένδρων ἀνακαινίζεται.

(ια) ἐκορέσθη.

(ιβ) ἐν τοῖς ἐπουρανίοις χώροις περὶ f. 103
ὧν φησιν ὁ Παῦλος «πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις»·[a] οὐρανὸς γὰρ καὶ ὁ ἀὴρ παρὰ τῷ Δαυὶδ λέγεται «Τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τοὺς ἰχθύας τῆς θαλάσσης».[b]

(ιγ) τῆς τῶν δαιμόνων σφαγῆς.

Κεφ. ν': μετὰ τῆς ἀσεβείας θυμῷ τοῦ θεοῦ V. ταύτῃ > ταύτης C.
1 ἄρχοντες + προσέχετε A^3. 2 τὸν ἀριθμὸν A^3 praem. πάντα.
5 ἐμεθύσθη A^3 praem. ὅτι. 6 ἀπὸ στέατος prius + ἀπὸ αἵματος τράγων καὶ ἀμνῶν (om. ἀρνῶν) A^3 B.

---

[a] Eph. 6¹². [b] Ps. 8⁹.

κριῶν (ιδ). ὅτι (ιε) θυσία κυρίῳ ἐν
τῇ Βοσὸρ (ις), καὶ σφαγὴ μεγάλη ἐν
7 τῇ Ἰδουμαίᾳ (ιζ), [7] καὶ συμπεσοῦνται
οἱ ἁδροὶ (ιη) μετ᾽ αὐτῶν καὶ οἱ κριοὶ
καὶ οἱ ταῦροι, καὶ μεθυσθήσεται ἡ
γῆ ἀπὸ τοῦ αἵματος, καὶ ἀπὸ τοῦ
στέατος αὐτῶν ἐμπλησθήσεται (ιθ).
8 [8] ἡμέρα γὰρ κρίσεως κυρίου (κ),
καὶ ἐνιαυτὸς ἀνταποδόσεως (κα)
9 κρίσεως Σιών. [9] καὶ στραφήσονται
αὐτῆς αἱ φάραγγες εἰς πίσσαν (κβ),
καὶ ἡ γῆ αὐτῆς εἰς θεῖον· καὶ ἔσται
αὐτῆς ἡ γῆ καιομένη ὡς πίσσα
10 [10] νυκτὸς καὶ ἡμέρας, καὶ οὐ σβεσ-
θήσεται εἰς τὸν αἰῶνα χρόνον (κγ),
καὶ ἀναβήσεται (κδ) ὁ καπνὸς αὐτῆς
11 ἄνω . . . [11] καὶ κατοικήσουσιν ἐν αὐτῇ
ὄρνεα καὶ ἐχῖνοι καὶ ἴβεις καὶ κόρα-
κες (κε)· καὶ ἐπιβληθήσεται ἐπ᾽ αὐτὴν
σπαρτίον γεωμετρίας ἐρήμου (κς),
καὶ ὀνοκένταυροι (κζ) οἰκήσουσιν ἐν
12 αὐτῇ. [12] οἱ ἄρχοντες αὐτῆς οὐκ
ἔσονται (κη)· οἱ γὰρ βασιλεῖς (κθ)

(ιδ) ἱδρύνθη ἐν τῇ ἀναιρέσει τῶν διαβολικῶν ποιμνίων.

(ιε) διὰ σταυροῦ.

(ις) ἐν τῇ αὐτοῦ σαρκί· σὰρξ γὰρ Βοσὸρ ἑρμηνεύεται.

(ιζ) ἐπειδὴ ἐν τῇ θυσίᾳ τοῦ Ἰωάννου πᾶν τὸ σύστημα τοῦ διαβόλου σφάζεται.

(ιη) οἱ κακῶς εὐθηνούμενοι, οἱ τῷ διαβόλῳ διὰ τῆς ἀσεβείας ὥσπερ κτήνη θυόμενοι.

(ιθ) οἱ τὰ γήϊνα φρονοῦντες τῆς τῶν δαιμόνων διαφθορᾶς εἰς κόρον κοινωνήσουσιν.

(κ) ἡ τοῦ σταυροῦ· ἐν αὐτῇ γὰρ ἔκρινε τὸν διάβολον.

(κα) ἐν ᾧ Χριστὸς ἐκήρυξε· τότε γὰρ τῆς ἀρχαίας Σιὼν τὴν κακίαν ἐλέγξας ἀπειλὴν ἀνταπέδωκεν.

(κβ) ἐμιμήσαντο γὰρ τὴν τῶν Σοδόμων ἀπώλειαν.

(κγ) οὐδὲ γὰρ ἕξει τὰ κακὰ πέρας ἅπερ αὐτοῖς παρὰ Χριστοῦ ἠπείληται.[a]

(κδ) πλεονάσει.

(κε) τὰ ἁρπατικὰ καὶ δολερὰ πνεύματα.

(κς) τουτέστιν εἰς κατοικίαν τῶν θηρῶν τῶν τὴν ἔρημον οἰκούντων μερισθήσεται.

(κζ) δαίμονες διφυῆ κακίαν μετερχόμενοι.

(κη) γραμματεῖς καὶ Φαρισαῖοι διαφθαρήσονται.

(κθ) οἱ ἀπόστολοι.

6 κυρίῳ A³ praem. τῷ. 8 ἀνταποδώσεως A. 11 κατοικήσουσιν BS. κατοικήσονται A. 12 βασιλεῖς + αὐτῆς καὶ οἱ ἄρχοντες αὐτῆς A. ἄρχοντες A³ praem. πάντες.

[a] Marc. 9 42 sqq. et al.

καὶ οἱ μεγιστᾶνες αὐτῆς (λ) ἔσονται
13 εἰς ἀπώλειαν. [13] καὶ ἀναφύσει εἰς
τὰς πόλεις αὐτῶν ἄκανθα (λα)
καὶ εἰς τὰ ὀχυρώματα αὐτῆς (λβ),
καὶ ἔσται ἐπαύλεις σειρήνων (λγ)
14 καὶ αὐλὴ στρουθῶν (λδ)· [14] καὶ
συναντήσουσι δαιμόνια ὀνοκενταύ-
ροις (λε), καὶ βοήσονται ἕτερος
πρὸς τὸν ἕτερον (λϛ), ἐκεῖ ἀναπαύ-
15 σονται (λζ) ὀνοκένταυροι, . . . [15] ἐκεῖ
ἐνόσσευσεν ἐχῖνος (λη), καὶ ἔσωσεν
ἡ γῆ τὰ παιδία αὐτῆς μετὰ ἀσφα-
λείας (λθ)· ἐκεῖ ἔλαφοι (μ) συν-
ήντησαν καὶ εἶδον τὰ πρόσωπα
16 ἀλλήλων· [16] ἀριθμῷ (μα) παρῆλθον,
καὶ μία αὐτῶν οὐκ ἀπώλετο (μβ),
ἑτέρα τὴν ἑτέραν οὐκ ἐξεζήτη-
σαν (μγ), ὅτι κύριος ἐνετείλατο
αὐτοῖς (μδ), καὶ τὸ πνεῦμα αὐτοῦ
17 συνήγαγεν αὐτούς (με). [17] καὶ αὐτὸς
ἐπιβαλεῖ αὐτοῖς κλήρους (μϛ), καὶ
ἡ χεὶρ αὐτοῦ διεμέρισε βόσκε-
σθαι (μζ)· εἰς τὸν αἰῶνα χρόνον
κληρονομήσατε (μη), εἰς γενεὰς
γενεῶν ἀναπαύσονται ἐπ' αὐτῆς.

(λ) τῆς συναγωγῆς οἱ πρόεδροι.

(λα) βίοι πονηροὶ βλαστήσουσιν εἰς τὰ τῆς Ἰουδαϊκῆς πολιτείας συστήματα. f. 103v

(λβ) εἰς τὰς παρατηρήσεις αἷς ὠχυρῶσθαι ἐνόμιζον.

(λγ) γοερῶν δαιμόνων.

(λδ) ἀγαπώντων τὰ γήϊνα· ἡ πτῆσις γὰρ ἡ τῶν λεγομένων στρουθοκαμήλων ἐπίγειος.

(λε) τοῖς διφυῆ κακίαν ἀσκουμένοις.

(λϛ) ἀλλήλοις ἀρεσκόμενοι.

(λζ) τῇ γὰρ ὑποκρίσει τῶν Ἰουδαίων ἀρέσκονται.

(λη) ὁ δολερός.

(λθ) τὰ τεχθέντα διὰ βαπτίσματος· ἀπὸ γὰρ τῆς ἀρχαίας Ἱερουσαλὴμ εἰς τὰ ἔθνη τὸν λόγον καὶ τὴν νέαν Ἱερουσαλὴμ μετήγαγεν.

(μ) οἱ εἰς τὸ ὕδωρ τοῦ βαπτίσματος σπεύδοντες.

(μα) κατὰ τάξιν.

(μβ) ἐπειδὴ παρὰ θεοῦ φυλάττονται.

(μγ) ὑπὸ θεοῦ γὰρ ὁδηγεῖται.

(μδ) ὁ Χριστὸς τὴν ὁδὸν τῆς ζωῆς.

(με) ἐκ τῆς διασπορᾶς ἣν ἐν τῇ ἀσεβείᾳ διασπαρέντες ἦσαν.

(μϛ) ἀξίας καὶ πολιτείας.

(μζ) τὰ παρ' αὐτοῦ σφαγιζόμενα ποίμνια.

(μη) τουτέστι διηνεκῶς κληρονομηθήσεται· οὐδὲ γάρ ἐστιν ἡ κληρονομία τῆς ἐκκλησίας πρόσκαιρος.

---

13 εἰς τὰ ὀχυρώματα A^3 **praem.** μνίδες καὶ ἄκανοι. 16 αὐτούς **Hes. quia in** (με) διασπαρέντες! αὐτάς **AS.** αὐτά **B.**

35^{1-10}. Κεφ. να'.

Εὐαγγελισμὸς τοῦ τῆς ἐκκλησίας ἄνθους καὶ τῶν θαυμάτων ἃ σαρκωθεὶς ὁ Χριστὸς ἐπεδείξατο καὶ τῶν ἀγαθῶν τῆς δωρεᾶς τοῦ βαπτίσματος.

35 1 Εὐφράνθητι ἔρημος ἡ διψῶσα (α),
ἀγαλλιάσθω ἔρημος καὶ ἀνθείτω
2 ὡς κρίνον (β), [2] καὶ ἐξανθήσει καὶ
ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορ-
δάνου (γ)· καὶ ἡ δόξα τοῦ Λιβάνου
ἐδόθη αὐτῇ καὶ ἡ τιμὴ τοῦ Καρ-
μήλου (δ), καὶ ὁ λαός μου ὄψεται
τὴν δόξαν (ε) κυρίου καὶ τὸ ὕψος (ϛ)
3 τοῦ θεοῦ. [3] ἰσχύσατε χεῖρες (ζ)
4 ἀνειμέναι (η) . . . [4] παρακαλέ-
σατε (θ) οἱ ὀλιγόψυχοι (ι) τῇ
διανοίᾳ, ἰσχύσατε, μὴ φοβεῖσθε (ια)·
ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν (ιβ) ἀντ-
αποδίδωσι καὶ ἀνταποδώσει (ιγ),
αὐτὸς (ιδ) ἥξει καὶ σώσει ἡμᾶς.
5 [5] τότε (ιε) ἀνοιχθήσονται ὀφθαλμοὶ
6 τυφλῶν . . . [6] . . . καὶ τρανὴ ἔσται
γλῶσσα μογιλάλων, ὅτι ἐρράγη ἐν
τῇ ἐρήμῳ ὕδωρ (ιϛ) καὶ φάραγξ ἐν
7 γῇ διψώσῃ, [7] καὶ ἡ ἄνυδρος ἔσται
εἰς ἕλη (ιζ) καὶ εἰς τὴν διψῶσαν

(α) ἡ ἐκκλησία· οὐδὲ γὰρ γεώργιον νομικὸν οὐδὲ πηγὴν προφητικὴν ἐκέκτητο.
(β) ἐν ἁγνείᾳ καὶ λαμπρότητι.
(γ) οἱ χῶροι τοῦ βαπτίσματος· ἐν ἐρήμῳ γὰρ ὁ Ἰορδάνης ἔκειτο.
(δ) τῇ γὰρ ἐκκλησίᾳ τῶν ἐθνῶν ἡ δόξα καὶ ἡ τιμὴ τῶν προφητῶν δέδοται.
(ε) τὴν ἀνάστασιν.
(ϛ) τὴν ἀνάληψιν.
(ζ) τῇ πίστει αἱ μηδὲν πρώην ἀγαθὸν ἐργαζόμεναι.
(η) παρειμέναι.
(θ) κρατύνατε. f. 104
(ι) οἱ ὀλιγόπιστοι.
(ια) θεὸς γὰρ ὑμᾶς ὁ ἰσχῦσαι κελεύων διὰ πίστεως.
(ιβ) κατάκρισιν.
(ιγ) τοῖς δαίμοσιν ἀνθ' ὧν τὸν Ἀδὰμ καταχριθῆναι ἐποίησαν.
(ιδ) ὁ Χριστὸς διὰ σαρκός.
(ιε) ἐν τῇ παρουσίᾳ Χριστοῦ.
(ιϛ) ἐν τῇ ἐκκλησίᾳ τὸ ὕδωρ τῆς πλευρᾶς ἣν ἡ λόγχη ὥσπερ φάραγγα ἔρρηξεν.[a]
(ιζ) εἰς χώρας ποτιζομένας ὕδατι.

Κεφ. να': τοῦ prius om. V. ἐπεδείξατο > ἐπεδέξατο O; ἐδέξατο Migne. 2 ἐξανθήσει + καὶ ὁλοχαρήσει A[3]. 4 παρακαλέσατε + εἴπατε A[3]. ἀνταποδίδωσι > ἀνταποδώσει A.

---

[a] Io. 19[34].

γῆν πηγὴ ὕδατος· ἐκεῖ εὐφροσύνη
ὄρνεων (ιη), ἐπαύλεις ποιμνίων (ιθ)
8 καὶ ἕλη. [8] ἐκεῖ ἔσται ὁδὸς καθαρὰ (κ)
. . . καὶ οὐ μὴ παρέλθῃ ἐκεῖ
ἀκάθαρτος (κα), οὐδὲ ἐκεῖ ἔσται ὁδὸς
ἀκάθαρτος (κβ)· οἱ δὲ διεσπαρ-
μένοι (κγ) πορεύσονται ἐπ' αὐτῆς
9 καὶ οὐ μὴ πλανηθῶσιν. [9] καὶ οὐκ
ἔσται ἐκεῖ λέων (κδ) οὐδὲ τῶν
θηρίων τῶν πονηρῶν (κε) οὐ μὴ
ἀναβῇ ἐπ' αὐτὴν (κς) οὐδὲ μὴ
εὑρεθῇ ἐκεῖ, ἀλλὰ πορεύσονται
10 ἐν αὐτῇ λελυτρωμένοι [10] καὶ συν-
ηγμένοι διὰ κύριον, ἀποστραφήσονται
καὶ ἥξουσιν εἰς Σιὼν (κζ) μετ'
εὐφροσύνης, καὶ εὐφροσύνη αἰώνιος
ὑπὲρ κεφαλῆς αὐτῶν (κη)· ἐπὶ
γὰρ κεφαλῆς αὐτῶν αἴνεσις (κθ) καὶ
ἀγαλλίαμα (λ), καὶ εὐφροσύνη (λα)
καταλήψεται αὐτούς, ἀπέδρα ὀδύνη
καὶ λύπη καὶ στεναγμός (λβ).

(ιη) τῶν εἰς οὐρανὸν σπευδόντων.
(ιθ) λογικῶν.
(κ) ἡ εἰς ζωὴν ἀπάγουσα, ἐπεὶ πάσης ἀσεβείας κεκάθαρται.
(κα) ἐπιμένων τῇ σκιᾷ.
(κβ) οὐ δόλον ἢ ὑπόκρισιν ἔχουσα.
(κγ) οἱ πρότερον ὑπὸ δαιμόνων σκορπισθέντες, παρὰ Χριστοῦ δὲ συναχθέντες ὕστερον.
(κδ) ὁ διάβολος.
(κε) τῶν δαιμόνων.
(κς) κἂν γὰρ προσέλθωσι, ναυάγιον ὡς ὁ Φαραὼ πάσχουσιν.
(κζ) ἀπὸ γὰρ τοῦ βαπτίσματος εἰς τὴν τράπεζαν τῆς Σιὼν τὴν μυστικὴν παραγίνονται.
(κη) τὸ τοῦ πνεύματος ἄλειμμα.
(κθ) ἡ δοξολογία τοῦ πατρός.
(λ) ἡ χάρις τοῦ Χριστοῦ.
(λα) ἡ μετουσία τοῦ πνεύματος.
(λβ) ταῦτα γὰρ πάντα ἡ παρακοὴ ἐγεώργησεν, ἀλλ' ἡ χάρις κατ-ήργησεν.

36^{1}—37^{38}. Κεφ. νβ'.

Διήγησις οἷα Ῥαψάκης τῇ Ἱερουσαλὴμ παρὰ τοῦ Σενναχηρεὶμ ἀποσταλεὶς ἠπείλησε· καὶ ὅπως τὴν ἀπειλὴν Ἐζεκίας μαθὼν πρὸς Ἡσαΐαν τοὺς ὑπὲρ αὐτῆς δεηθῆναι παρακαλοῦντας ἔπεμψεν· ὁ δὲ ἀσφάλειαν παρὰ θεοῦ τῇ πόλει, ἀποστροφὴν δὲ τοῦ Σενναχηρεὶμ εἰς τὴν χώραν τὴν οἰκείαν ἐμήνυσεν.

36 1 Καὶ ἐγένετο τοῦ τεσσαρεσ-
καιδεκάτου ἔτους βασιλεύοντος
2 Ἐζεκίου . . . [2] καὶ ἀπέστειλε βασιλεὺς
Ἀσσυρίων Ῥαψάκην ἐκ Λαχὶς (α)

(α) πόλις ἦν αὕτη τῆς Ἰουδαίας, κώμη δὲ νῦν ἐν ὁρίοις πόλεως γείτονος τῆς Ἱερουσαλὴμ ἣν Ἐλευθερόπολίν φασιν. f. 101ᵛ

7 ποιμνίων S Hes. (vide ιθ); AB pon. pro eo χαλάμου. Κεφ. νβ': Σεναχερεὶμ O, Σενναχιρεὶμ C, Σεναχειρεὶμ et Σεναχειρὶμ Migne, Σεναχηρεὶμ V Hes. (vide infra ιθ. κ. κζ). οἰκείαν > ἰδίαν V. 2 Ῥαψάκην A^{3} praem. τόν. Λαχὶς sic Hes. v. infra (α), Λάχεις AS, Λάχης B.

εἰς Ἱερουσαλὴμ πρὸς τὸν βασιλέα
Ἐζεκίαν μετὰ δυνάμεως πολλῆς,
καὶ ἔστη ἐν τῷ ὑδραγωγῷ (β) τῆς
κολυμβήθρας τῆς ἄνω ἐν τῇ ὁδῷ
6 τοῦ ἀγροῦ τοῦ κναφέως . . . [6] ἰδοὺ
πεποιθὼς εἶ ἐπὶ τὴν ῥάβδον τὴν
καλαμίνην τὴν τεθλασμένην ταύτην
8 ἐπ' Αἴγυπτον (γ)· . . . [8] νῦν
μίχθητε (δ) τῷ κυρίῳ μου βασιλεῖ
9 Ἀσσυρίων . . . [9] καὶ πῶς δύνασθε
ἀποστρέψαι τὸ πρόσωπον τῶν τοπ-
αρχῶν (ε); οἰκέται εἰσὶν (ϛ) οἱ
πεποιθότες ἐπ' Αἰγυπτίοις, εἰς ἵππον
10 καὶ ἀναβάτην. [10] καὶ νῦν μὴ ἄνευ
κυρίου (ζ) ἀνέβημεν ἐπὶ τὴν χώραν
11 ταύτην πολεμῆσαι αὐτήν; [11] καὶ
εἶπε πρὸς αὐτὸν Ἐλιακεὶμ . . . καὶ
μὴ λάλει πρὸς ἡμᾶς Ἰουδαϊστί (η)·
12 . . . [12] καὶ εἶπε πρὸς αὐτοὺς Ῥαψάκης
. . . οὐχὶ πρὸς τοὺς ἄνδρας τοὺς
καθημένους ἐπὶ τῷ τείχει, ἵνα
13 φάγωσι κόπρον (θ) . . . [13] καὶ ἔστη
Ῥαψάκης καὶ ἐβόησε φωνῇ μεγάλῃ
16 Ἰουδαϊστὶ (ι) . . . [16] . . . Εἰ βούλεσθε
εὐλογηθῆναι (ια), ἐκπορεύεσθε πρὸς
19 μὲ . . . [19] ποῦ ἔστιν ὁ θεὸς Αἰμὰρ
καὶ Ἀρφὰθ (ιβ); καὶ ὁ θεὸς τῆς
22 πόλεως Σεπφαρείμ (ιγ); . . . [22] καὶ
εἰσῆλθεν Ἐλιακεὶμ . . . πρὸς Ἐζεκίαν
ἐσχισμένοι τοὺς χιτῶνας (ιδ) . . .

(β) τόπος οὗτος πρὸ τοῦ τείχους Ἱερουσαλὴμ, ἔτι καὶ νῦν τοῖς κατοικοῦσι γνώριμος.

(γ) ἦσαν γὰρ ἐξ Αἰγύπτου συμμάχους Ἰουδαῖοι μισθωσάμενοι.

(δ) τουτέστιν εἰς μάχην συμπλάκητε. f. 105

(ε) ὑποστῆναι τουτέστι διαφυγεῖν τὸ πρόσωπον τῶν τοπαρχῶν.

(ϛ) οἰκέται εἰσὶ τουτέστι δούλων ἔχουσιν, οὐκ ἐλευθέρων φρόνημα.

(ζ) τὸν θεὸν λέγει· τούτοις γὰρ τοῖς στοιχείοις οἷς γράφουσιν Ἑβραῖοι τὸν θεὸν, ἡ λέξις τῶν προφητῶν γέγραπται· αἰνίττεται τοίνυν ὡς ὀργισθέντος τοῖς Ἰουδαίοις θεοῦ καὶ τὸν Ἀσσύριον κατ' αὐτῶν διεγείραντος.

(η) Ἑβραϊστί.

(θ) ὑπὸ τῆς πολιορκίας στενοχωρούμενοι.

(ι) τῇ τῶν Ἰουδαίων γλώττῃ.

(ια) εὖ πρᾶξαι. f. 105 v

(ιβ) τουτέστιν ὁ θεὸς Δαμασκοῦ· ποταμοὶ γὰρ οὗτοι Δαμασκοῦ τυγχάνουσιν.

(ιγ) τῆς Σαμαρείας· πόλις γὰρ αὕτη τῆς ποτε Γαλιλαίας, — καλοῦσι δὲ νῦν αὐτὴν Διοκαισάρειαν —, ἀλλ' ὑπὸ τὴν βασιλείαν ἐτέλει τῆς Σαμαρείας· τῶν γὰρ δέκα σκήπτρων τοῦ Ἰσραὴλ ἐβασίλευσεν.

(ιδ) οὕτω γὰρ τοῖς Ἰουδαίοις ἔθνος, f. 106
ἡνίκα τινὸς εἰς τὸν θεὸν βλασφημοῦντος ἤκουον.

---

2 γναφέως pro κναφέως A. 8 νῦν μίχθητε A^3 praem. καὶ et add. δή. βασιλεῖ A^3 B praem. τῷ. 9 τὸ πρόσωπον τοπάρχου ἑνός A + τῶν δούλων A^3; εἰς πρόσωπον τῶν τοπαρχῶν B. 10 A^3 B add. in fine κύριος εἶπε — διάφθειρον αὐτήν. 12 κόπρον A^3 praem. τήν.

(ϛ) τουτέστιν οἰκέται εἰσὶ sic F.

37 3 . . . [3] . . . Τάδε λέγει Ἐζεκίας
Ἡμέρα θλίψεως . . . ὅτι ἥκει ἡ
ὠδὶν τῇ τικτούσῃ (ιε), ἰσχὺν δὲ οὐκ
4 ἔχει τοῦ τεκεῖν (ις). [4] . . . καὶ
δεηθήσῃ πρὸς κύριόν σου περὶ τῶν
καταλελειμμένων τούτων (ιζ) . . .
7 [7] ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς αὐτὸν
πνεῦμα (ιη), καὶ ἀκούσας ἀγγελίαν
ἀποστραφήσεται εἰς τὴν χώραν αὐτοῦ
8 . . . [8] . . . καὶ ἤκουσε βασιλεὺς
9 Ἀσσυρίων (ιθ), ὅτι [9] ἐξῆλθε Θαρακὰ
βασιλεὺς Αἰθιόπων πολιορκῆσαι αὐτόν·
καὶ ἀκούσας ἀπέστρεψε (κ) . . .
11 [11] ἢ σὺ οὐκ ἤκουσας ἃ ἐποίησαν
13 βασιλεῖς Ἀσσυρίων (κα) . . . [13] ποῦ
εἰσὶν οἱ βασιλεῖς Ἀμὰρ καὶ Ἀρφὰθ
καὶ πόλεως Σεπφαρεὶμ, Αἰνὰ καὶ
14 Γαυά (κβ); [14] καὶ ἔλαβεν Ἐζεκίας
τὸ βιβλίον (κγ) παρὰ τῶν ἀγγέ-
17 λων (κδ) . . . [17] εἰσάκουσον
κύριε (κε), ἄνοιξον κύριε τοὺς
22 ὀφθαλμούς σου (κς) . . . [22] οὗτος
ὁ λόγος ὃν ἐλάλησε περὶ αὐτοῦ ὁ
θεὸς Ἐφαύλισέ σε καὶ ἐμυκτήρισέ
σε παρθένος θυγάτηρ Σιὼν (κζ),
ἐπὶ σοὶ κεφαλὴν ἐκίνησε θυγάτηρ
23 Ἱερουσαλήμ. [23] . . . καὶ οὐκ ἦρας
εἰς ὕψος τοὺς ὀφθαλμούς σου εἰς
24 τὸν ἅγιον τοῦ Ἰσραήλ (κη); [24] ὅτι

(ιε) τουτέστιν ἤκμαζε τῆς Ἱερουσαλὴμ ἡ λύπη.

(ις) τουτέστιν ἀπαλλαγῆναι οὐ δύναται.

(ιζ) πολλοὶ γὰρ ἤδη τῶν Ἰουδαίων ὑπὸ τῆς ἐφόδου τῶν Ἀσσυρίων διαφθαρέντες ἐτύγχανον.

(ιη) τουτέστιν ἐπιπέμπω αὐτῷ πνεῦμα· φόβον αὐτῷ διὰ μνήμης ἐμποιεῖ ἥτις ἐξ αὐτοῦ τοῦ πνεύματος διὰ γλώττης ἀνθρωπίνης φημίζεται· πνεῦμα δὲ νῦν λειτουργικῆς λέγει δυνάμεως, τουτέστιν ἀγγελικῆς.

(ιθ) ὁ Σεναχηρείμ. f. 106v

(κ) τουτέστιν ἤκουσε Σεναχηρεὶμ τὴν τοῦ βασιλέως Αἰθιόπων ἐπιστράτευσιν καὶ διὰ τοῦτο ἀπὸ Λαχὶς εἰς τὴν οἰκείαν γῆν ἀνέστρεψεν.

(κα) τουτέστι πάντα.

(κβ) βασιλέων ὀνόματα.

(κγ) τὴν ἐπιστολήν.

(κδ) παρὰ τῶν ἀποσταλέντων ἀπήγγελται.

(κε) τουτέστι συγκατάβηθι τῇ προσ- f. 107
ευχῇ.

(κς) τουτέστι μὴ παρίδῃς.

(κζ) ταῦτα εἰ καὶ περὶ τοῦ Σεναχηρεὶμ φαυλίσαντος τὴν Ἱερουσαλὴμ κατὰ τὸ γράμμα λέγεται, ἀλλ' ὅμως περὶ τοῦ διαβόλου τοῦ τὴν ἐκκλησίαν φαυλίσαι τὴν ὄντως παρθένον τολμήσαντος ἐνοήθη τῷ προφητικῷ πνεύματι.

(κη) τουτέστιν οὐκ ἐλογίσω τοῦ θεοῦ τὸ ὕψος ὅσον ὅλης ἐστὶ τῆς κτίσεως ὑψηλότερος.

---

4 καὶ δεηθήσῃ πρὸς κύριόν σου A^3 B Hes. 7 ἐμβάλλω B Hes. (vide ιη: ἐπιπέμπω), ἐμβαλῶ A. 8 post ὅτι in fine + ἀπῆρεν ἀπὸ Λαχίς A^3 B; om. AS; vide (κ). 9 ἐξῆλθεν A^3 B praem. καὶ (om. AS). Θαρακὰ > Θαραθὰ A.
11 σὺ A^3 B. 13 πόλεως A^3 praem. βασιλεὺς. Αἰνὰ καὶ Γαυά F Hes. (confer in κβ ὀνόματα!), Ἀναγουγάνα B, Ἀναεγγουγαυά A, Ἀναγουγαυά S.
17 εἰσάκουσον A^3 B praem. κλῖνον κύριε τὸ οὖς σου (om. AS). ἄνοιξον κύριε τοὺς ὀφθαλμούς σου A^3 B Hes. (om. AS).

δι' ἀγγέλων σου (κθ) ὠνείδισας
κύριον· σὺ γὰρ εἶπας Τῷ πλήθει
τῶν ἁρμάτων ἐγὼ ἀνέβην εἰς ὕψος
ὀρέων (λ) καὶ εἰς τὰ ἔσχατα τοῦ
Λιβάνου, καὶ ἔκοψα τὸ ὕψος τῆς
κέδρου αὐτοῦ (λα) καὶ τὸ κάλλος
τῆς κυπαρίσσου, καὶ εἰσῆλθον εἰς
ὕψος μέρους τοῦ δρυμοῦ (λβ),
25 [25] καὶ ἔθηκα γέφυραν (λγ), καὶ
ἠρήμωσα ὕδατα καὶ πᾶσαν συν-
26 αγωγὴν ὕδατος (λδ). [26] οὐ ταῦτα
ἤκουσας πάλαι ἃ ἐγὼ ἐποίησα; ἐξ
ἀρχαίων ἡμερῶν συνέταξα, νῦν δὲ
ἐπέδειξα (λε) ἐξερημῶσαι ἔθνη (λς)
ἐν ὀχυροῖς καὶ ἐνοικοῦντας ἐν
27 πόλεσιν ὀχυραῖς· [27] ἀνῆκα τὰς
χεῖρας, καὶ ἐξηράνθησαν (λζ) . . .
28 [28] νῦν δὲ τὴν ἀνάπαυσίν σου καὶ
τὴν ἔξοδόν σου καὶ τὴν εἴσοδόν σου
29 ἐγὼ ἐπίσταμαι (λη)· [29] ὁ δὲ θυμός
σου ὃν ἐθυμώθης (λθ) καὶ ἡ
πικρία (μ) σου ἀνέβη πρὸς μὲ (μα),
καὶ ἐμβαλῶ φιμὸν εἰς τὴν ῥῖνά σου
καὶ χαλινὸν εἰς τὰ χείλη σου (μβ),
καὶ ἀποστρέψω σε τῇ ὁδῷ ᾗ ἦλθες
30 ἐν αὐτῇ (μγ). [30] τοῦτο δέ σοι (μδ)
τὸ σημεῖον· φάγε τοῦτον τὸν

(κθ) διὰ τῶν δούλων σου.

(λ) διὰ τὸ πλῆθος τῆς ἱππικῆς δυνάμεως καὶ τῶν ὀρῶν ἐκράτησα.

(λα) ταῦτα σαφῶς περὶ τοῦ διαβόλου τοῦ διὰ τῆς εἰδωλολατρίας κατατεμόντος τὰ ἔθνη ὧν ὁ Λίβανος αἴνιγμα.

(λβ) οὐδὲ γὰρ ὅλων τῶν ἐθνῶν f. 107^v
ἐκράτησεν.

(λγ) ἐπειδὴ μεσότοιχον τοῖς ἀνθρώποις πρὸς τὸν θεὸν διὰ τῆς πλάνης ἤγειρεν ὁ διάβολος.

(λδ) ἐπινοήσας ἐν αὐτοῖς εἰδωλικὰ καθάρσια.

(λε) τουτέστιν ἃ πρὸ πολλοῦ ποιῆσαι ἐσκόπησα, νῦν δὲ εἰς ἔργον ἐξήγαγον.

(λς) τὰ τῶν δαιμόνων· πόλεις γὰρ ὀχυρὰς τοὺς εἰδωλικοὺς ναοὺς ἔχειν διὰ τὴν ἐν αὐτοῖς ἀπάτην ἐνόμιζεν ὁ διάβολος.

(λζ) τουτέστιν ἐπαυσάμην τῆς ἐπ' αὐτοῖς μακροθυμίας, καὶ παραχρῆμα ἀπώλοντο.

(λη) τουτέστιν οἶδα τὴν τῆς πονηρίας σου μέθοδον καὶ πρὸς ταύτην ἁρμόττομαι.

(λθ) κατὰ τοῦ ἀνθρώπου.

(μ) ὁ φθόνος.

(μα) τουτέστιν ἐγνώσθη μοι.

(μβ) τουτέστιν οὐκέτι γάρ σοι συγχωρῶ τῶν θυσιῶν ὀσφραίνεσθαι οὐδὲ φθέγγεσθαι βλάσφημα.

(μγ) τῆς ἀλαζονείας.

(μδ) ἀπὸ τοῦ Ἀσσυρίου πρὸς τὸν Ἐζεκίαν τὸν λόγον ὁ προφήτης μετέβαλεν.

---

24 δι' ἀγγέλων add. σου Hes. (vide κθ) cum A^3. κυπαρίσσου + αὐτοῦ A^3. τοῦ δρυμοῦ + τοῦ Καρμήλου A^3. 29 ἐθυμώθης + πρὸς μὲ A^3.

ἐνιαυτὸν ἃ ἔσπαρκας, καὶ τῷ ἐνιαυτῷ
τῷ δευτέρῳ τὸ κατάλειμμα (με)
31 . . . [31] καὶ ἔσονται οἱ καταλελειμ-
μένοι (μϛ) ἐν τῇ Ἰουδαίᾳ, φυήσουσι
ῥίζαν κάτω καὶ ποιήσουσι σπέρμα
32 ἄνω (μζ). [32] ὅτι ἐξ Ἱερουσαλὴμ
ἐξελεύσονται (μη) οἱ καταλελειμ-
33 μένοι . . . [33]. . . Οὐ μὴ εἰσέλθῃ
εἰς τὴν πόλιν ταύτην . . . οὐδ' οὐ
μὴ κυκλώσῃ ἐπ' αὐτὴν χάρακα (μθ)·
34 [34] ἀλλὰ τῇ ὁδῷ ᾗ ἦλθεν ἐν αὐτῇ
ἀποστραφήσεται (ν). τάδε λέγει
35 κύριος [35] Ὑπερασπιῶ ὑπὲρ τῆς
πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν
δι' ἐμὲ καὶ διὰ Δαυὶδ τὸν παῖδά
μου (να) . . .

(με) τουτέστιν εἰ καὶ ὁ ἑξῆς ἐνιαυτὸς θέρος οὐχ ἕξει, ἐπειδὴ νῦν διὰ τὴν πολιορκίαν οὐκ ἔσπειρας, ἀλλὰ τοῦ παρόντος ἐνιαυτοῦ τὰ γενήματα καὶ εἰς τὸ ἔτος ἐναρκέσει τὸ δεύτερον.
(μϛ) διασεσωσμένοι.
(μζ) τουτέστι καὶ ζήσονται καὶ τεκνογονήσουσιν.
(μη) τουτέστι προελεύσονται.
(μθ) πολιορκίας ὀχύρωμα. f. 108
(ν) τουτέστιν ὅθεν ἦλθεν, ἐκεῖ ἀποστραφήσεται.
(να) τουτέστι διὰ τὴν ἐμὴν συμπάθειαν καὶ τὴν τοῦ Δαυὶδ δικαιοσύνην.

38^{1}—39^{8}. Κεφ. νγ'.

Διήγησις τῆς ἀρρωστίας Ἐζεκίου ἐν ᾗ θάνατον μὲν αὐτῷ ὁ προφήτης ἐμήνυσεν, εὐξαμένῳ δὲ ὁ θεὸς χρόνον ζωῆς προσέθηκε· καὶ ᾠδὴ τοῦ αὐτοῦ· καὶ δῶρα ἐκ Περσῶν ἐφ' οἷς αὐτὸς μὲν τοὺς θησαυροὺς τοὺς οἰκείους ἐπέδειξεν, ὁ προφήτης δὲ αὐτῷ τὴν ἐσομένην τῆς Ἱερουσαλὴμ προεφήτευσεν ἅλωσιν.

38 1 Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ,
ἐμαλακίσθη (α) Ἐζεκίας ἕως θανά-
του · . . . Τάξαι (β) περὶ τοῦ
οἴκου σου, ὅτι ἀποθνήσκεις σὺ . . .
5 [5]. . . Τάδε λέγει κύριος ὁ θεὸς
Δαυὶδ τοῦ πατρός σου (γ) Ἤκουσα
τῆς φωνῆς τῆς προσευχῆς σου . . .
7 [7] τοῦτο δέ σοι τὸ σημεῖον παρὰ
κυρίου (δ), ὅτι ὁ θεὸς ποιήσει τὸ

(α) ἠρρώστησεν.
(β) τουτέστι διατύπωσαι.
(γ) τουτέστιν ἐπειδὴ τῆς τοῦ Δαυὶδ συγγενείας ἐφύλαξας τὴν εὐγένειαν, ἡ προσευχή σου δέδεκται. f. 108ᵛ
(δ) περὶ τοῦ υἱοῦ ὁ πατήρ φησιν, ὁ υἱὸς περὶ τοῦ πατρός.

---

33 κυκλώσει pro κυκλώσῃ A. 34 ἀποστραφήσεται + καὶ εἰς τὴν πόλιν ταύτην οὐ μὴ εἰσέλθῃ A³ B (om. AS). Κεφ. νγ': Ἐζεκίου > Ἰεζεκίου O. αὐτῷ prius > αὐτοῦ V. χρόνον > χρόνους C. ἐπέδειξεν > ἐπειδὴ ἔδειξεν CO Migne.

8 ῥῆμα τοῦτο· [8]ἰδοὺ ἐγὼ στρέψω (ε)
τὴν σκιὰν τῶν ἀναβαθμῶν . . .
ἀποστρέψω (ϛ) τὸν ἥλιον τοὺς δέκα
ἀναβαθμούς. . . .
9 [9]Προσευχὴ Ἐζεκίου . . .
10 [10]Ἐγὼ εἶπα ἐν τῷ ὕψει τῶν
ἡμερῶν μου (ζ) Ἐν πύλαις (η) ᾅδου,
καταλείψω τὰ ἔτη τὰ ἐπίλοιπα.
11 [11]εἶπα Οὐκέτι οὐ μὴ ἴδω τὸ σωτήριον
τοῦ θεοῦ ἐπὶ τῆς γῆς (θ), οὐκέτι οὐ
12 μὴ ἴδω ἄνθρωπον [12]ἐκ τῆς συγγε-
νείας μου (ι), κατέλειπον τὸ λοιπὸν
τῆς ζωῆς μου (ια), ἐξῆλθε καὶ
ἀπῆλθεν ἀπ' ἐμοῦ (ιβ) ὥσπερ ὁ
καταλύων σκηνὴν πήξας (ιγ)· τὸ
πνεῦμά μου παρ' ἐμοὶ ἐγένετο ὡς
ἱστὸς ἐρίθου ἐγγιζούσης ἐκτεμεῖν (ιδ).
13 [13]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ (ιε) παρεδόθην
ἕως πρωὶ ὡς λέοντι, οὕτως τὰ
ὀστᾶ μου συνέτριψεν· ἀπὸ γὰρ
τῆς ἡμέρας ἕως τῆς νυκτὸς (ιϛ)
14 παρεδόθην. [14]ὡς χελιδὼν (ιζ) οὕτως
φωνήσω, καὶ ὡς περιστερὰ (ιη)
οὕτως μελετήσω· ἐξέλειπον γάρ
μου οἱ ὀφθαλμοὶ τοῦ βλέπειν εἰς
τὸ ὕψος τοῦ οὐρανοῦ πρὸς τὸν
κύριον ὃς ἐξείλατό με καὶ ἀφείλατό
μου τὴν ὀδύνην τῆς ψυχῆς (ιθ).
16 [16]κύριε, περὶ αὐτῆς γὰρ ἀνηγγέλη
σοι (κ), καὶ ἐξήγειράς μου τὴν
πνοήν, καὶ παρακληθεὶς ἔζησα (κα).
17 [17]εἵλου (κβ) γάρ μου τὴν ψυχήν,

(ε) ἀναστρέψαι ποιῶ.
(ϛ) ἀπὸ δυσμῶν εἰς ἀνατολάς.
(ζ) ἐν τῷ προβῆναι τὰς ἡμέρας μου.
(η) εἰς πύλας.
(θ) τὴν ἐν σαρκὶ σωτηρίαν ἧς ἀπο- f. 109
λαύουσι παρὰ θεοῦ ἐπὶ τῆς γῆς
οἱ ἄνθρωποι.
(ι) τὸν βίον τὸν ἀνθρώπινον, τουτ-
έστιν ἀφῆκά μου τὴν συγγένειαν.
(ια) ἀγόμενος εἰς τὸν θάνατον.
(ιβ) ἡ ψυχή μου ἐκ τοῦ σώματος.
(ιγ) τουτέστιν ὡς ὁ σκηνὴν πήξας
καὶ παραχρῆμα καταλύσας.
(ιδ) τουτέστιν ἠπείχθη ἡ ζωή μου
πρὸς ἐκτομήν, ὥσπερ αἱ μισθῷ
ἱστουργοῦσαι καὶ ἐκτεμεῖν τὸν
ἱστὸν ἐπειγόμεναι.
(ιε) καθ' ἣν ἡ νόσος ἤκμαζεν.
(ιϛ) τουτέστι παννύχιον καὶ παν-
ημέριον.
(ιζ) ἡ γὰρ χελιδὼν μετὰ τὸν χει-
μῶνα κἀγὼ μετὰ τὸ ἀρρώστημα.
(ιη) τουτέστιν ἐπὶ τεκνογονίᾳ· συνεχῆ
γὰρ ἡ περιστερὰ τεκνογονοῦσα
φθέγγεται.
(ιθ) εἰς δόξαν ἑαυτοῦ.
(κ) ἡνίκα σοι τὴν ὀδύνην ἀνήγγειλα
τῆς ψυχῆς προσευχόμενος.
(κα) διὰ τῆς σῆς ὑποσχέσεως.
(κβ) ἐξείλου.

8 στρέφω pro στρέψω A. ἀποστρέψω + εἰς τὰ ὀπίσω A^3. 9 Προσευχὴ praem. Ὠιδή A. 10 Ἐν πύλαις A^3 praem. πορεύσομαι. 11 γῆς + ζώντων A^3 B. 12 ἐκ τῆς A^3 praem. ἐξέλειπεν. ἐρίθου > ἐρίζου A. 13 τὰ ὀστᾶ A^3 B praem. πάντα. inter vers. 14 et 16: καὶ αὐτὸς ἐποίησε καθοδήγησιν πάντας ἐνιαυτούς μου A^3, quod Hes. cum ABS om., quia secundum (κ) illud περὶ αὐτῆς vers. 16 immediate ad τὴν ὀδύνην vers. 14 refert. 16 ἔζησα + ἰδοὺ εἰς εἰρήνην πικρία σου A^3.

ἵνα μὴ ἀπόληται, καὶ ἀπέρριψας
ὀπίσω μου πάσας τὰς ἁμαρτίας
18 μου (κγ). [18] οὐ γὰρ οἱ ἐν ᾅδου
αἰνέσουσί σε (κδ), οὐδὲ οἱ ἀποθανόντες
εὐλογήσουσί σε (κε), οὐδὲ ἐλπιοῦσιν
οἱ ἐν ᾅδου τὴν ἐλεημοσύνην σου (κϛ),
19 [19]. . . ἀπὸ γὰρ τῆς σήμερον παιδία
ποιήσω (κζ) ἃ ἀναγγελοῦσι τὴν
20 δικαιοσύνην σου, [20] κύριε τῆς σωτηρίας
μου, καὶ οὐ παύσομαι εὐλογῶν σε
μετὰ ψαλτηρίου πάσας τὰς ἡμέρας
τῆς ζωῆς μου, κατέναντι τοῦ οἴκου
22 τοῦ θεοῦ (κη) . . . [22]. . . Τοῦτο τὸ
σημεῖον, ὅτι ἀναβήσομαι εἰς τὸν
οἶκον τοῦ θεοῦ (κθ).
39 2 . . . [2] καὶ ἐχάρη ἐπ' αὐτοῖς
Ἐζεκίας χαρὰν μεγάλην καὶ
ἔδειξεν αὐτοῖς τὸν οἶκον . . . τῶν
θυμιαμάτων (λ) . . . καὶ πάντας τοὺς
οἴκους τῶν σκευῶν τῆς γάζης (λα)
7 . . . [7] ὅτι καὶ ἀπὸ τῶν τέκνων σου
ὧν ἐγέννησας λήψονται καὶ ποιήσουσι
σπάδοντας (λβ) ἐν τῷ οἴκῳ τοῦ
8 βασιλέως τῶν Βαβυλωνίων. [8] καὶ
εἶπεν Ἐζεκίας πρὸς Ἡσαΐαν Ἀγαθὸς
ὁ λόγος κυρίου (λγ) ὃν ἐλάλησε,
γενέσθω δὴ εἰρήνη καὶ δικαιοσύνη
ἐν ταῖς ἡμέραις μου (λδ).

(κγ) τουτέστι λήθην αὐτῶν πεποίησαι.

(κδ) τὸν ἐπὶ μετανοίᾳ ὕμνον.

(κε) εὐλογίαν ἐξομολογήσεως.

(κϛ) τὴν τῶν ἁμαρτημάτων συγχώρησιν· ἐνταῦθα γὰρ αὐτῆς διὰ μετανοίας ἡ κατόρθωσις.

(κζ) κυρίως τὰς ἀρετάς· ἐν αὐταῖς γὰρ ἡ δικαιοσύνη τοῦ θεοῦ καὶ ἡ τῶν πιστῶν τεκνογονία.

(κη) τοῦ οὐρανοῦ· χρὴ γὰρ τὸν f. 109v
ὑμνοῦντα θεὸν ἔχειν οὐράνιον φρόνημα.

(κθ) τουτέστιν ἐνισχύσω εἰς τὸν οὐρανὸν ἀναβῆναι, ἀληθῆ γνώσομαι τοῦ προφήτου τὰ ῥήματα.

(λ) τῶν θυμιαμάτων λέγει τοίνυν τὰ ἐκ τῶν δένδρων ὡς ὁ στύραξ καὶ τὸ βάλσαμον στάζοντα.

(λα) τουτέστι τοῦ πλούτου· οὕτω γὰρ Ῥωμαῖοι τὸν πλοῦτον λέγουσιν.

(λβ) εὐνούχους. f. 110

(λγ) τουτέστιν ἀγαθαὶ τοῦ θεοῦ καὶ αἱ παιδεῖαι τυγχάνουσιν.

(λδ) τουτέστι μήτε πόλεμος ἐξ ἐχθρῶν, μήτε ἀδικία ἐν τοῖς ὑπηκόοις, μήτε δὲ ἐν ἐμοὶ γένηται.

40[1—26]. Κεφ. νδ'.

Ὑπόσχεσις τῷ Ἰσραὴλ ἁμαρτημάτων ἀφέσεως καὶ παρουσίας Χριστοῦ· καὶ εὐαγγελισμὸς ὧν ἐπιδημήσας κατώρθωσε· καὶ αὐτοῦ μὲν δοξολογία, διαβολὴ δὲ τῶν ποιούντων τὰ εἴδωλα.

40 1 Παρακαλεῖτε, παρακαλεῖτε (α)
2 τὸν λαόν μου, λέγει κύριος· [2] ἱερεῖς
λαλήσατε εἰς τὴν καρδίαν Ἱερου-

(α) διπλῆν τὴν παράκλησιν ἀπὸ παλαιᾶς τε καὶ νέας διαθήκης προσενέγκατε.

18 ἐλεημοσύνην σου: in F posterior manus δικαιοσύνην σου superscripsit.

σαλὴμ (β), παρακαλέσατε αὐτήν,
ὅτι ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς·
λέλυται αὐτῆς ἡ ἁμαρτία (γ), ὅτι
ἐδέξατο ἐκ χειρὸς κυρίου διπλᾶ τὰ
3 ἁμαρτήματα αὐτῆς (δ). 3 φωνὴ
βοῶντος ἐν τῇ ἐρήμῳ (ε) Ἑτοιμά-
σατε τὴν ὁδὸν κυρίου (ϛ), εὐθείας
ποιεῖτε τὰς τρίβους (ζ) τοῦ θεοῦ
4 ἡμῶν. 4 πᾶσα φάραγξ πληρωθήσεται,
καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινω-
θήσεται (η)· καὶ ἔσται τὰ σκολιὰ
εἰς εὐθεῖαν (θ) καὶ ἡ τραχεῖα εἰς
5 ὁδοὺς λείας, 5 καὶ ὀφθήσεται ἡ δόξα
κυρίου (ι), καὶ ὄψεται πᾶσα σὰρξ
τὸ σωτήριον τοῦ θεοῦ, ὅτι κύριος
6 ἐλάλησεν (ια). 6 φωνὴ λέγοντος (ιβ)
Βόησον. καὶ εἶπα Τί βοήσω; πᾶσα
σὰρξ χόρτος (ιγ), καὶ πᾶσα δόξα
ἀνθρώπου ὡς ἄνθος χόρτου (ιδ) . . .
8 8 τὸ δὲ ῥῆμα τοῦ θεοῦ ἡμῶν (ιε)
9 μένει εἰς τὸν αἰῶνα. 9 ἐπ' ὄρος
ὑψηλὸν (ιϛ) ἀνάβηθι ὁ εὐαγγελι-
ζόμενος Σιών, ὕψωσον τῇ ἰσχύϊ τὴν
φωνήν σου ὁ εὐαγγελιζόμενος
Ἱερουσαλήμ (ιζ)· ὑψώσατε, μὴ
φοβεῖσθε (ιη)· εἰπὸν ταῖς πόλεσιν
Ἰούδα (ιθ) Ἰδοὺ ὁ θεὸς ὑμῶν,
10 10 ἰδοὺ κύριος μετὰ ἰσχύος (κ)
ἔρχεται, καὶ ὁ βραχίων αὐτοῦ (κα)

(β) ταῦτα λαλοῦντες ἅπερ αὐτῆς διαβῆναι τὴν διάνοιαν δύναται.
(γ) τῇ συγχωρήσει.
(δ) διπλοῦν φησιν ἐπὶ τοῖς ἁμαρτήμασι παρὰ θεοῦ τὸν ἱλασμὸν ἐδέξατο μετὰ τῆς συγχωρήσεως λαβοῦσα καὶ δικαίωσιν.
(ε) Ἰωάννην τὸν βαπτιστὴν αἰνίττεται.[a]
(ϛ) τὴν πρὸς τὸν θεὸν ἄγουσαν.
(ζ) τὰς τῶν ἀρετῶν ἅσπερ ἡμᾶς αὐτὸς ὁδεύειν ἐδίδαξεν.
(η) τουτέστιν ὁμαλισμὸς καὶ ἰσότης τῷ βίῳ γενήσεται.
(θ) διὰ τῆς εὐαγγελικῆς μεταβαλλόμενα χάριτος.
(ι) ἡνίκα σὰρξ ὁ Λόγος ἐγένετο.[b] f. 110v
(ια) τουτέστιν ὅτι αὐτὸς τὴν οἰκείαν προσεμήνυσε σάρκωσιν.
(ιβ) τοῦ θεοῦ πρὸς τὸν προφήτην.
(ιγ) ἐπειδήπερ ἀπὸ γῆς εἰς γῆν ἀναλίσκεται.[c]
(ιδ) ἐπειδήπερ ἐν βραχεῖ μαραίνεται.
(ιε) ὅπερ ἢ τοῖς ἁμαρτωλοῖς ἠπείλησεν ἢ τοῖς δικαίοις ὑπέσχετο.
(ιϛ) τὸν Γολγοθᾶν· ἐξ αὐτοῦ γὰρ τῇ Σιὼν τὰ μυστήρια.
(ιζ) τὸν χορὸν τῶν ἀποστόλων αἰνίττεται· αὐτῷ γὰρ τὸ εὐαγγέλιον δίδοται.
(ιη) τὰς τῶν Ἰουδαίων ἀπειλάς.
(ιθ) ταῖς ἐκκλησίαις τῶν ἐξομολογουμένων.
(κ) ὁ Χριστὸς μετὰ σαρκός· ἐν ταύτῃ γὰρ τὴν οἰκείαν ἐπεδείξατο δύναμιν.
(κα) ὁ τοῦ Χριστοῦ.

10 κύριος dupl. A^3 B. αὐτοῦ post βραχίων Hes. cum A^3.

[a] Marc. 1^{3sq}. [b] Io. 1^{14}. [c] Gen. 3^{19}.

μετὰ κυρίας (κβ)· ἰδοὺ ὁ μισθὸς
αὐτοῦ μετ' αὐτοῦ, καὶ τὸ ἔργον (κγ)
11 ἐναντίον αὐτοῦ. [11] ὡς ποιμὴν ποιμανεῖ
τὸ ποίμνιον αὐτοῦ, καὶ τῷ βραχίονι
αὐτοῦ (κδ) συνάξει ἄρνας καὶ ἐν
γαστρὶ ἐχούσας (κε) παρακαλέσει.
12 [12] τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ
. . . τίς ἔστησε τὰ ὄρη σταθμῷ καὶ
13 τὰς νάπας ζυγῷ (κϛ); [13] τίς ἔγνω
15 νοῦν κυρίου (κζ) . . . [15] εἰ πάντα
τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου καὶ
ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν, ὡς
σίελον λογισθήσονται (κη); . . .
17 [17] καὶ πάντα τὰ ἔθνη ὡς οὐδέν
εἰσι (κθ), καὶ εἰς οὐδὲν ἐλογίσθησαν.
18 [18] τίνι ὡμοιώσατε κύριον (λ) . . .
19 [19] μὴ εἰκόνα ἐποίησε τέκτων ἢ
χρυσοχόος χωνεύσας χρυσίον περι-
εχρύσωσεν αὐτόν (λα); ὁμοίωμα
20 κατεσκεύασεν αὐτόν; [20] ξύλον γὰρ
ἄσηπτον ἐκλέγεται τέκτων, καὶ
σοφῶς ζητεῖ, πῶς στήσει αὐτοῦ
εἰκόνα, καὶ ἵνα μὴ σαλεύηται (λβ).
21 [21] οὐ γνώσεσθε (λγ); οὐκ ἀκούσεσθε;

(κβ) μετὰ αὐθεντίας· πᾶσαν γὰρ εἶχε τὴν κτίσιν ὑπακούουσαν.

(κγ) ἡ τῶν ἁμαρτωλῶν σωτηρία· ταύτην γὰρ ἦλθεν ἐργάσασθαι, αὐτὴν δὲ καὶ μισθὸν παρὰ τῶν σωζομένων ἐλάμβανεν.

(κδ) εἰς σταυρὸν τὰς χεῖρας ἐκτείνων.

(κε) τὰς τὴν ἀρετὴν ὠδινούσας ψυχάς.

(κϛ) τουτέστι τίς τῶν στοιχείων τὸ ποσὸν καὶ τὸ ποιὸν ἐπίσταται;

(κζ) τὸ ἀκατάληπτον ἐνταῦθα τῆς τοῦ θεοῦ βουλῆς καὶ δυνάμεως ὁ προφήτης παρίστησιν.

(κη) τουτέστι διὰ φιλανθρωπίαν τὴν f. 111
κτίσιν ὁ θεὸς τὴν ὁρωμένην παρήγαγεν οὔτε αὐτὸς χρῄζων οὔτε δὲ ἐλλειποῦς οὔσης τῆς ἄλλης αὐτοῦ κτίσεως· διόπερ τὴν ὧδε κτίσιν σταγόνι κάδου καὶ ῥοπῇ ζυγοῦ καὶ σιέλῳ συνέκρινεν· ἀντ' οὐδενὸς δὲ τούτων ἡ προσθήκη καθέστηκεν.

(κθ) πρὸς τὴν ἄλλην τοῦ θεοῦ δημιουργίαν συγκρινόμενα.

(λ) οὐδενὶ γὰρ τὸ θεῖον ὁμοιωθῆναι δύναται.

(λα) τουτέστι μὴ τοιοῦτος ὁ θεός, οἷα τέκτων καὶ χωνευταὶ τὰ εἴδωλα σχηματίζουσιν.

(λβ) διαβάλλει τοὺς τῶν εἰδώλων χαλκευτάς, ὅτι καὶ ὕλην ἄσηπτον ζητοῦσι καὶ στάσιν μηχανοῦνται ἀσάλευτον, αὐτὰ δὲ σήπεται καὶ σαλεύεται.

(λγ) τὸν τοῦ θεοῦ νόμον.

---

10 τὸ ἔργον + ἑκάστου A[8]. 11 ἄρνας + καὶ ἐν τῷ κόλπῳ αὐτοῦ βαστάσει A[8]. 12 τῇ χειρὶ + αὐτοῦ A[8]. 17 ἐλογίσθησαν + αὐτῷ A[8].

οὐκ ἀνηγγέλη ἐξ ἀρχῆς ὑμῖν (λδ);
οὐκ ἔγνωτε τὰ θεμέλια τῆς γῆς (λε);
22 [22] ὁ κατέχων τὸν γῦρον τῆς γῆς
καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ ὡς
ἀκρίδας (λϛ), ὁ στήσας ὡς καμάραν
τὸν οὐρανὸν καὶ διατείνας ὡς σκηνὴν
23 κατοικεῖν (λζ), [23] ὁ διδοὺς ἄρχοντας
εἰς οὐδὲν (λη) ἄρχειν, τὴν δὲ γῆν
24 ὡς οὐδὲν ἐποίησεν (λθ). [24] οὐ γὰρ
μὴ φυτεύσωσιν οὐδὲ μὴ σπείρωσιν (μ),
οὐδὲ μὴ ῥιζωθῇ εἰς τὴν γῆν ἡ ῥίζα
αὐτῶν· ἔπνευσεν ἐπ' αὐτοὺς (μα),
25 καὶ ἐξηράνθησαν . . . [25] νῦν οὖν τίνι
με ὡμοιώσατε (μβ), καὶ ὑψωθήσομαι;
26 εἶπεν ὁ ἅγιος. [26] ἀναβλέψατε εἰς
τὸ ὕψος (μγ) τοὺς ὀφθαλμοὺς ὑμῶν,
καὶ ἴδετε· τίς κατέδειξε πάντα
ταῦτα; ὁ ἐκφέρων κατὰ ἀριθμὸν (μδ)
τὸν κόσμον αὐτοῦ, πάντα ἐπ'
ὀνόματι (με) καλέσει ἀπὸ τῆς πολλῆς
δόξης, καὶ ἐν κράτει ἰσχύος οὐδέν
σε ἔλαθεν.

(λδ) ἄνωθεν γὰρ «Οὐ ποιήσεις σεαυτῷ εἴδωλα»[a] ὁ θεὸς ἐνετείλατο.

(λε) τουτέστιν οὐκ ἐμάθετε, τίς τὴν γῆν ἐθεμελίωσε; τῷ γὰρ λόγῳ τοῦ θεοῦ ἡ γῆ πᾶσα ἐστήρισται.[b]

(λϛ) πρὸς τὸ τῆς γῆς ἄπειρον συγκρινομένους.

(λζ) τοῖς ἄστροις.

(λη) τουτέστι πρὸς ὀλίγον.

(λθ) ἐλάχιστον γὰρ τῆς ὅλης δημιουργίας τοῦ θεοῦ καθέστηκεν.

(μ) τουτέστιν οὐ μὴ μείνῃ τῆς γῆς ἡ πολιτεία ἐν ᾗ φυτεία καὶ σπόρος, ἀλλὰ ταχέως συντελεσθήσεται.

(μα) ἡ τοῦ θεοῦ ἐνέργεια.

(μβ) τουτέστι τίνι ἶσος ὁ ὑπὲρ f. 111[v]
πάντας ἐσόμενος;

(μγ) εἰς τὰ κάλλη τὰ οὐράνια.

(μδ) πάντα γὰρ αὐτῷ μέτρῳ καὶ ἀριθμῷ τουτέστιν ἐπιστημόνως γεγένηται.[c]

(με) καὶ ὡς ἡμεῖς οὐκ ἴσμεν τὰ ὀνόματα.

40^{27}—41^{7}. Κεφ. νεʹ.

Προσφώνησις τῷ Ἰσραὴλ μὴ προβάλλεσθαι τὴν εἰς Χριστὸν ἄγνοιαν, τοῦ κόσμου μὲν ποιητὴν, τῶν πιστῶν δὲ εὐεργέτην ὑπάρχοντα· καὶ ἐγκαινισμὸς τῶν ἐκκλησιῶν διὰ Χριστοῦ καθελόντος τὴν ἀσέβειαν καὶ τὰ ἔθνη καταπλήξαντος· καὶ τῆς τῶν εἰδώλων ἀσθενείας διήγησις.

27 [27] Μὴ γὰρ εἴπῃς, Ἰακὼβ, καὶ
τί ἐλάλησας, Ἰσραήλ Ἀπεκρύβη ἡ

22 τοὺς κατοικοῦντας ἐν αὐτῇ ὡσεὶ ἀκρίδας sic Hes. secundum (λς) legisse videtur; οἱ ἐνοικοῦντες . . . ἀκρίδες ABS. διατείνας + αὐτὸν A[3]. 24 sic leg. Hes. (vide μ). οὐ γὰρ μὴ σπείρουσιν οὐδὲ μὴ φυτεύσουσιν A. οὐ γὰρ μὴ σπίρωσιν οὐδὲ μὴ φυτεύσωσιν S.

[a] Ex. 20^{4} εἴδωλον pro εἴδωλα. [b] Ps. 32 $(33)^{6}$. [c] Sap. 11^{21}.

ὁδός μου ἀπὸ τοῦ θεοῦ, καὶ ὁ
θεός μου τὴν κρίσιν ἀφεῖλε καὶ
28 ἀπέστη (α); [28] καὶ νῦν οὐκ ἔγνως;
εἰ μὴ ἤκουσας (β); θεὸς αἰώνιος,
θεὸς ὁ κατασκευάσας τὰ ἄκρα
τῆς γῆς (γ), οὐ πεινάσει οὐδὲ
κοπιάσει (δ), οὐδὲ ἔστιν ἐξεύρεσις
29 τῆς φρονήσεως αὐτοῦ (ε), [29] διδοὺς
τοῖς πεινῶσιν (ϛ) ἰσχὺν καὶ τοῖς μὴ
30 ὀδυνωμένοις (ζ) λύπην. [30] πεινάσουσι
γὰρ νεώτεροι (η), καὶ κοπιάσουσι
νεανίσκοι (θ), καὶ ἐκλεκτοὶ (ι)
31 ἀνίσχυες ἔσονται· [31] οἱ δὲ ὑπομένοντες
τὸν θεὸν ἀλλάξουσιν ἰσχὺν (ια),
πτεροφυήσουσιν ὡς ἀετοὶ (ιβ),
δραμοῦνται (ιγ) καὶ οὐ κοπιάσουσιν,
βαδιοῦνται (ιδ) καὶ οὐ πεινάσουσιν.
41 1 Ἐγκαινίζεσθε πρὸς μὲ (ιε)
νῆσοι (ιϛ)· οἱ γὰρ ἄρχοντες
ἀλλάξουσιν ἰσχύν (ιζ)· ἐγγισάτωσαν
καὶ λαλησάτωσαν ἅμα (ιη), τότε

(α) τουτέστι μὴ προβάλῃ τὴν ἄγνοιαν μηδὲ εἴπῃς ἢ ἐνθυμηθῇς ἀγνοεῖσθαι τῷ θεῷ τὴν σὴν πολιτείαν ἢ χωρὶς κρίσεως τὰς σὰς πράξεις αὐτὸν παρέρχεσθαι.

(β) κατ' ἐρώτησιν λέγεται· τουτέστιν ἐγίνωσκες, καὶ εἰ μὴ ἤκουσας τὰ περὶ θεοῦ ἱκανῶς τοῦ φυσικοῦ νόμου καὶ τοῦ γραπτοῦ διδάξαντος.

(γ) πᾶσαν τὴν γῆν.

(δ) κἂν γὰρ σαρκωθεὶς πάθῃ τῇ σαρκὶ, οὐ πάσχει τῇ θεότητι.

(ε) τοῦ θεοῦ γὰρ ἡ βουλὴ ἀκατάληπτος.

(ϛ) τοῖς τὴν δικαιοσύνην πεινῶσιν.[a]

(ζ) τοῖς ἐν εὐθηνίᾳ βιοῦσιν.

(η) οἱ τὴν πολιτείαν ἀτελεῖς.

(θ) οἱ τῇ ἰσχύϊ πεποιθότες τοῦ σώματος.

(ι) οἱ τοῦ κόσμου λογάδες καὶ δοκοῦντες ἐπίσημοι.

(ια) ἀνακαινισθήσονται.

(ιβ) ὑψηλὰ φιλοσοφοῦντες.

(ιγ) τὴν ὁδὸν τῆς ἀρετῆς.

(ιδ) πρὸς Χριστὸν, τὸν ἄρτον τῆς ζωῆς.[b]

(ιε) πρὸς μίμησιν ἐμήν.

(ιϛ) αἱ ἐκκλησίαι.

(ιζ) οἱ ἀπόστολοι τὴν τῶν ἐθνῶν δύναμιν μεταβαλοῦσιν εἰς εὐσέβειαν.

(ιη) κολληθήτωσαν τοῖς ἔθνεσιν.

---

27 τὴν κρίσιν + μου A[3].
(ζ) τοῖς ἐν εὐθηνίᾳ βιῶται sic F.

---

[a] Matth. 5[6]. [b] Io. 6[35].

2 κρίσιν (ιθ) ἀναγγειλάτωσαν. 2 τίς
ἐξήγειρεν ἀπὸ ἀνατολῶν δικαιο-
σύνην (κ), ἐκάλεσεν αὐτὴν κατὰ
πόδας αὐτοῦ (κα); πορεύσεται,
δώσει ἐναντίον ἐθνῶν (κβ), καὶ
βασιλεῖς ἐκστήσει καὶ δώσει εἰς
γῆν τὰς μαχαίρας αὐτῶν καὶ
ὡς φρύγανα ἐξωσμένα τὰ τόξα
3 αὐτῶν (κγ)· 3 καὶ διώξεται αὐτοὺς
καὶ διελεύσεται ἐν εἰρήνῃ ἡ ὁδὸς τῶν
4 ποδῶν αὐτοῦ (κδ). 4 τίς ἐνήργησε
καὶ ἐποίησε ταῦτα; ἐκάλεσεν αὐτὴν ὁ
καλῶν αὐτὴν ἀπὸ γενεῶν ἀρχῆς (κε);
ἐγὼ θεὸς πρῶτος (κϛ), καὶ εἰς τὰ
5 ἐπερχόμενα ἐγώ εἰμι. 5 εἴδοσαν
ἔθνη (κζ) καὶ ἐφοβήθησαν, τὰ ἄκρα
τῆς γῆς (κη) ἤγγισαν καὶ ἦλθον
6 ἅμα (κθ), 6 κρίνων ἕκαστος τῷ
πλησίον καὶ τῷ ἀδελφῷ βοηθῆσαι (λ),
7 καὶ ἐρεῖ 7 Ἴσχυσεν (λα) ἀνὴρ
τέκτων, καὶ χαλκεὺς τύπτων σφύρῃ
ἐλαύνων (λβ)· τότε μὲν ἐρεῖ (λγ)

(ιθ) ἣν ὁ Χριστὸς ἁμαρτωλῶν ἔσεσθαι καὶ δικαίων ὑπέσχετο.

(κ) ὁ Χριστός· ἐφώτισε γὰρ αὐτὸς τῆς δικαιοσύνης τὸ κήρυγμα.

(κα) τουτέστι κατὰ τὴν ὁδὸν τῆς ἑαυτοῦ πολιτείας;

(κβ) κηρύξει ἐν τοῖς ἔθνεσιν.

(κγ) καταπλήξει τοὺς ἐν ἀσεβείᾳ δυναστεύσαντας καὶ καταργήσει τῆς αὐτῶν δυναστείας τὰ ὄργανα.

(κδ) τὸ κήρυγμα τῆς αὐτοῦ πολι- f. 112
τείας.

(κε) εἰ μὴ γὰρ ὁ Χριστὸς παραγέγονε, τίς κατήργησε τὴν ἀσέβειαν; τίς τὴν δικαιοσύνην τὴν ἐξ αἰώνων παρ' αὐτῷ τυγχάνουσαν ἐφανέρωσεν;

(κϛ) ὁ Χριστός· αὐτὸς γὰρ ἐν ἀρχῇ θεὸς Λόγος, αὐτὸς καὶ πάλιν ὕστερον διὰ σαρκὸς ἀποκαλύπτεται κύριος.

(κζ) τὰ διὰ Χριστοῦ ἐνεργηθέντα θαύματα.

(κη) τουτέστι πᾶσα ἡ γῆ.

(κθ) εἰς θεογνωσίαν καὶ προσκύνησιν.

(λ) τουτέστι τῆς θεογνωσίας ἀλλήλοις μεταδώσουσιν.

(λα) τουτέστιν ἰσχυρῶς εἰργάσατο.

(λβ) ταῦτα ἐρεῖ ὁ ἐξ ἐθνῶν λαός· ὅταν γὰρ τῆς πλάνης τῶν εἰδώλων ἀπόσχηται, εἴσεται, ὡς ἔργα χειρῶν ἐστιν ἀνθρώπων οὐκ ὀφείλοντα σέβεσθαι.

(λγ) ὁ τέκτων ἢ ὁ χαλκεύς· ἑκάτερος γὰρ οὐκ ἀεὶ τὸ ἔργον τοῦ κατασκευαζομένου ἀνδριάντος

---

1 κρίσιν B Hes. (vide ιθ); κρίσεις A. 2 interpunct. sec. interpret. πορεύσεται A³ B praem. καὶ. 3 αὐτοῦ + οὐχ ἥξει A³. 4 interpunct. sec. glossam (κε). 5 ἤγγισαν A³ praem. ἐξέστησαν. ἤλθοσαν A.

Σύμβλημα καλόν ἐστιν, ἰσχύρωσαν αὐτὰ ἐν ἥλοις, θήσουσιν αὐτὰ καὶ οὐ κινηθήσονται.

ἐπαινεῖ, ἀλλ' ὅταν αὐτὸ πρὸς σύμβλημα καλὸν τουτέστι καλῶς ἔχον τὴν ἁρμονίαν θεάσηται.

41[8–29] Κεφ. νς′.

Προσφώνησις τῆς ἐκλογῆς τοῦ νέου Ἰσραὴλ ὃς θαρρεῖν ἐγκελεύεται· ἀπειλὴ δὲ τοῖς πρὸς αὐτὸν ἐχθραίνουσι· καὶ τῆς μὲν ἐκκλησίας προλέγει τὰ μυστήρια, σκώπτει δὲ μηδὲν ἐπισταμένους οὐ τῶν ἀρχαίων, οὐ τῶν μελλόντων τοὺς δαίμονας καὶ τὰ εἴδωλα σὺν αὐτοῖς ὡς ἀναίσθητα.

8 [8] Σὺ δὲ Ἰσραὴλ, παῖς μου Ἰακὼβ
ὃν ἐξελεξάμην σπέρμα Ἀβραὰμ
10 ὃν ἠγάπησα (α) . . . [10] μὴ φοβοῦ,
μετὰ σοῦ γάρ εἰμι . . . καὶ
ἠσφαλισάμην σε τῇ δεξιᾷ τῇ δικαίᾳ
11 μου (β). [11] ἰδοὺ αἰσχυνθήσονται καὶ
ἐντραπήσονται πάντες οἱ ἀντικείμενοί
σοι (γ)· ἔσονται γὰρ ὡς οὐκ ὄντες (δ),
καὶ ἀπολοῦνται πάντες οἱ ἀντίδικοί
12 σου. [12] ζητήσεις αὐτοὺς καὶ οὐ μὴ
εὕρῃς τοὺς ἀνθρώπους οἳ παροινή-
13 σουσιν εἰς σέ (ε)· . . . [13] ὅτι ἐγὼ
ὁ θεὸς ὁ κρατῶν τῆς δεξιᾶς σου (ϛ),
14 ὁ λέγων σοι Μὴ φοβοῦ, [14] Ἰακὼβ,
ὀλιγοστὸς Ἰσραὴλ (ζ)· ἐγὼ ἐβοήθησά
15 σοι . . . [15] ἰδοὺ ἐποίησά σε ὡς

(α) παραίνεσις τῷ αἰσθητῷ καὶ τῷ νοητῷ Ἰσραὴλ μὴ ἀπατᾶσθαι τοῖς εἰδώλοις, ἀλλ' ἐπὶ θεῷ πεποιθέναι τῷ τοὺς προγόνους αὐτοῖς ἐκλεξαμένῳ καὶ καλέσαντι.

(β) ἐν τοῖς σημείοις ἃ μετὰ δικαιοσύνης ἐνήργησα.

(γ) οἱ δαίμονες.

(δ) τουτέστι καταργηθήσονται.

(ε) τουτέστιν οὐκέτι ἔσονται οἱ παρὰ f. 112[v] τῶν δαιμόνων παροινεῖν κατὰ σοῦ τὰ τῆς ἀσεβείας ἐνεργούμενοι.

(ϛ) ὁ χειραγωγῶν σε πρὸς εὐσέβειαν.

(ζ) ἐλάχιστος γὰρ ἦν ὁ Ἰσραὴλ πρὸς ὅλα τὰ ἔθνη συγκρινόμενος, ἀλλὰ μέγας ὡς παρὰ θεοῦ βοηθούμενος.

Κεφ. νς′: ὃς θαρρεῖν > ὡς θαρρεῖν C. ἀπειλὴ > ἀπειλεῖ V. τοῖς πρὸς > τῆς πρὸς O. ἐχθραίνουσι > ἐκθραίνουσι C. ἐκθρένουσι (ἐχθρεύουσι vel ἐχθραίνουσι) Migne. σκώπτει > σκοπεῖ CO Migne. 10 Hes. forse legit ἐν τῇ δεξιᾷ (vide β). 13 ἐγὼ + κύριος A[3]. 14 Ἰακὼβ praem. ἐγὼ ἐβοήθησά σοι· μὴ φοβοῦ σκώληξ A[3].

τροχοὺς ἁμάξης ἀλοῶντας καινοὺς
πριστηροειδεῖς (η), καὶ ἀλοήσεις
16 ὄρη (θ) . . . [16] καὶ λικμήσεις (ι)·
καὶ ἄνεμος λήψεται αὐτοὺς (ια),
καὶ καταιγὶς (ιβ) διασπερεῖ αὐτούς.
σὺ δὲ εὐφρανθήσῃ ἐν τοῖς ἁγίοις
17 Ἰσραὴλ (ιγ), [17] καὶ ἀγαλλιάσονται
οἱ πτωχοὶ (ιδ) καὶ οἱ ἐνδεεῖς.
ζητήσουσι γὰρ ὕδωρ (ιε), καὶ οὐκ
ἔσται, ἡ γλῶσσα αὐτῶν ἀπὸ τῆς
18 δίψης ἐξηράνθη· . . . [18] ἀλλὰ ἀνοίξω
ἐπὶ τῶν ὀρέων ποταμοὺς (ις) καὶ
ἐν μέσῳ πεδίων (ιζ) πηγάς, ποιήσω
τὴν ἔρημον εἰς ἕλη (ιη) καὶ τὴν
διψῶσαν γῆν εἰς ὑδραγωγοὺς (ιθ),
19 [19] θήσω εἰς τὴν ἄνυδρον γῆν
κέδρον (κ) καὶ πύξον (κα) καὶ
μυρσίνην (κβ) καὶ κυπάρισσον (κγ)
20 καὶ λεύκην (κδ), [20] ἵνα ἴδωσι καὶ
γνῶσι . . . ὅτι χεὶρ κυρίου ἐποίησε
21 ταῦτα πάντα (κε) . . . [21] ἐγγίζει ἡ

(η) διὰ νόμου σε καὶ προφητῶν χαλκεύσας καὶ ἀκονήσας κατὰ τῶν ἐνεργούντων τὴν ἀσέβειαν.

(θ) τὰ ὑπέρογκα τῶν δαιμόνων φρονήματα.

(ι) διασκοπήσεις.

(ια) παντελῶς ἀφανισθήσονται.

(ιβ) ἡ σφοδρὰ τοῦ θεοῦ ὀργή.

(ιγ) ἐν τοῖς ἀποστόλοις καὶ ὅσοι τούτους ἐζήλωσαν.

(ιδ) οἱ δι' εὐσέβειαν πτωχεύσαντες.

(ιε) οἱ παρὰ τοῦ νοητοῦ Ἰσραὴλ διωκόμενοι δαίμονες· ὕδωρ γὰρ ἀσεβείας καταργουμένης τῆς πλάνης οὐχ εὑρήσουσιν.

(ις) τουτέστιν ἀποκαλύψω τοῖς ὑψηλὰ φιλοσοφοῦσι τὰς δωρεὰς τοῦ πνεύματος.

(ιζ) τῶν τὰς ἀρετὰς γεωργούντων.

(ιη) τὰς δωρεὰς τοῦ πνεύματος.

(ιθ) τὴν ἐκκλησίαν εἰς ὑδροφόρα χωρία.

(κ) δικαιοσύνην· φησὶ γὰρ ὁ Δαυίδ «Δίκαιος ὡς φοίνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται».[a]

(κα) ἀνδρείαν· ἰσχυρὰ γὰρ ἡ πύξος.

(κβ) σωφροσύνην· εὐώδης γὰρ ἡ μυρσίνη.

(κγ) φρόνησιν· ὑψηλὴ γὰρ ἡ κυπάρισσος.

(κδ) τοῦ νόμου τὴν φανέρωσιν.

(κε) τὴν τῆς ἐκκλησίας καὶ τῶν f. 113
ἐθνῶν ἐπιστροφήν.

---

15 πριστοειδεῖς A. 16 εὐφρανθήσῃ ἐν + κυρίῳ ἐν A[3]. 18 ἕλη + ὑδάτων A[3] B. εἰς ὑδραγωγοὺς Hes. (vide ιθ); ἐν ὑδραγωγοῖς ABS. 19 λεύκην + καὶ θήσω ἐν τῇ Ἀραβᾷ Βραδυδαὰρ καὶ Θαασοὺρ ἅμα A[3].

---

[a] Ps. 91 (92)[13] ὡς ἡ κέδρος.

κρίσις ὑμῶν (κϛ), λέγει κύριος ὁ
θεός· ἤγγισαν αἱ βουλαὶ ὑμῶν (κζ),
22 λέγει ὁ βασιλεὺς Ἰακώβ. [22] ἐγ-
γισάτωσαν (κη) καὶ ἀναγγειλάτωσαν
ὑμῖν ἃ συμβήσεται, ἢ τὰ πρότερα
τίνα ἦν, εἴπατε, καὶ ἐπιστήσομεν
τὸν νοῦν καὶ γνωσόμεθα, τί τὰ
ἔσχατα καὶ τὰ ἐπερχόμενα (κθ)·
23 εἴπατε ἡμῖν, [23] ἀναγγείλατε τὰ
ἐπερχόμενα ἐπ' ἐσχάτου, καὶ γνω-
σόμεθα, ὅτι θεοί ἐστε. εὖ ποιήσατε
καὶ κακώσατε, καὶ θαυμασόμεθα,
24 [24] ὅτι πόθεν ἐστὲ ὑμεῖς, καὶ πόθεν
ἡ ἐργασία ὑμῶν (λ)· ἐκ γῆς
βδέλυγμα ἐξελέξαντο ὑμᾶς (λα).
25 [25] ἐγὼ ἤγειρα τὸν ἀπὸ βορρᾶ καὶ
τὸν ἀφ' ἡλίου ἀνατολῶν (λβ),
κληθήσονται τῷ ὀνόματί μου (λγ)·
ἐρχέσθωσαν ἄρχοντες (λδ), καὶ ὡς
πηλὸς κεραμέως καὶ ὡς κεραμεὺς
καταπατῶν τὸν πηλὸν, οὕτω κατα-
26 πατηθήσεσθε (λε). [26] τίς γὰρ
ἀναγγελεῖ τὰ ἐξ ἀρχῆς, ἵνα γνῶμεν
καὶ τὰ ἔμπροσθεν (λϛ), καὶ ἐροῦμεν,
ὅτι ἀληθῆ ἐστιν; οὐκ ἔστιν ὁ
προλέγων οὐδ' ἀκούων (λζ) τοὺς
27 λόγους ὑμῶν (λη). [27] ἀρχὴν Σιὼν
δώσω (λθ), καὶ Ἱερουσαλὴμ παρα-
28 καλέσω εἰς ὁδόν (μ). [28] ἀπὸ γὰρ
τῶν ἐθνῶν ἰδοὺ οὐδεὶς, καὶ ἀπὸ
τῶν εἰδώλων αὐτῶν οὐκ ἦν ὁ ἀν-

(κϛ) ἡ καθ' ὑμῶν, δηλαδὴ καὶ τῶν δαιμόνων καὶ τῶν ἐνεργουμένων ἐκείνοις.

(κζ) ὥστε φανερωθῆναι καὶ καταργηθῆναι.

(κη) τουτέστι μὴ κρυπτέσθωσαν, ἀλλ' εἰ θαρροῦσιν εἰς φανερὸν ἐλθέτωσαν.

(κθ) τοῦτο γὰρ ἴδιον θεοῦ, τὰ πρὸ πολλοῦ παρελθόντα λέγειν καὶ τὰ μέλλοντα, ὅπερ τοῖς δαίμοσι καὶ τοῖς εἰδώλοις ἀδύνατον.

(λ) τουτέστιν εἰσόμεθα ὑμῶν τὴν οὐσίαν καὶ τὴν ἐνέργειαν.

(λα) ἐπειδὴ ἐκ γῆς κατεσκευάσθη τὰ εἴδωλα βδελυκτὰ θεῷ καὶ ἀνθρώποις τοῖς νήφουσιν.

(λβ) τοὺς μάγους· Ἀσσύριοι γὰρ οὗτοι ὧν ἡ χώρα τὴν θέσιν ἐν τῷ βορείῳ τῆς ἀνατολῆς κέκτηται.

(λγ) ἀπὸ Χριστοῦ χριστιανοί.

(λδ) οἱ ἀπόστολοι.

(λε) τὰ ἔθνη· ἐπατήθησαν γὰρ ὡς πηλὸς τῆς εὐαγγελικῆς διδασκαλίας εἰς ἀνάπλασιν.

(λϛ) τουτέστιν οὐδεὶς εἰπεῖν τὰ πρὸ χρόνων πολλῶν πλὴν τοῦ θεοῦ καὶ τῶν παρ' αὐτοῦ ἐμπνεομένων δύναται.

(λζ) οὐδὲ γὰρ προφήτης ἀληθὴς οὐδὲ ἀκροατὴς θεοσεβείας ὑπῆρχεν ἐν τοῖς ἔθνεσιν.

(λη) τουτέστιν ἐξ ὑμῶν.

(λθ) θεοσεβείας εἰς ὁδόν.

(μ) τὸν τῆς ζωῆς.

---

23 θαυμασόμεθα + καὶ ὀψόμεθα ἅμα A^3. 25 κληθήσονται > κλήσονται A.
27 εἰς ὁδόν B Hes. (vide μ); ἐν ὁδῷ A.

αγγέλλων (μα)· καὶ ἐὰν ἐρωτήσω
αὐτούς (μβ) Πόθεν ἐστέ; οὐ μὴ
29 ἀποκριθῶσί μοι. [29] εἰσὶ γὰρ οἱ
ποιοῦντες ὑμᾶς (μγ) καὶ μάτην οἱ
πλανῶντες ὑμᾶς (μδ).

(μα) τουτέστιν οὐδεὶς ἐκ τῆς ἐθνικῆς σοφίας οὐδὲ τῆς εἰδωλικῆς μαγγανείας ἱκανὸς ἀναγγεῖλαι τὴν ἀλήθειαν.
(μβ) περὶ τῶν εἰδώλων λέγει.
(μγ) τουτέστιν ἔργα χειρῶν ἀνθρώπων ὑπάρχουσιν. f. 113 v
(μδ) οἱ τὰ εἴδωλα θεοὺς ὀνομάζοντες.

42^{1-17}. Κεφ. νζ'.

Προσφώνησις τοῦ πατρὸς περὶ τῆς ἀγάπης τοῦ υἱοῦ· καὶ μεθ' ὅσης μὲν ὁ υἱὸς ἐπιδημεῖ πραότητος, ὅσα δὲ εὐδοκίᾳ τοῦ πατρὸς κατορθοῖ· καὶ εὐαγγελισμὸς τῇ ἐκκλησίᾳ ἐφ' οἷς ὁ Χριστὸς αὐτὴν μὲν εὐεργετεῖ, ἀναιρεῖ δὲ τὴν τῶν εἰδώλων ἀσέβειαν.

42 1 Ἰακὼβ ὁ παῖς μου (α),
ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ ὁ
ἐκλεκτός μου, προσεδέξατο (β)
αὐτὸν ἡ ψυχή μου· ἔδωκα τὸ πνεῦμά
μου ἐπ' αὐτὸν (γ), κρίσιν τοῖς
2 ἔθνεσιν ἐξοίσει (δ)· [2] οὐ κράξεται (ε)
οὐδὲ ἀνήσει (ϛ), οὐδὲ ἀκουσθήσεται
3 ἔξω (ζ) ἡ φωνὴ αὐτοῦ. [3] κάλαμον
συντεθλασμένον (η) οὐ συντρίψει, καὶ
λίνον καπνιζόμενον (θ) οὐ σβέσει,

(α) περὶ τοῦ Χριστοῦ φησιν.
(β) τουτέστιν εὐδόκησα· οὕτω γὰρ τὸ «προσεδέξατο» οἱ λοιποὶ τῶν ἑρμηνευτῶν ἐξέδωκαν.
(γ) ἐν τῷ Ἰορδάνῃ· τότε γὰρ ἐν εἴδει περιστερᾶς τὸ πνεῦμα πρὸς αὐτὸν παρεγένετο.[a]
(δ) διὰ τῆς πραότητος.
(ε) διὰ τῆς πραότητος.
(ϛ) ὡς δυνατὸς γὰρ τοῖς ἐχθροῖς οὐκ ἐνδώσει.
(ζ) ἐν τοῖς ἀπίστοις καὶ ἀμυήτοις.
(η) τὸν ἁμαρτωλόν.
(θ) τὸν ἐν μετανοίᾳ· ὥσπερ γὰρ τὸ λίνον ἐν τῷ πυρί, οὕτως ὁ ἁμαρτωλὸς ἐν τῇ μετανοίᾳ λευκαίνεται.

Κεφ. νζ': Προσφώνησις > Προφώνησις C.

---

[a] Matth. 3^{16}. Marc. 1^{10}. Luc. 3^{22}.

ἀλλὰ εἰς ἀλήθειαν ἐξοίσει κρίσιν (ι)·
4 [4]ἀναλάμψει καὶ οὐ θραυσθήσεται,
ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν (ια)·
καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη
5 ἐλπιοῦσιν. [5]οὕτως λέγει κύριος ὁ
θεὸς . . . ὁ στερεώσας τὴν γῆν καὶ
τὰ ἐν αὐτῇ καὶ δοὺς πνοὴν τῷ λαῷ
τῷ ἐπ' αὐτῆς καὶ πνεῦμα τοῖς
6 πατοῦσιν αὐτήν (ιβ). [6]ἐγὼ κύριος
ὁ θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ (ιγ)
καὶ κρατήσω τῆς χειρός σου (ιδ)
καὶ ἐνισχύσω σε (ιε) καὶ ἔδωκά σε
εἰς διαθήκην (ις) γένους (ιζ), εἰς
7 φῶς ἐθνῶν, [7]ἀνοῖξαι ὀφθαλμοὺς
τυφλῶν (ιη), ἐξαγαγεῖν ἐκ δεσμῶν (ιθ)
δεδεμένους καὶ ἐξ οἴκου φυλακῆς (κ)
8 καθημένους ἐν σκότει. [8]ἐγὼ κύριος
ὁ θεὸς . . . τὴν δόξαν μου ἑτέρῳ
οὐ δώσω (κα) οὐδὲ τὰς ἀρετάς
9 μου (κβ) τοῖς γλυπτοῖς. [9]τὰ ἀπ'
ἀρχῆς (κγ) ἰδοὺ ἥκασι, καὶ καινὰ ἐγὼ
ἀναγγελῶ, καὶ πρὸ τοῦ ἀνατεῖλαι
10 ἐδηλώθη ὑμῖν (κδ). [10]ὑμνήσατε τῷ
κυρίῳ ὕμνον καινόν (κε)· ἡ ἀρχὴ
αὐτοῦ, δοξάζετε τὸ ὄνομα αὐτοῦ
ἐπ' ἄκρου τῆς γῆς (κς), οἱ

(ι) ὁ Χριστὸς δικαιῶν τὸν μετανοοῦντα, κρίνων τὸν ἀπατήσαντα.

(ια) ὁ Χριστός· ἀναλάμπει μὲν γὰρ τουτέστιν ἐκλάμπει διὰ τῆς σαρκώσεως· οὐδέποτε δὲ αὐτοῦ ἡ δόξα θραύεται, καὶ διὰ τοῦτό φησιν «ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν»· μετὰ γὰρ τὸ κριτὴν αὐτὸν ὀφθῆναι, πολὺ πλέον αὐτοῦ τὰ τῆς δόξης συνίσταται.

(ιβ) αὐτὸς γὰρ ἑκάστῳ παρέχει ψυχήν, οὐχὶ δέ, ὥς τινες δοκοῦσι, τὸ σπέρμα τὸ ἀνθρώπινον.

(ιγ) ὁ πατὴρ τὸν Χριστόν· δικαιοσύνη γὰρ κέκληται.[a]

(ιδ) ὡς πατὴρ υἱοῦ.

(ιε) τῇ θεότητι τὴν ἀνθρωπότητα.

(ις) τὴν εὐαγγελικήν.

(ιζ) τοῦ ἀνθρωπίνου.

(ιη) τῶν ἐν ἀγνωσίᾳ τυγχανόντων.

(ιθ) τῶν τῆς ἁμαρτίας συνδεσμῶν.

(κ) τῆς πλάνης.

(κα) ὁ πατὴρ περὶ τοῦ υἱοῦ φησιν Εἰ καὶ μετὰ τῆς ἐμῆς δόξης ὁ Χριστὸς παραγίνεται· οὐκ ἀλλοτρίῳ γὰρ τὴν ἐμὴν δόξαν δίδωμι· ἓν γὰρ ὁ υἱὸς πρὸς ἐμέ.

(κβ) τὰ σημεῖα.

(κγ) τὰ τῆς βουλῆς τῆς ἀρχαίας μυστήρια.

(κδ) ἐμήνυσε γὰρ διὰ τῶν προφητῶν ἃ διὰ Χριστοῦ θαυματουργεῖσθαι ἔμελλεν.

(κε) ὅνπερ ὕμνησαν ἐπὶ τῆς γῆς f. 114
τῷ Χριστῷ οἱ ἄγγελοι.[b]

(κς) τουτέστι πανταχόθεν.

9 ἐπ' ἀρχῆς Tisch. καινὰ > κενὰ A.

[a] Rom. 3 21 sq. [b] Luc. 2 13 sq.

καταβαίνοντες εἰς τὴν θάλασσαν (κζ)
καὶ πλέοντες αὐτήν, αἱ νῆσοι (κη) καὶ
11 οἱ κατοικοῦντες αὐτάς. [11] εὐφράνθητι
ἔρημος καὶ αἱ κῶμαι αὐτῆς (κθ),
ἐπαύλεις (λ) καὶ οἱ κατοικοῦντες
Κηδάρ (λα). εὐφρανθήσονται οἱ
κατοικοῦντες πέτραν (λβ), ἀπ' ἄκρων
12 τῶν ὀρέων (λγ) [12] δώσουσι τῷ θεῷ
δόξαν, τὰς ἀρετὰς αὐτοῦ ἐν ταῖς
13 νήσοις (λδ) ἀναγγελοῦσι. [13] κύριος ὁ
θεὸς τῶν δυνάμεων ἐξελεύσεται (λε)
καὶ συντρίψει πόλεμον (λϛ), ἐπεγερεῖ
ζῆλον (λζ) καὶ βοήσεται ἐπὶ τοὺς
ἐχθροὺς αὐτοῦ μετὰ ἰσχύος (λη).
14 [14] ἐσιώπησα (λθ), μὴ καὶ ἀεὶ
σιωπήσομαι καὶ ἀνέξομαι (μ);
ἐκαρτέρησα ὡς ἡ τίκτουσα (μα),
ἐκστήσω καὶ ξηρανῶ ἅμα (μβ),
15 [15] καὶ θήσω ποταμοὺς εἰς νήσους
16 καὶ ἕλη ξηρανῶ (μγ). [16] καὶ ἄξω
τυφλοὺς ἐν ὁδῷ (μδ) ᾗ οὐκ ἔγνωσαν,
καὶ τρίβους (με) ἃς οὐκ ᾔδεισαν
πατῆσαι ποιήσω αὐτούς· ποιήσω
αὐτοῖς τὸ σκότος εἰς φῶς (μϛ) καὶ

(κζ) τουτέστιν οἱ εἰς τὸ πλῆθος τῶν ἐθνῶν ἀπιόντες ἀπόστολοι.
(κη) αἱ πανταχοῦ ἐκκλησίαι.
(κθ) ἡ πρωτότυπος ἐκκλησία καὶ αἱ ἐξ αὐτῆς.
(λ) τὰ τῶν ἐθνῶν ἀθροίσματα.
(λα) οἱ ἐν σκότει τὸ πρότερον· Κηδὰρ γὰρ σκότος ἑρμηνεύεται.
(λβ) τὴν ἐκκλησίαν, ἐπειδὴ ἐν πέτρᾳ αὐτὴν ὁ Χριστὸς ἐθεμελίωσεν.[a]
(λγ) οἱ ἀπόστολοι ἀπὸ τῶν προφητικῶν δογμάτων.
(λδ) ταῖς ἐκκλησίαις.
(λε) διὰ τῆς σαρκώσεως.
(λϛ) ὃν τοῖς ἀνθρώποις ἐπήγειρεν ὁ διάβολος.
(λζ) τὸν τῆς εὐσεβείας κατὰ τοῦ διαβόλου.
(λη) τουτέστι δυναστῶς ἐπιτιμήσει τοῖς δαίμοσιν.
(λθ) δοκιμάζων ὑμᾶς τῇ μακροθυμίᾳ.
(μ) οὐδὲ γὰρ ὠφελεῖ ἡ ἐπὶ πολὺ μακροθυμία τὸν ῥᾴθυμον.
(μα) τὴν τῶν ἀσεβῶν παροινίαν.
(μβ) τουτέστι καταπλήξω καὶ ἀφανίσω τὰ τῆς κακίας ὄργανα.
(μγ) τουτέστιν ἔνθα ἡ πλήμμυρα τῆς ἀσεβείας ἦν, ἐκεῖ τὰς ἐκκλησίας συνιστῶ καὶ ξηρανῶ τῆς πλάνης τὰ χορτοφόρα χωρία.
(μδ) τοὺς ἐν ἀγνοίᾳ φησὶν ἐν τῇ ὁδῷ χειραγωγήσω τῆς γνώσεως.
(με) τὰς εὐαγγελικάς.
(μϛ) μεταβάλλων τὴν ἀμαθίαν εἰς γνῶσιν.

11 ὀρέων + βοήσονται A[3], βοήσουσι B. 13 ζῆλον + σημανεῖ A[3]. 16 τρίβους οὓς AS; Hes. vero cum B ἃς legit (vide με). 15 καὶ θήσω A[3] B praem. ἐρημώσω ὄρη καὶ βουνοὺς καὶ πάντα χόρτον αὐτῶν ξηρανῶ.

[a] Matth. 16[18].

τὰ σκολιὰ εἰς εὐθεῖαν (μζ) . . .
17 [17] αὐτοὶ δὲ ἀπεστράφησαν εἰς τὰ
ὀπίσω (μη). αἰσχύνθητε αἰσχύνην . . .
οἱ λέγοντες τοῖς χωνευταῖς Ὑμεῖς
ἐστε θεοὶ ἡμῶν.

(μζ) μεταφέρων τοὺς πολιτευομένους στρεβλὰ πρὸς τὴν ἀλήθειαν.
(μη) οὐ παρ' ἐμὲ ἐπλανήθησαν, ἀλλὰ τὸν νόμον τὸν ἐμὸν καταλείψαντες.

42 18—43 17. Κεφ. νη'.

Ὀνειδισμὸς τῷ Ἰσραὴλ τῆς κατὰ γνώμην πωρώσεως ἐξ ἧς τὴν τῶν θείων διαρπαγὴν ὑπομείνας ἔμεινεν ὅμως ἀναίσθητος· καὶ εὐαγγελισμὸς τὸν νέον Ἰσραὴλ παρὰ θεοῦ βοηθεῖσθαι καὶ πανταχόθεν ἀθροίζεσθαι· καὶ διαμαρτυρία τοῦ Χριστοῦ ὡς ὄντος προαιωνίου θεοῦ καὶ τὴν τῶν ἀνθρώπων οἰκονομήσαντος λύτρωσιν.

18 [18] Οἱ κωφοὶ (α) ἀκούσατε, καὶ
οἱ τυφλοὶ (β) ἀναβλέψατε ἰδεῖν.
19 [19] καὶ τίς τυφλὸς ἀλλ' ἢ οἱ παῖδές
μου (γ), καὶ κωφοὶ ἀλλ' ἢ οἱ κυρι-
εύοντες αὐτῶν (δ); καὶ ἐτυφλώθησαν
20 οἱ δοῦλοι τοῦ θεοῦ (ε). [20] ἴδετε πλεον-
άκις (ϛ), καὶ οὐκ ἐφυλάξασθε (ζ)·
ἠνοιγμένα τὰ ὦτα, καὶ οὐκ ἠκούσατε (η).
21 [21] κύριος ὁ θεὸς ἐβουλεύσατο, ἵνα
δικαιωθῇ καὶ μεγαλύνῃ αἴνεσιν (θ).
22 [22] καὶ εἶδον, καὶ ἐγένετο ὁ λαὸς
πεπρονομευμένος καὶ διηρπασμένος (ι)·
ἡ γὰρ παγὶς ἐν τοῖς ταμιείοις (ια)

(α) οἱ ἐν παρακοῇ τυγχάνοντες. f. 114v
(β) οἱ ἐν ἀγνωσίᾳ.
(γ) οἱ Ἰουδαῖοι· θεοῦ γὰρ παῖδες ἐκλήθησαν.
(δ) ἐκυρίευσαν γὰρ αὐτῶν οἱ ἱερεῖς καὶ οἱ ἄρχοντες· παρακοὴν γὰρ ἐμίσησαν.
(ε) Ἰουδαῖοι· δοῦλοι γὰρ θεοῦ πρὶν παραβῆναι ἐτύγχανον.
(ϛ) τὰ πολλὰ τοῦ θεοῦ θαύματα.
(ζ) τὸν θεῖον νόμον.
(η) τουτέστιν οὐ παρὰ τὴν φύσιν, ἀλλὰ παρὰ τὴν οἰκείαν γνώμην παρακοὴν ἐνοήσατε.
(θ) ὁ Ἰουδαϊκὸς λαός· τούτου γὰρ χάριν αὐτὸν καὶ ἐκάλεσεν, ἵνα δι' αὐτοῦ δοξασθῇ.
(ι) παρὰ τῶν νοητῶν ἐχθρῶν.
(ια) ἐν τοῖς διαβολικοῖς θησαυροῖς.

Κεφ. νη': ἧς τὴν > ἧς τῆς O. ὡς ὄντος > ὡς αὐτοῦ μὲν ὄντος CO Migne. θεοῦ καὶ τὴν > θεοῦ, αὐτοῦ δὲ τὴν CO Migne.
(θ) τούτου γὰρ αὐτὸν χάριν F.

πανταχοῦ καὶ ἐν οἴκοις (ιβ) ἅμα,
ὅπου ἔκρυψαν αὐτούς (ιγ)· ἐγένοντο
εἰς προνομὴν (ιδ), καὶ οὐκ ἦν ὁ ἐξ-
αιρούμενος ἅρπαγμα, καὶ οὐκ ἦν ὁ
23 λέγων Ἀπόδος (ιε). [23] τίς ἐν ὑμῖν ὃς
ἐνωτιεῖται ταῦτα; εἰσακούσατε εἰς
24 τὰ ἐπερχόμενα (ιϛ). [24] τίς ἔδωκεν
εἰς διαρπαγὴν Ἰακὼβ καὶ Ἰσραὴλ
τοῖς προνομεύουσιν αὐτόν; οὐχὶ ὁ
θεὸς ᾧ ἡμάρτοσαν αὐτῷ (ιζ) καὶ
οὐκ ἐβούλοντο ἐν ταῖς ὁδοῖς αὐτοῦ
πορεύεσθαι οὐδὲ ἀκούειν τοῦ νόμου
25 αὐτοῦ; [25] . . . καὶ κατίσχυσεν ἐπ'
αὐτοὺς πόλεμος (ιη), καὶ οἱ συμ-
φλέγοντες (ιθ) αὐτοὺς κύκλῳ, καὶ
οὐκ ἔγνωσάν ἕκαστος αὐτῶν (κ)
οὐδὲ ἔθεντο ἐπὶ ψυχήν (κα).
43 1 Καὶ νῦν οὕτως λέγει κύριος ὁ
θεὸς ὁ ποιήσας σε Ἰακὼβ, ὁ πλάσας
σε Ἰσραήλ (κβ) Μὴ φοβοῦ, ὅτι
ἐλυτρωσάμην σε (κγ)· ἐκάλεσά σε
τὸ ὄνομά σου (κδ), ἐμὸς εἶ σύ.
2 [2] καὶ ἐὰν διαβαίνῃς δι' ὕδατος, μετὰ
σοῦ εἰμὶ, καὶ ποταμοὶ οὐ συγκλύ-
3 σουσί σε (κε)· . . . [3] ὅτι ἐγὼ κύριος
ὁ θεός σου ὁ ἅγιος Ἰσραὴλ ὁ σώζων
σε (κϛ)· ἐποίησά σου ἄλλαγμα (κζ)
Αἴγυπτον καὶ Αἰθιοπίαν καὶ Σοήνην
4 ὑπὲρ σοῦ (κη). [4] ἀφ' οὗ ἔντιμος
ἐγένου ἐναντίον μοῦ (κθ), ἐδοξάσθης,
κἀγώ σε ἠγάπησα καὶ δώσω ἀνθρώ-

(ιβ) εἰδωλικοῖς.
(ιγ) τοὺς ψευδωνύμους θεούς.
(ιδ) οἱ παρὰ δαιμόνων ἀπατηθέντες.
(ιε) θεοῦ γὰρ ἀποστραφέντος τίς ἐξαιρεῖσθαι τὸν ἄνθρωπον ἢ τοῖς δαίμοσιν ἐπιτιμᾶν τοῖς διαρπάζουσιν αὐτὸν ἔμελλεν;
(ιϛ) ἐὰν γὰρ ἐπακούσωμεν ἐν τοῖς ἑξῆς, λήθην ὁ θεὸς τῶν προλαβόντων τίθεται.
(ιζ) τουτέστιν ἐπειδὴ ἐξήμαρτον τὸν νόμον τοῦ θεοῦ ἀπωσάμενοι, διὰ τοῦτο παρ' αὐτοῦ τοῖς ἐχθροῖς παρεδόθησαν.
(ιη) τουτέστι κατεδυνάστευσεν αὐτῶν ὁ τῶν δαιμόνων πόλεμος.
(ιθ) οἱ διὰ τῶν ἡδονῶν ἐκκαίοντες.
(κ) τουτέστιν ἀναισθησίαν ἐνόσησαν.
(κα) οὐκ ἐφρόντισαν. f. 115
(κβ) τουτέστιν ὁ δημιουργήσας τὴν ψυχὴν σὺν τῷ σώματι.
(κγ) ἐκ τῆς κατάρας τῆς ἔμπροσθεν.
(κδ) Χριστοῦ γὰρ στρατιώτης ὁ χριστιανὸς ὅπερ ὁ νοητὸς Ἰσραὴλ προσηγόρευται.
(κε) τουτέστιν ἐν πᾶσι τοῖς πειρασμοῖς παρόντα με καὶ ῥυόμενον κέκτησαι.
(κϛ) ὁ Χριστὸς ὁ τὸν νοητὸν Ἰσραὴλ ἐν τῷ σώζειν ἁγιάζων.
(κζ) ἐξίλασμα.
(κη) τουτέστι διὰ τῆς ἐπιστροφῆς τῶν ἐθνῶν τὸν τοῦ πιστεύσαντος Ἰσραὴλ ἱλασμὸν ᾠκονόμησα.
(κθ) ἀφ' οὗ τὰ ἐμοὶ ἔντιμα ἐπιστεύθης μυστήρια.

22 Tisch. interpung. aliter. ἐξερούμενος A. 23 εἰσακούσατε B Hes. (vide ιϛ); εἰσακούσεται AS; A³ praem. προσέξει καὶ. 25 ψυχήν + καὶ ἀνήφθη ἐν αὐτοῖς A³. 1 ὁ πλάσας A³ B praem. καὶ.

πους πολλοὺς ὑπὲρ σοῦ (λ) καὶ
ἄρχοντας ὑπὲρ τῆς κεφαλῆς σου (λα).
5 [5] μὴ φοβοῦ (λβ), ὅτι μετὰ σοῦ εἰμί·
ἀπὸ ἀνατολῶν ἄξω τὸ σπέρμα
σου (λγ), καὶ ἀπὸ δυσμῶν (λδ)
6 συνάξω σε. [6] ἐρῶ τῷ βορρᾷ Ἄγε (λε),
καὶ τῷ λιβί Μὴ κώλυε (λϛ)·
ἄγε τοὺς υἱούς μου ἀπὸ γῆς πόρ-
7 ρωθεν (λζ) . . . [7] . . . ἐν γὰρ
τῇ δόξῃ μου (λη) κατεσκεύασα
αὐτὸν (λθ) καὶ ἔπλασα καὶ ἐποίησα
8 αὐτὸν (μ), [8] καὶ ἐξήγαγον (μα)
λαὸν τυφλὸν (μβ), καὶ ὀφθαλμοί
εἰσιν ὡσαύτως τυφλοί, καὶ κωφοὶ
9 ὦτα ἔχοντες (μγ). [9] πάντα τὰ
ἔθνη συνήχθησαν ἅμα (μδ) καὶ συν-
αχθήσονται ἄρχοντες ἐξ αὐτῶν (με)·

(λ) τοὺς μάρτυρας ὑπὲρ τῆς γῆς λυτρώσεως.

(λα) τοὺς ἀποστόλους ὑπὲρ τῆς γῆς σωτηρίας.

(λβ) πρὸς τὸν λαὸν τῆς ἐκκλησίας λέγει.

(λγ) τοὺς μάγους[a] καὶ ὅσοι ἐκ τῆς γῆς Ἀσσυρίων ἐσώθησαν οὓς «ἀπὸ ἀνατολῶν» διὰ τὴν θέσιν τῆς γῆς καλεῖ.

(λδ) ἐπειδὴ τὰ ἔθνη ἐν τῷ σκότῳ τῆς πλάνης ἐτύγχανον.

(λε) τὴν Χαναναίαν[b] καὶ ὅσοι ἐκ τῶν ὁρίων ἐκείνης ἐπίστευσαν.

(λϛ) τὸν ἐξ Αἰθιοπίων εὐνοῦχον[c] καὶ πάντας δι' αὐτοῦ τοὺς Αἰθίοπας· πρὸς λίβα γὰρ οἱ Αἰθίοπες.

(λζ) τοὺς γάρ ποτε μακρὰν, δηλαδὴ τοὺς ἐξ ἐθνῶν, ἐγγὺς ὁ Χριστὸς διὰ τῆς εὐαγγελικῆς κατεστήσατο κλήσεως.[d]

(λη) φανερώσας αὐτὴν ἐπὶ σταυροῦ καὶ ἀναστάσεως.

(λθ) τὸν ἄνθρωπον.

(μ) ἀνενέωσα αὐτὸν τὸν ἄνθρωπον ἐγκαινίσας καὶ σῶμα καὶ ψυχήν.

(μα) ἐκ πλάνης.

(μβ) τὸν ἐν ἀγνωσίᾳ.

(μγ) τουτέστιν αὐτοὶ τὰ ὄργανα τῶν αἰσθήσεων τῶν οἰκείων ἐπήρωσαν.

(μδ) διὰ τῆς εὐαγγελικῆς κλήσεως.

(με) οἱ ἐκ τῶν ἐθνῶν μάρτυρες ἢ f. 115v
ἱερεῖς ἢ διδάσκαλοι.

---

7 ἔπλασα + αὐτὸν A^3 B.
(μα) τὸν ἐκ πλάνης F.

---

[a] Matth. 2^1. [b] Ibid. 15^{22}. [c] Act. 8^{27}. [d] Eph. 2^{13}.

τίς ἀναγγελεῖ ταῦτα (μϛ); ἢ τὰ
ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν;
ἀγαγέτωσαν (μζ) τοὺς μάρτυρας
αὐτῶν (μη) καὶ δικαιωθήτωσαν (μθ)
καὶ ἀκουσάτωσαν (ν) καὶ εἰπάτωσαν
10 ἀληθῆ (να). 10 γένεσθέ μοι μάρ-
τυρες (νβ), κἀγὼ μάρτυς (νγ),
λέγει κύριος ὁ θεὸς, καὶ ὁ παῖς (νδ)
ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ
πιστεύσητέ μοι καὶ συνῆτε, ὅτι ἐγώ
εἰμι (νε)· ἔμπροσθέν μου οὐκ
ἐγένετο ἄλλος θεὸς, καὶ μετ' ἐμὲ
12 οὐκ ἔσται (νϛ) . . . 12 ἀνήγγειλα
καὶ ἔσωσα (νζ), ὠνείδισα, καὶ οὐκ ἦν
ἐν ὑμῖν ἀλλότριος (νη)· ὑμεῖς (νθ)
ἐμοὶ μάρτυρες, κἀγὼ μάρτυς, λέγει
13 κύριος ὁ θεὸς (ξ), 13 ἔτι ἀπ' ἀρχῆς,
καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου
14 ἐξαιρούμενος (ξα) . . . 14 οὕτως
λέγει κύριος ὁ θεὸς ὁ λυτρούμενος
ὑμᾶς ὁ ἅγιος Ἰσραήλ (ξβ) Ἕνεκεν
ὑμῶν ἀποστελῶ εἰς Βαβυλῶνα καὶ
ἐπεγερῶ πάντας φεύγοντας (ξγ),

(μϛ) οὐδεὶς πλὴν τοῦ Χριστοῦ ἢ ὅσοι παρ' αὐτοῦ ἐσοφίσθησαν.

(μζ) τὰ ἔθνη.

(μη) τοὺς ἐξ αὐτῶν.

(μθ) τῇ πίστει μαρτυρήσαντες.

(ν) τουτέστι μανθανέτωσαν.

(να) τὴν εἰς Χριστὸν ὁμολογίαν· αὕτη γὰρ ἡ ἀλήθεια.

(νβ) τῇ γλώττῃ.

(νγ) τοῖς ἐξ οὐρανοῦ σημείοις.

(νδ) ὁ Χριστὸς ἐν τοῖς θαύμασι καὶ παθήμασι μαρτυρῶν.

(νε) ἓν γὰρ ὁ υἱὸς πρὸς τὸν πατέρα καὶ τὸ πνεῦμα.

(νϛ) ὁ γὰρ ἐπὶ συντελείᾳ φανεὶς καὶ πάλιν ὀφθῆναι προσδοκώμενος αὐτὸς ὁ πρὸ τῶν αἰώνων ἐστίν.

(νζ) διὰ προφητῶν προεῖπον, δι' ἐμαυτοῦ δὲ ἔσωσα.

(νη) ὁ γὰρ διὰ τῶν εὐαγγελίων τὴν ἀπιστίαν τοῖς Ἰουδαίοις ὀνειδίσας θεὸς τοῦ Ἰσραὴλ ἐτύγχανεν.

(νθ) οἱ ἰδόντες τὰ θαύματα.

(ξ) ὁ Χριστὸς ὁ προλαβὼν καὶ διὰ τῶν προφητῶν μηνύσας ἃ ἐπετέλεσεν ὕστερον.

(ξα) χεῖρες γὰρ ἀνθρώπου τῷ Χριστῷ, ἀλλὰ δύναμις θεοῦ.

(ξβ) τουτέστιν εἰς τὴν τοῦ Ἰσραὴλ προτροπὴν τοὺς ἐκ τῆς εἰδωλικῆς πλάνης ἐπιστρέφω.

(ξγ) κινῶ κατὰ τοῦ διαβόλου τούς ποτε ἀπὸ θεοῦ φυγάδας.

---

9 ταῦτα + ἐν αὐτοῖς A^3. καὶ εἰπάτωσαν ἀληθῆ καὶ ἀκουσάτωσαν A. 10 ὁ παῖς + μου A^3. 12 ἀνήγγειλα A^3 B praem. ἐγώ. 13 ἀπ' ἀρχῆς + ἐγώ εἰμι A^3.

καὶ Χαλδαῖοι ἐν κλοιοῖς δεθήσον-
15 ται (ξδ). [15] ἐγὼ κύριος ὁ θεὸς ὁ
ἅγιος ὑμῶν ὁ καταδείξας Ἰσραὴλ
16 βασιλέα ὑμῶν (ξε). [16] οὕτως λέγει
κύριος ὁ διδοὺς ὁδὸν ἐν θαλάσσῃ
καὶ ἐν ὕδατι ἰσχυρῷ (ξϛ) τρίβον,
17 [17] ὁ ἐξάγων ἅρματα καὶ ἵππον καὶ
ὄχλον ἰσχυρὸν, ἀλλὰ ἐκοιμήθησαν
καὶ οὐκ ἀναστήσονται, ἐσβέσθησαν
ὡς λίνον ἐσβεσμένον (ξζ).

(ξδ) ἐν γὰρ ταῖς ἐκκλησίαις οἱ ἐξ ἐθνῶν προσδεσμοῦνται τῷ Χριστῷ τῇ πίστει καὶ τῇ χάριτι.

(ξε) ὁ φανερώσας ὑμῖν τοῖς ἐξ Ἰσραὴλ τὸν βασιλέα τὸν ὑμέτερον.

(ξϛ) τῇ θαλάσσῃ τοῦ βαπτίσματος ἧς τὸ ὕδωρ ἰσχυρόν· πᾶσα γὰρ ἁμαρτία ἐν αὐτῇ κατακλύζεται.

(ξζ) ὥσπερ γὰρ εἰς τὴν ἐρυθρὰν θάλασσαν τὸν στρατὸν ἀπώλεσε ἀγαγὼν τὸν Αἰγύπτιον, οὕτω καὶ τὸν τῶν δαιμόνων ἄγει στρατὸν καὶ κοιμίζει τουτέστιν ἀποσβέννυσιν ἐν τῇ θαλάσσῃ τοῦ βαπτίσματος.

43^{18}—44^{5}. Κεφ. νθ'.

Παραίνεσις τῷ Ἰσραὴλ μὴ προσέχειν τῇ ἀρχαίᾳ πολιτείᾳ, ἀλλὰ τοῖς τῆς ἐκκλησίας μυστηρίοις ὡς τοῦ θεοῦ τὰς Ἰουδαϊκὰς μὲν θυσίας οὐκ ἐθέλοντος, διὰ μετανοίας δὲ τοὺς προσιόντας σώζοντος· καὶ ὑπόσχεσις τῷ νέῳ Ἰσραὴλ διὰ τῆς δωρεᾶς ἀνθήσειν τοῦ βαπτίσματος.

18 [18] Μὴ μνημονεύετε τὰ πρῶτα (α),
καὶ τὰ ἀρχαῖα (β) μὴ συλλογίζεσθε·
19 [19] ἰδοὺ ποιῶ καινὰ (γ) ἃ νῦν ἀνατελεῖ,
καὶ γνώσεσθε αὐτά. καὶ ποιήσω ἐν
τῇ ἐρήμῳ ὁδὸν καὶ ἐν τῇ ἀνύδρῳ
20 ποταμούς (δ)· [20] εὐλογήσει με τὰ
θηρία τοῦ ἀγροῦ, σειρῆνες καὶ

(α) τὰς νομικὰς παραδόσεις· πρόσκαιροι γὰρ ἐτύγχανον. f. 116

(β) τὰ τῆς σκιᾶς τοῦ νομικοῦ γράμματος.

(γ) τὰ εὐαγγελικὰ μυστήρια.

(δ) ἐν τῇ ἐκκλησίᾳ τὴν πολιτείαν τῆς χάριτος καὶ τὰς πηγὰς τοῦ βαπτίσματος.

---

16 οὕτως A[8] praem. ὅτι. Κεφ. νθ': numerum cap. om. C. τὰς μὲν Ἰουδαϊκὰς θυσίας V. οὐκ ἐθέλοντος > οὐ καθελόντος Migne; etiam in C intra lineam οὐ καθελόντος, sed in margine correctum οὐκ ἐθέλοντος. 17 post ἰσχυρὸν Tisch. plenius interpung. 18 A om. μή. 19 ἰδοὺ A[8] praem. ὅτι et add. ἐγώ.

θυγατέρες στρουθῶν (ε), ὅτι ἔδωκα
ἐν τῇ ἐρήμῳ ὕδωρ καὶ ποταμοὺς ἐν
τῇ ἀνύδρῳ, ποτιῶ τὸ γένος μου τὸ
21 ἐκλεκτὸν (ϛ), [21] λαόν μου ὃν
περιεποιησάμην τὰς ἀρετάς μου
22 διηγεῖσθαι (ζ). [22] οὐ νῦν ἐκάλεσά
σε Ἰακὼβ, οὐ κοπιᾶσαί σε ἐποίησα
24 Ἰσραήλ (η)· . . . [24] οὐδὲ ἐκτήσω
μοι ἀργυρίου θυμίαμα . . ., ἀλλὰ
ἐν ταῖς ἁμαρτίαις σου καὶ ἐν ταῖς
25 ἀδικίαις σου προέστην σου (θ). [25] ἐγώ
εἰμι (ι), ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς
26 ἀνομίας σου ἕνεκεν ἐμοῦ (ια) . . . [26] σὺ
δὲ μνήσθητι (ιβ), καὶ κριθῶμεν (ιγ)·
λέγε σὺ τὰς ἀνομίας σου πρῶτος,
27 ἵνα δικαιωθῇς (ιδ). [27] οἱ πατέρες
ὑμῶν πρῶτοι (ιε) καὶ οἱ ἄρχοντες
28 αὐτῶν (ιϛ) ἠνόμησαν εἰς ἐμέ, [28] καὶ
ἐμίαναν οἱ ἄρχοντες τὰ ἅγιά μου (ιζ)·

(ε) οἱ ἐκ τῶν ἐθνῶν ἐπιστρέφοντες· ἐν γὰρ τῷ δουλεύειν δαίμονος θῆρες ἦσαν καὶ σειρῆνες καὶ θυγατέρες στρουθῶν ἅπερ δαιμόνων ὀνόματα.

(ϛ) τὸ κληθὲν διὰ χάριτος.

(ζ) τοῖς τῆς σαρκώσεως θαύμασι καὶ παθήμασιν.

(η) τὸν πιστὸν λαὸν αἰνίττεται· οὗτος γὰρ ὁ νοητὸς Ἰσραὴλ ὃν πάλαι μὲν καλεῖν ἤρξατο διὰ Ἀβραὰμ ὅνπερ πατέρα τῶν διὰ πίστεως σωζομένων κατέστησεν·[a] θυσία δὲ αὐτὸν νομικὴ ἢ ἑτέρα τοιαύτη προσφορὰ οὐ κατεδούλωσεν.

(θ) τουτέστιν ἐν ἁμαρτίαις εὗρόν σε καὶ προέστην σου ἀναλαβὼν ταύτας καί σε ποιήσας ἀνεύθυνον.

(ι) ὁ διὰ προφητῶν λαλῶν καὶ διὰ εὐαγγελίων φθεγγόμενος.

(ια) τουτέστι διὰ τὴν ἐμὴν συμπάθειαν καὶ ὅτι σαρκωθεὶς εἱλόμην τὴν πρὸς ὑμᾶς συγγένειαν.

(ιβ) ἵνα μὴ προσθῇς ἕτερα.

(ιγ) ἵνα μάθῃς, πόσα σὺ μὲν ἥμαρτες, ἐγὼ δὲ δεδώρημαι.

(ιδ) ὁ γὰρ ἐνταῦθα ἐξομολογούμενος δικαιοῦται καὶ οὐκ ἔχει ἐν τῇ κρίσει κατήγορον.

(ιε) τὴν μοσχοποιΐαν· τότε γὰρ ὁ λαὸς πρὸ τῶν ἀρχόντων ἥμαρτεν.

(ιϛ) οἱ ἡγούμενοι τοῦ λαοῦ τὸν νόμον παρερμηνεύοντες.

(ιζ) οἱ ἱερεῖς τὰς προσφορὰς καπηλεύοντες.

---

25 προέστην σου AS Hes. (vide θ), προέστης μου B. ἕνεκεν ἐμοῦ A[s] B Hes. (vide ια); om. AS. 27 πατέρες ἡμῶν A.

---

[a] Gal. 3[7].

f. 116v

καὶ ἔδωκα ἀπολέσαι (ιη) Ἰακὼβ
καὶ Ἰσραὴλ εἰς ὀνειδισμόν (ιθ).
44 1 Νῦν δὲ ἄκουσον, παῖς μου Ἰακὼβ
καὶ Ἰσραὴλ ὃν ἐξελεξάμην (κ).
2 ²οὕτως λέγει κύριος ὁ θεὸς ὁ ποιήσας
σε καὶ ὁ πλάσας σε ἐκ κοιλίας (κα)
Ἔτι βοηθηθήσῃ· μὴ φοβοῦ παῖς
3 μου Ἰακὼβ (κβ) . . . ³ὅτι ἐγὼ
δώσω ὕδωρ (κγ) ἐν δίψει (κδ) τοῖς
πορευομένοις ἐν ἀνύδρῳ (κε), ἐπιθήσω
τὸ πνεῦμά μου ἐπὶ τὸ σπέρμα
4 σου (κϛ) . . . ⁴καὶ ἀνατελοῦσι ὡσεὶ
χόρτος ἀνὰ μέσον ὕδατος (κζ) καὶ
ὡς ἰτέα ἐπὶ παραρρέον ὕδωρ (κη).
5 ⁵οὗτος ἐρεῖ Τοῦ θεοῦ εἰμί· καὶ
οὗτος ἐρεῖ ἐπὶ τῷ ὀνόματι Ἰακὼβ,
καὶ ἕτερος ἐπιγράψει χειρὶ αὐτοῦ
Τοῦ θεοῦ εἰμί, ἐπὶ τῷ ὀνόματι
Ἰσραήλ (κθ).

(ιη) διὰ τῆς αἰχμαλωσίας.

(ιθ) δουλεύοντες γὰρ τοῖς ἔθνεσι παρ' αὐτῶν ὀνειδίζονται.

(κ) οὐ πρὸς πάντα λέγει τὸν Ἰσραήλ, ἀλλὰ τὸν ἐκλεκτόν· τὸν πιστὸν γὰρ λαὸν ἡ προφητεία αἰνίττεται.

(κα) οὐ μόνον τῆς σαρκὸς, ἀλλὰ καὶ τῆς νοητῆς τοῦ βαπτίσματος.

(κβ) τὴν κατάραν τὴν ἔμπροσθεν.

(κγ) τὸ τοῦ βαπτίσματος.

(κδ) τοῖς διψῶσι τὴν δικαιοσύνην.[a]

(κε) ἐν τῇ ἐκκλησίᾳ· ἄνυδρος γὰρ ἦν πρὶν λάβῃ τὴν χάριν τοῦ βαπτίσματος.

(κϛ) ἐπὶ τοὺς πιστοὺς τὴν χορηγίαν τοῦ πνεύματος.

(κζ) τουτέστιν οὐ μαρανθήσονταί ποτε οἱ διὰ τοῦ βαπτίσματος ἀναγεννώμενοι.

(κη) τουτέστιν οὐ ξηρανθήσονται οἱ τῷ δακρύῳ τῆς μετανοίας ποτιζόμενοι.

(κθ) τουτέστιν ἕκαστος τῶν βαπτιζομένων ὁ μὲν διὰ γλώττης καυχήσεται τοῦ θεοῦ τὴν οἰκείωσιν, ὁ δὲ ζωγραφῶν τῇ χειρὶ τὸν σταυρὸν τῆς δουλείας τῆς τοῦ κυρίου σύμβολον· ἐπὶ τῷ ὀνόματι πάντες τουτέστιν ἐπὶ τῇ συγγενείᾳ τοῦ νοητοῦ Ἰακὼβ καὶ Ἰσραὴλ σεμνυνόμενοι.

---

28 Ἰσραὴλ > Ἱερουσαλὴμ A. 4 ἰτέα > εἰτέα A. 5 ἐπιγράψει > ἐπιγράφει A. χειρὶ αὐτοῦ A^{3} B Hes. (vide κθ); om. AS. ἐπὶ τῷ ὀνόματι A^{3} B praem. καὶ. Ἰσραὴλ + βοήσεται A^{3} B.

---

[a] Matth. 5^{6}.

44^{6-22}. Κεφ. ξʹ.

Προσφώνησις περὶ Χριστοῦ ὡς ἂν τοῦ θεοῦ αἰωνίου τυγχάνοντος· καὶ διαβολὴ τῶν τὰ εἴδωλα ποιούντων καὶ προσκυνούντων ἅπερ αὐτοὶ ἐξ ὕλης ἀσθενοῦς κατεσκεύασαν· καὶ παραίνεσις τῷ Ἰσραὴλ λήθην θεοῦ μὴ κτήσασθαι.

6 [6] Οὕτως λέγει ὁ θεὸς ὁ βασιλεὺς
τοῦ Ἰσραὴλ . . . Ἐγὼ πρῶτος καὶ
ἐγὼ μετὰ ταῦτα (α), πλὴν ἐμοῦ
7 οὐκ ἔστι θεός. [7] τίς ὥσπερ ἐγώ;
στήτω (β), καλεσάτω (γ) καὶ
ἑτοιμασάτω μοι ἀφ' οὗ ἐποίησα
ἄνθρωπον εἰς τὸν αἰῶνα (δ), . . .
8 [8] μὴ παρακαλύπτεσθε (ε)· οὐκ ἀπ'
ἀρχῆς ἠνωτίσασθε (ϛ), καὶ ἀπήγγειλα
ὑμῖν; μάρτυρες ὑμεῖς ἐστε (ζ), εἰ
ἔστι θεὸς πλὴν ἐμοῦ. καὶ οὐκ ἦσαν
9 τότε [9] οἱ πλάσσοντες (η) καὶ
γλύφοντες, πάντες μάταιοι, οἱ
ποιοῦντες τὰ καταθύμια αὐτῶν ἃ
οὐκ ὠφελήσει αὐτούς (θ). καὶ μάρτυρες
αὐτῶν εἰσιν, οὐκ ὄψονται καὶ οὐ
γνώσονται, ἀλλὰ αἰσχυνθήσονται (ι)
10 [10] πάντες οἱ πλάσσοντες θεὸν καὶ
11 γλύφοντες ἀνωφελῆ, [11] καὶ πάντες
ὅθεν ἐγένοντο ἐξηράνθησαν (ια)· . . .

(α) ἐγὼ ἐν νόμῳ καὶ ἐγὼ ἐν εὐαγγελίοις.

(β) παρρησιασάσθω.

(γ) τὸν ἄνθρωπον εἰς σωτηρίαν, ὡς ἐγὼ καλῶ.

(δ) τουτέστιν ἑτοίμως ἐξηγησάσθω τὰ ἀπὸ τῆς δημιουργίας τοῦ ἀνθρώπου μέχρι τέλους μυστήρια.

(ε) μὴ ἀπατᾶσθε.

(ϛ) κατ' ἐρώτησιν λέγει, τουτέστιν ἄνωθεν καὶ πάλιν ἀκηκόατε.

(ζ) τὰ καθ' ἑκάστην γενεὰν παρ' ἐμοῦ πραχθέντα μεμαθηκότες θαύματα.

(η) μετὰ γενεὰς γὰρ πολλὰς ἡ f. 117
κατασκευὴ τῆς τῶν Ἰουδαίων πλάνης ἤρξατο.

(θ) πλάνης γὰρ ἐρασθέντες εἴδωλα κατεσκεύασαν τὰ μηδὲν ὠφελῆσαι δυνάμενα.

(ι) οἱ γὰρ εἰδώλῳ θρησκεύοντες τῆς ἀναισθησίας αὐτοῦ μετέχουσι καί εἰσιν ἐν αἰσχύνῃ καθάπερ οἱ χαλκεύοντες.

(ια) τουτέστι κατηργήθησαν οἱ παρὰ ἀνθρώπων εἰς θεοὺς

Κεφ. ξʹ: Προσφώνησις > Προφώνησις C. τοῦ θεοῦ > τοῦ Χριστοῦ V. 6 πλὴν A^8 praem. καὶ. 7 καλεσάτω + καὶ ἀναγγειλάτω A^8 B. 8 παρακαλύπτεσθε A^8 B add. μηδὲ πλανᾶσθε; cf. (ε). 9 καὶ μάρτυρες αὐτῶν . . . οὐ γνώσονται A^8; Hes. idem legisse ex (ι) apparet: τῆς ἀναισθησίας! om. ABS; de F vide Holmes-Parsons.

καὶ ἐντραπήτωσαν καὶ αἰσχυνθήτω-
12 σαν ἅμα (ιβ). [12] ὅτι ὤξυνε τέκτων
σίδηρον . . . καὶ ἐν τερέτρῳ (ιγ)
ἔστησεν αὐτὸ . . . καὶ πεινάσει καὶ
ἀσθενήσει καὶ οὐ μὴ πίῃ ὕδωρ (ιδ).
13 [13] . . . ἐποίησεν αὐτὸ ὡς μορ-
14 φὴν (ιε) ἀνδρὸς . . . [14] ὃ ἔκοψε
κέδρους (ις) καὶ ἔλαβε πρῖνον (ιζ)
καὶ δρῦν καὶ ἐκαρτέρωσεν ἑαυτῷ
ξύλον ἐκ τοῦ δρυμοῦ ὃ ἐφύτευσε
15 κύριος (ιη) . . . [15] . . . τὸ δὲ λοιπὸν
εἰργάσατο εἰς θεοὺς καὶ προσκυνεῖ
17 αὐτοῖς (ιθ). . . . [17] τὸ δὲ λοιπὸν
ἐποίησεν εἰς θεὸν γλυπτὸν (κ) . . .
18 [18] οὐκ ἔγνωσαν φρονῆσαι, ὅτι
ἀπημαυρώθησαν τοῦ βλέπειν τοῖς
ὀφθαλμοῖς αὐτῶν καὶ τοῦ νοῆσαι τῇ
19 καρδίᾳ αὐτῶν (κα). [19] οὐκ ἐλογίσατο
τῇ καρδίᾳ αὐτοῦ . . . ὅτι τὸ ἥμισυ
αὐτοῦ κατέκαυσεν ἐν πυρὶ . . . καὶ

σχηματισθέντες, ἀλλ' εὑρεθέντες ἀναίσθητοι.

(ιβ) τὰ εἴδωλα καὶ οἱ τούτων τεχνῖται· ἀπὸ γὰρ τοῦ σχήματος τῶν ἔργων καὶ τῶν ἐπ' αὐτοῖς ὀργάνων ἔχουσι καὶ οἱ τεχνῖται τῆς αἰσχύνης τὸν ἔλεγχον.

(ιγ) τρυπάνῳ.

(ιδ) τουτέστιν ἐκλείψει μὲν ὥσπερ ἀπὸ λιμοῦ τῷ χρόνῳ καὶ σαθρωθήσεται· ὡς νεκρὸν δὲ ξύλον οὐ πιανθήσεται.

(ιε) οὐ «μορφὴν», ἀλλ' «ὡς μορφήν»· μορφὴ γὰρ κυρίως ἡ ἐμπνέουσα λέγεται.

(ις) τουτέστι δι' ὃ ἔκοψε κέδρους.

(ιζ) ἀγριοβάλανον.

(ιη) κύριος γὰρ ζωογονεῖ τὰ διὰ f. 117v
τῶν ἀνθρώπων φυτευόμενα.

(ιθ) οὐκ «αὐτῷ» φησιν, ἀλλ' «αὐτοῖς προσκυνεῖ», ἐπειδὴ ἐν εἰδώλοις πολλοὺς θεοὺς πολλάκις ἐπονομάζουσιν.

(κ) εἰς εἴδωλον.

(κα) τουτέστι τῇ ἀπάτῃ σκοτισθέντες οὔτε τοῖς ἔξωθεν ὀφθαλμοῖς ἀκίνητα καὶ ἀναίσθητα θεωροῦντες τὰ εἴδωλα τὴν πλάνην τὴν ἐν αὐτοῖς διακρίνουσιν, οὔτε τῇ διανοίᾳ κατανοοῦσι τὴν ἐν αὐτοῖς ματαιότητα ἐκ τῆς ὕλης αὐτὴν καὶ τῆς κατασκευῆς ἐξ ἧς ἐστι γεγονότα λογιζόμενοι.

---

12 ἔτρησεν pro ἔστησεν A. 13 αὐτὸ + ἐν παραγωνίσκοις καὶ ἐμόρφωσεν αὐτὸν ἐν παραγραφίδι καὶ ἐποίησεν αὐτὸ A[8]. 14 sic F et Hes. (vide ις et ιζ); ὃ ἔκοψε ξύλον ἐκ τοῦ δρυμοῦ A; ὃ ἔκοψε ἑαυτῷ κέδρους καὶ ἔλαβεν ἀγριοβάλανον καὶ δρῦν καὶ ἐκαρτέρωσεν ἑαυτῷ A[8]. 15 προσκυνεῖ αὐτοῖς Hes. (vide ιθ). προσκυνοῦσιν αὐτούς AS. αὐτοῖς + ἐποίησεν αὐτῷ γλύπτον καὶ κάμπτει αὐτοῖς A[8]. 17 λοιπὸν + αὐτοῦ A[8]. ἐποίησε (εἰς A[8]) θεὸν A.

τὸ λοιπὸν αὐτοῦ εἰς βδέλυγμα (κβ)
ἐποίησε καὶ προσκυνοῦσιν αὐτῷ.
20 [20] γνῶτε, ὅτι σποδὸς ἡ καρδία
αὐτῶν (κγ), καὶ πλανῶνται, καὶ
οὐδεὶς δύναται ἐξελέσθαι τὴν ψυχὴν
αὐτοῦ (κδ)· ἴδετε, οὐκ ἐρεῖτε, ὅτι
ψεῦδος ἐν τῇ δεξιᾷ μου (κε).
21 [21] μνήσθητι ταῦτα Ἰακὼβ καὶ
Ἰσραὴλ, ὅτι παῖς μου εἶ σύ (κϛ)·
ἔπλασά σε παῖδά μου (κζ), καὶ σὺ
22 Ἰσραὴλ μὴ ἐπιλανθάνου μου. [22] ἰδοὺ
γὰρ ἀπήλειψα ὡς νεφέλην τὰς
ἀνομίας σου, καὶ ὡς γνόφον τὰς
ἁμαρτίας σου (κη)· ἐπιστράφηθι
πρὸς μὲ, καὶ λυτρώσομαί σε.

(κβ) εἰς εἴδωλα· βδέλυγμα γὰρ καὶ θεῷ καὶ ἀνθρώποις τοῖς εὐσεβέσι τὰ εἴδωλα.
(κγ) τουτέστι παρὰ πάντων πατουμένη καὶ πανταχοῦ σκορπιζομένη· τοῦτο γὰρ σποδοῦ ἴδιον.
(κδ) ἐπειδὴ ἑαυτὸν εἰς ἀπάτην ὁ f. 118
δουλεύων τοῖς εἰδώλοις ἐξέδωκεν.
(κε) ἀληθινὰ γὰρ τῆς δεξιᾶς τοῦ θεοῦ τὰ ποιήματα.
(κϛ) πρὸς τὸν πιστὸν λαὸν ἡ προφητεία.
(κζ) οὐ μόνον τῇ δημιουργίᾳ τῆς φύσεως, ἀλλὰ καὶ τῇ ἀναπλάσει τῆς χάριτος.
(κη) ὥσπερ γὰρ νεφέλη καὶ γνόφος ἀκμάσαντος τοῦ ἡλίου σκορπίζονται, οὕτως ἡμῶν αἱ ἁμαρτίαι τοῦ νοητοῦ ἡλίου ἀνατείλαντος, τοῦ Χριστοῦ, ἐσκορπίσθησαν.

44^{23}—45^{7}. Κεφ. ξαʹ.

Εὐαγγελισμὸς τῆς λυτρώσεως ἣν καταργήσας τὰς τῶν δαιμόνων μαγγανείας ὁ Χριστὸς ἐπετέλεσε καὶ τὸν λαὸν τὸν νέον ἐβεβαίωσεν ὃν εἰς πρόσωπον Κύρου ἡ προφητεία αἰνίττεται, ἐπειδὴ Ἱερουσαλὴμ τὴν ἀρχαίαν ἐκεῖνος, οὗτος τὴν νέαν ἤγειρεν.

23 [23] Εὐφράνθητε οὐρανοὶ, ὅτι
ἠλέησεν ὁ θεὸς τὸν Ἰσραήλ· σαλ-
πίσατε θεμέλια τῆς γῆς, βοήσατε ὄρη
εὐφροσύνην (α), οἱ βουνοὶ καὶ πάντα
τὰ ξύλα τὰ ἐν αὐτοῖς (β), ὅτι

(α) ἐπειδὴ οὐρανοῦ καὶ γῆς καὶ τῆς κτίσεως ὅλης τῆς ὁρωμένης κληρονόμος ὁ ἄνθρωπος.
(β) ὥσπερ γὰρ ἡ κτίσις ἐπὶ τῇ ἀπάτῃ καὶ τῇ ἐξ αὐτῆς δουλείᾳ

Κεφ. ξαʹ: μαγγανείας > μαγγανίας C. ἐπετέλεσε > ἐποιήσατο V.

ἐλυτρώσατο ὁ θεὸς τὸν Ἰακὼβ, καὶ
24 Ἰσραὴλ δοξασθήσεται. [24] . . . Ἐγὼ
κύριος ὁ συντελῶν (γ) ταῦτα,
ἐξέτεινα τὸν οὐρανὸν μόνος καὶ
25 ἐστερέωσα τὴν γῆν. [25] τίς ἕτερος
διεσκέδασε σημεῖα ἐγγαστριμύθων
καὶ μαντείας ἀπὸ καρδίας (δ), ἀπο-
στρέφων φρονίμους (ε) εἰς τὰ ὀπίσω
καὶ τὴν βουλὴν αὐτῶν (ϛ) μωραίνων,
26 [26] καὶ ἱστῶν ῥήματα παιδὸς αὐτοῦ (ζ)
καὶ τὴν βουλὴν τῶν ἀγγέλων
αὐτοῦ (η) ἀληθεύων; ὁ λέγων
Ἱερουσαλὴμ (θ) Κατοικηθήσῃ, καὶ
ταῖς πόλεσι τῆς Ἰουδαίας (ι) Οἰκο-
δομηθήσεσθε, καὶ τὰ ἔρημα αὐτῆς
27 ἀνατελεῖ· [27] ὁ λέγων τῇ ἀβύσσῳ (ια)
Ἐρημωθήσῃ, καὶ τοὺς ποταμούς
28 σου ξηρανῶ· [28] ὁ λέγων Κύρῳ
φρονεῖν, καὶ πάντα τὰ θελήματά μου
ποιήσει . . .
45 1 Οὕτως λέγει κύριος ὁ θεὸς
τῷ χριστῷ μου Κύρῳ (ιβ) οὗ
ἐκράτησα τῆς δεξιᾶς ἐπακοῦσαι
ἔμπροσθεν αὐτοῦ ἔθνη (ιγ), καὶ

τοῦ ἀνθρώπου ἐστέναξεν,[a] οὕτως ἐπὶ τῇ λυτρώσει αὐτοῦ κοινωνεῖ.

(γ) ὁ γὰρ ἀρχὴν δεδωκὼς αὐτὸς καὶ τέλος δίδωσιν.

(δ) οὐδεὶς πλὴν τοῦ Χριστοῦ· πᾶσαν γὰρ Ἑλληνικὴν ἀπάτην ἐκ τῆς ἀνθρωπίνου διανοίας διὰ τῆς εὐαγγελικῆς διεσκέδασε χάριτος.

(ε) τοὺς παρ' Ἕλλησι σοφούς.

(ϛ) ἣν ἐβουλεύσαντο ἀντιθέντες τῷ ποιητῇ τὰ κτίσματα.

(ζ) τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.

(η) τῶν ἀποστόλων· οὗτοι γὰρ τὴν βουλὴν τοῦ θεοῦ ἀπαγγέλλουσιν.

(θ) τῇ νέᾳ.

(ι) ταῖς ἐκκλησίαις· πόλεις γὰρ αὗται τῆς νοητῆς Ἰουδαίας τουτέστι τῆς ἐξομολογήσεως.

(ια) τῷ βυθῷ τῆς διαβολικῆς πλάνης καὶ τοῖς ἐν αὐτῇ τῆς ἀσελγείας ῥεύμασιν.

(ιβ) οὐ μόνον τὸν τῶν Περσῶν f. 118v
βασιλέα αἰνίττεται ὅστις παρὰ θεοῦ χρηματισθεὶς τὴν Ἱερουσαλὴμ οἰκοδομηθῆναι τὴν ἀρχαίαν ἐπέτρεψεν, ἀλλὰ καὶ τὸν πιστὸν λαὸν τὸν ὄντως χριστὸν τῷ χρίσματι γενόμενον τοῦ βαπτίσματος.

(ιγ) εἰκὼν ὁ Κῦρος τοῦ λαοῦ τοῦ ἐξ ἐθνῶν πιστεύσαντος· οὗτος γὰρ χειραγωγεῖται μὲν ὑπὸ θεοῦ, τὰ ἔθνη δὲ αὐτῷ πάντα κατὰ μέρος ἀκολουθεῖ.

---

23 ἐλυτρώσατο B Hes. quia in (β) λυτρώσει; ἠλέησεν A. 25 μωραίνων > μωρεύων AS. 26 παιδὸς B Hes. (vide ζ), παίδων A. Ἱερουσαλὴμ A[s] B praem. τῇ. 1 ἐκράτησα B Hes. (vide ιγ), ἐκράτησας A.

---

[a] Rom. 8[22].

ἰσχὺν βασιλέων (ιδ) διαρρήξω,
ἀνοίξω ἔμπροσθεν αὐτοῦ θύρας (ιε),
καὶ πόλεις (ις) οὐ συγκλεισθήσονται·
2 [2] ἐγὼ ἔμπροσθεν αὐτοῦ πορεύσομαι
καὶ ὄρη ὁμαλιῶ (ιζ), θύρας χαλκᾶς
(ιη) συντρίψω καὶ μοχλοὺς σιδηροῦς
3 συγκλάσω, [3] καὶ δώσω σοι θησαυροὺς
σκοτεινοὺς ἀποκρύφους (ιθ), ἀοράτους
ἀνοίξω σοι, ἵνα γνῷς, ὅτι ἐγὼ
κύριος ὁ θεὸς ὁ καλῶν τὸ ὄνομά
4 σου (κ) θεὸς Ἰσραήλ. [4] ἕνεκεν Ἰακὼβ
τοῦ παιδός μου καὶ Ἰσραὴλ τοῦ
ἐκλεκτοῦ μου ἐγὼ καλέσω σε τῷ
ὀνόματί σου καὶ προσδέξομαί σε (κα)·
5 σὺ δὲ οὐκ ἔγνως με, [5] ὅτι ἐγὼ
κύριος ὁ θεός, καὶ οὐκ ἔστιν ἔτι
πλὴν ἐμοῦ θεός (κβ)· ἐνίσχυσά σε
6 καὶ οὐκ ᾔδεισάν με, [6] ἵνα γνῶσιν οἱ
ἀπὸ ἀνατολῶν ἡλίου καὶ οἱ ἀπὸ
δυσμῶν, ὅτι οὐκ ἔστι θεὸς πλὴν
ἐμοῦ (κγ), καὶ ὅτι ἐγὼ κύριος ὁ
7 θεός, καὶ οὐκ ἔστιν ἔτι, [7] ἐγὼ ὁ
κατασκευάσας φῶς καὶ ποιήσας
σκότος, ὁ ποιῶν πολέμους καὶ
κτίζων κακά (κδ)· ἐγὼ κύριος ὁ
θεὸς ὁ ποιῶν ταῦτα πάντα.

(ιδ) τῶν κατὰ τοῦ εὐσεβοῦς λαοῦ χρησαμένων τῇ βασιλείᾳ.

(ιε) τὰς τῆς γνώσεως.

(ις) αἱ οὐράνιοι· τῷ πιστῷ γὰρ λαῷ διὰ τὴν πολιτείαν τὴν ὑψηλὴν αἱ κατοικίαι τῶν οὐρανῶν ἀνοίγονται.

(ιζ) ὑποτάξω τοὺς δαίμονας.

(ιη) τὰς τοῦ διαβόλου ὡς ἰσχυρὰς διὰ τὴν κατὰ τοῦ Ἀδὰμ προελθοῦσαν ἀπόφασιν.

(ιθ) τοὺς τῆς ἀποκρύφου καὶ λανθανούσης μέχρι Χριστοῦ γνώσεως.

(κ) τουτέστιν ἵνα τὰ περὶ ἐμοῦ σοφισθῇς καὶ μάθῃς, ὅτι καὶ θεός εἰμι καὶ παρ' ἐμοῦ τὴν τοῦ χριστιανοῦ προσηγορίαν κέκτησαι.

(κα) διὰ γὰρ Χριστόν, τὸν νοητὸν Ἰακὼβ, χριστιανὸς λαὸς ὁ πιστὸς προσηγόρευται καὶ εἰς τὰ τοῦ θεοῦ προσεδέχθη μυστήρια.

(κβ) οὐδὲ γὰρ ἔσχε τὰ ἔθνη νόμον ἢ προφήτας περὶ θεοῦ γνωρίζοντας.

(κγ) οὐκ ᾔδει γὰρ θεὸν πρὶν κληθῆναι ὁ ἐξ ἐθνῶν λαός· ἐκλήθη δὲ ὅμως καὶ ἠξιώθη τῆς χάριτος, ἵνα τὸν ὄντως θεὸν οἱ πανταχόθεν μάθωσιν.

(κδ) τουτέστιν ὁ ποιήσας ἡμέραν καὶ νύκτα, ὁ πολέμους ἐπιφέρων καὶ ἑτέρας παιδείας τοῖς σωφρονισμοῦ χρῄζουσιν.

---

3 ἀοράτους om. A. γνῷς B Hes. (vide κ), γνώσῃ A. 4 ὀνόματί μου A. post ἔγνως με Hes. disting. sicut ed. rom., non sicut Tisch. (vide κβ). 5 ἐνίσχυσά σε A[8] B Hes. (vide κγ); om. AS. 6 δυσμῶν + αὐτοῦ A[8]. θεὸς prius om. A. 7 ὁ ποιῶν πολέμους Hes. (vide κδ). ὁ ποιῶν εἰρήνην ABS.

45[8—16a.] Κεφ. ξβ'.

Προσφώνησις τοῖς στοιχείοις διὰ τὴν τοῦ θεοῦ περὶ τὸν ἄνθρωπον φιλανθρωπίαν εὐφραίνεσθαι· καὶ ἐπιτιμία τοῖς ἐγκαλοῦσι τῷ Χριστῷ περὶ ὧν οἰκονομεῖ δέον δοξολογεῖν μόνου καὶ προγνώστου καὶ ποιητοῦ τυγχάνοντος καὶ διὰ τοῦτο τρεχόντων πρὸς αὐτὸν τῶν ἐθνῶν εἰς προσκύνησιν.

8 [8] Εὐφρανθήτω ὁ οὐρανὸς ἄνω-
θεν (α), καὶ αἱ νεφέλαι (β) ῥαινέτωσαν
δικαιοσύνην· ἀνατειλάτω ἡ γῆ (γ)
καὶ βλαστησάτω ἔλεος, καὶ δικαιο-
σύνη ἀνατειλάτω ἅμα· ἐγώ εἰμι
9 κύριος ὁ κτίσας σε. [9] ποῖον βέλτιον
κατεσκεύασα ὡς πηλὸν κεραμέως (δ);
μὴ ὁ ἀροτριῶν ἀροτριάσει τὴν γῆν (ε);
μὴ ἐρεῖ ὁ πηλὸς τῷ κεραμεῖ Τί
ποιεῖς, ὅτι οὐκ ἐργάζῃ οὐδὲ ἔχεις
10 χεῖρας (ς); [10] ὁ λέγων τῷ πατρί
Τί γεννήσεις; καὶ τῇ μητρί Τί
11 ὠδινήσεις (ζ); [11] ὅτι οὕτως λέγει
κύριος . . . Ἐρωτήσατέ με περὶ
τῶν υἱῶν μου, καὶ περὶ τῶν ἔργων
τῶν χειρῶν μου ἐντείλασθέ μοι (η).

(α) αἱ δυνάμεις αἱ οὐράνιοι.

(β) οἱ προφῆται· τὴν γὰρ τοῦ λόγου σύλληψιν ἐκ τοῦ πνεύματος ἔχουσιν.

(γ) τὸ τοῦ κυρίου σῶμα· ἀπὸ γῆς γὰρ τοῦτο διὰ τὴν πρὸς ἡμᾶς συγγένειαν· ἐπειδὴ καὶ θεοῦ σῶμα, ἐν αὐτῷ δικαιοσύνη καὶ ἔλεος.

(δ) τουτέστι πᾶσι δημιουργῶν f. 119
ἐφύλαξα τὴν ἰσότητα.

(ε) οὐχ ὥσπερ οἱ σπείροντες καὶ γεωργοῦντές φησιν, βουλήματι δὲ τὸν ἄνθρωπον ἀπὸ τῆς γῆς παρήγαγον.

(ς) οὐ χρὴ τῷ πηλῷ περὶ ὧν οἰκονομεῖ τοὺς ἀνθρώπους ἐγκαλεῖν πρὸς τὸν κεραμέα καὶ τὸν πηλὸν ἀποβλέποντας· ὡς γὰρ βούλεται, τὸν πηλὸν ὁ κεραμεὺς ἐργάζεται.

(ζ) τουτέστιν ὁ ἀδυνάτοις ἐγχειρῶν καὶ τὸν θεὸν λογιστεύων περὶ ὧν αὐτῷ πρὶν ἡμᾶς γεννηθῆναι βεβούλευται.

(η) πρῶτόν φησι «τίνας υἱοὺς ἔχω καὶ κληρονόμους, μάθετε» καὶ

Κεφ. ξβ': τὸν ἄνθρωπον > τῶν ἀνθρώπων CO Migne. δέον > δὲ ὃν O. δοξολογεῖν + οὗ Migne. καὶ ante προγνώστου om. Migne. τῶν ante ἐθνῶν om. C. 10 ὁ λέγων A[s] praem. Οὐαὶ. 11 υἱῶν μου + καὶ περὶ τῶν θυγατέρων μου A.

12 [12] ἐγὼ ἐποίησα γῆν . . . ἐγὼ πᾶσι
τοῖς ἄστροις ἐνετειλάμην (θ).
13 [13] ἐγὼ ἤγειρα αὐτὸν μετὰ δικαιοσύνης
βασιλέα (ι) καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ
εὐθεῖαι (ια)· αὐτὸς οἰκοδομήσει τὴν
πόλιν μου (ιβ), καὶ τὴν αἰχμαλωσίαν
τοῦ λαοῦ μου ἐπιστρέψει (ιγ), οὐ
μετὰ λύτρων οὐδὲ μετὰ δώρων (ιδ),
14 εἶπε κύριος Σαβαώθ. [14] οὕτως λέγει
κύριος Σαβαώθ Ἐκοπίασεν Αἴγυ-
πτος (ιε) καὶ ἐμπορία Αἰθιόπων (ιϛ),
καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ (ιζ)
ἐπὶ σὲ διαβήσονται, καὶ σοὶ ἔσονται
δοῦλοι, καὶ ὀπίσω σου ἀκολουθήσουσι
δεδεμένοι χειροπέδαις (ιη) καὶ
προσκυνήσουσί σοι (ιθ) καὶ ἐν σοὶ
προσεύξονται· ὅτι ἐν σοὶ ὁ θεός
ἐστι (κ), καὶ οὐκ ἔστι θεὸς πλὴν
15 σοῦ (κα). [15] σὺ γὰρ εἶ θεός, καὶ
οὐκ ᾔδειμεν (κβ), ὁ θεὸς τοῦ
16 Ἰσραὴλ σωτήρ. [16] αἰσχυνθήσονται
καὶ ἐντραπήσονται πάντες οἱ ἀντι-
κείμενοι αὐτῷ καὶ πορεύσονται ἐν
αἰσχύνῃ.

τότε «τὴν οἰκονομίαν τῶν ἔργων πολυπραγμονήσατε».

(θ) τὸν δρόμον ὅνπερ τρέχειν ὀφείλουσιν.

(ι) ἐγὼ τοῦ Χριστοῦ καὶ τὴν δικαιοσύνην καὶ τὴν βασιλείαν ἐφανέρωσα.

(ια) ὡς θεοῦ τοῦ Χριστοῦ.

(ιβ) τὴν νέαν Ἱερουσαλήμ.

(ιγ) ἐκ τῆς αἰχμαλωσίας τοῦ διαβόλου ῥυόμενος.

(ιδ) οὐδὲ γὰρ λαβεῖν χρῄζει, ἀλλ' οὐδὲ εὗρεν ἐν ἡμῖν ἔργα τὰ λυτρώσασθαι δυνάμενα.

(ιε) τουτέστιν ἠσθένησεν ἐν τῇ Ἑλληνικῇ πλάνῃ.

(ιϛ) ἣν ἐν τοῖς δαίμοσιν ἐνεπορεύοντο Αἰθίοπες.

(ιζ) οἱ μάγοι· ἐκ Σαβὰ γὰρ τὸ γένος· ἀλλὰ καὶ ὑψηλοὶ ἐδόκουν, ἐπειδὴ περὶ τὸν μετεωρισμὸν τῶν ἀστέρων ἠσχόληντο.

(ιη) ταῖς προρρήσεσι τοῦ Βαλαὰμ f. 119v
αἷς ἑλκυσθέντες τὸν ἀστέρα τὸν μηνύοντα τοῦ Χριστοῦ τὴν βασιλείαν ἐπέγνωσαν.

(ιθ) τῷ πατρὶ ὡς ἐν υἱῷ.

(κ) ἐν τῷ Χριστῷ ὁ πατήρ.

(κα) ἓν γὰρ πρὸς τὸν πατέρα ὁ υἱός.

(κβ) ἐπειδὴ ἡ σὰρξ μέχρι τινὸς τὴν θεότητα ἔκρυψεν.

---

13 βασιλέα om. A. 14 Σαβαεὶμ > Σεβωεὶμ A. χειροπέδαις + καὶ διαβήσονται πρὸς σὲ A^3. καὶ ἐροῦσιν Οὐκ ἔστιν ὁ θεὸς πλὴν σοῦ A.
(ιδ) εὗρεν ἐν ἡμῖν > εὗρε ἡμῖν F.

45^{16b}—46^{13}. Κεφ. ξγ΄.

Προφητεία ἐκκλησιῶν ἐγκαινισμοῦ· καὶ ὅπως ὁ Χριστὸς ὡς θεὸς καὶ δημιουργὸς μάταιον μὲν οὐδὲν τῷ Ἰσραὴλ ἐντέλλεται, τὰ ἔθνη δὲ καλεῖ καὶ σώζει· καὶ αὐτῷ μὲν πᾶν γόνυ κάμψει, τὰ εἴδωλα δὲ παρ' αὐτοῦ συντριβήσεται· καὶ κατηγορία τοῦ Ἰσραὴλ ἐπὶ τῇ εἰδωλικῇ πλάνῃ· καὶ παραίνεσις προσδραμεῖν τῷ Χριστῷ ὡς οἰκονομεῖν τὰ μυστήρια μέλλοντι ἅπερ εἰς σωτηρίαν τοῦ Ἰσραὴλ προέθετο.

Ἐγκαινίζεσθε πρός με νῆσοι (α).
17 [17] Ἰσραὴλ σώζεται ὑπὸ κυρίου
σωτηρίαν αἰώνιον· οὐκ αἰσχυνθήσονται
οὐδὲ μὴ ἐντραπῶσιν ἕως τοῦ αἰῶνος
18 ἔτι (β). [18] οὕτως λέγει κύριος ὁ
ποιήσας τὸν οὐρανόν, οὗτος ὁ θεὸς
ὁ καταδείξας τὴν γῆν καὶ ποιήσας
αὐτὴν (γ), αὐτὸς διώρισεν αὐτὴν (δ),
οὐκ εἰς κενὸν ἐποίησεν αὐτήν, ἀλλὰ
κατοικεῖσθαι (ε)· ἐγώ εἰμι, καὶ οὐκ
19 ἔστιν ἔτι. [19] οὐκ ἐν κρυφῇ λελάληκα,
οὐδὲ ἐν τόπῳ γῆς σκοτεινῷ (ϛ)· οὐκ
εἶπα τῷ σπέρματι Ἰακὼβ Μάταιον
ζητήσατε (ζ)· ἐγώ εἰμι, ἐγώ εἰμι
λαλῶν δικαιοσύνην καὶ ἀναγγέλλων
20 ἀλήθειαν (η). [20] συνάχθητε καὶ ἥκετε,
βουλεύσασθε ἅμα οἱ σωζόμενοι (θ)
ἀπὸ τῶν ἐθνῶν. οὐκ ἔγνωσαν οἱ
αἴροντες τὸ ξύλον γλύμμα αὐτῶν,
καὶ προσευχόμενοι ὡς πρὸς θεοὺς οἳ

(α) αἱ ἐκκλησίαι· κυκλοῦνται γὰρ ὡς αἱ νῆσοι τοῖς ὕδασι τοῦ βαπτίσματος.

(β) οὐκέτι γὰρ μὴ ἐντραπῶσιν, εἰ καὶ διὰ τὴν πλάνην τῶν εἰδώλων ἐνετράπησαν πρότερον.

(γ) ὁ παραγαγὼν καὶ κοσμήσας.

(δ) εἰπὼν Συναχθήτω τὰ ὕδατα εἰς συναγωγὴν μίαν καὶ ὀφθήτω ἡ ξηρά.[a]

(ε) τουτέστι διὰ τὸν ἄνθρωπον ὁ θεὸς τὴν κτίσιν τὴν ὁρωμένην παρήγαγεν.

(ϛ) πανταχοῦ γὰρ τὸ εὐαγγέλιον τῆς σωτηρίας ἐκήρυξεν.

(ζ) τουτέστιν οὐκ εἶπον τοῖς Ἰουδαίοις πορευθῆναι πρὸς εἴδωλα, τὴν γνῶσιν δὲ αὐτοὺς τὴν ἀληθῆ τοῦ πατρὸς ἐδίδαξα.

(η) ἀληθείας γὰρ καὶ δικαιοσύνης μεστὸν τοῦ θεοῦ τὸ εὐαγγέλιον.

(θ) τουτέστι κοινῇ πάντες οἱ σωθῆναι βουλόμενοι περὶ τῆς ἀληθοῦς θεοσεβείας βουλεύσασθε.

Κεφ. ξγ΄: καλεῖ καὶ σώζει > καλῇ καὶ σώζῃ V. σωτηρίαν + προσδραμεῖν τῷ Χριστῷ O; oculus describentis in lineam superiorem archetypi aberravit. τοῦ Ἰσραὴλ > τῷ Ἰσραὴλ V Migne. 17 A om. ἔτι in fine, Hes. pon. cum B. 18 λέγει κύριος + ὁ θεὸς A^{8}. 19 ἐγώ εἰμι, ἐγώ εἰμι + κύριος A^{8} B.

---

[a] Gen. 1[9]: συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ.

21 οὐ σώζουσιν (ι). [21] εἰ ἀναγγέλλουσιν,
ἐγγισάτωσαν (ια), ἵνα γνῶσιν ἅμα,
τίς ἀκουστὰ ἐποίησε ταῦτα ἀπ'
ἀρχῆς· τότε ἀνηγγέλη ὑμῖν Ἐγὼ
ὁ θεὸς, καὶ οὐκ ἔστιν ἄλλος πλὴν
ἐμοῦ, δίκαιος καὶ σωτὴρ (ιβ), οὐκ
ἔστιν ἄλλος πάρεξ ἐμοῦ . . .
23 [23] κατ' ἐμαυτοῦ ὀμνύω (ιγ), εἰ μὴ
ἐξελεύσεται ἐκ τοῦ στόματός μου
δικαιοσύνη (ιδ), οἱ λόγοι μου οὐκ
ἀποστραφήσονται (ιε), ὅτι ἐμοὶ (ις)
κάμψει πᾶν γόνυ, καὶ ἐξομολογήσεται
24 πᾶσα γλῶσσα τῷ θεῷ, [24] λέγων
Δικαιοσύνη καὶ δόξα πρὸς αὐτὸν
ἥξουσι (ιζ), καὶ αἰσχυνθήσονται
πάντες οἱ ἀφορίζοντες (ιη) αὐτούς·
25 [25] ἀπὸ κυρίου δικαιωθήσονται, καὶ
ἐν τῷ θεῷ ἐνδοξασθήσονται καὶ πᾶν
τὸ σπέρμα τῶν υἱῶν Ἰσραήλ (ιθ).
46 1 Ἔπεσε Βὴλ (κ), συνετρίβη
Δαγὼν (κα), ἐγένετο τὰ γλυπτὰ

(ι) τουτέστιν ἐξ ἀπάτης ἡ πλάνη τῶν εἰδώλων τοῖς ἀνθρώποις συμβέβηκεν· εὔχονται γὰρ ὡς θεοῖς οὓς ὡς ξυλίνους βαστάζουσιν.

(ια) ὅσοι φησὶ τὴν γνῶσιν τοῦ θεοῦ καὶ ἄλλοις ἀπαγγέλλουσι, προσέλθωσι καὶ ταύτην ἐκπαιδεύονται.

(ιβ) τουτέστιν οὐδεὶς καὶ πάλαι καὶ νῦν περὶ τῆς ἀληθοῦς θεογνωσίας, μόνος δὲ ὁ θεὸς ἐδίδαξε παρ' ὃν οὐκ ἔστιν ἕτερος οὔτε δικαιοσύνην διατηρῶν οὔτε σῶσαι δυνάμενος.

(ιγ) τουτέστι μετὰ διαβεβαιώσεως f. 120
τῆς ἁρμοττούσης ἐμοὶ λέγω.

(ιδ) τουτέστιν ἐξελεύσεται ἣν διὰ τῆς εὐαγγελικῆς διαθήκης ἐλάλησεν.

(ιε) οὐκ ἔσονται ἄπρακτοι.

(ις) τῷ Χριστῷ· ἐν αὐτῷ γὰρ καὶ τῷ πατρὶ, καθά φησιν ὁ Παῦλος, [a] πᾶν γόνυ κάμψει.

(ιζ) ὅταν ἑαυτὸν φανερώσῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς, μετὰ δικαιοσύνης προφέρων τὴν παγκόσμιον κρίσιν.

(ιη) οἱ χωρίζοντες.

(ιθ) οἱ ἀπόστολοι καὶ οἱ τούτους ζηλώσαντες.

(κ) ἐπίσημα ταῦτα τῶν εἰδώλων τοῖς Χαναναίοις ἐτύγχανεν· ἀπὸ μέρους τοίνυν ὅλα λέγει τὰ εἴδωλα.

(κα) Ναβών.

---

20 σώζουσιν > σώζωσιν A. 21 γνῶσιν Hes. (vide ια). γνῶμεν A.

---

[a] Rom. 14[11].

αὐτῶν εἰς θηρία (κβ), καὶ κτήνη
ἔδεται αὐτά· αἴρετε αὐτὰ κατα-
2 δεδεμένα ὡς φορτίον κοπιῶντι [2] ἐκ-
λελυμένῳ καὶ πεινῶντι, οὐκ ἰσχύοντι
ἅμα (κγ) οἳ οὐ μὴ δύνωνται
σωθῆναι ἀπὸ πολέμου, αὐτοὶ δὲ
3 αἰχμάλωτοι ἤχθησαν (κδ). [3] ἀκού-
σατέ μου οἶκος τοῦ Ἰακὼβ καὶ πᾶν
τὸ κατάλοιπον τοῦ Ἰσραὴλ (κε),
οἱ αἰρόμενοι ἐκ κοιλίας (κϛ) καὶ
4 παιδευόμενοι ἀπὸ παιδίου (κζ) [4] ἕως
γήρους· ἐγώ εἰμι, καὶ ἕως ἂν κατα-
γηράσητε, ἐγώ εἰμι (κη), ἐγὼ ἀν-
έχομαι ὑμῶν (κθ), ἐγὼ ἐποίησα (λ)
καὶ ἐγὼ ἀνήσω (λα), ἐγὼ ἀνα-
5 λήψομαι καὶ σώσω ὑμᾶς (λβ). [5] τίνι
με ὡμοιώσατε (λγ); ἴδετε, τεχνά-
σασθε (λδ) οἱ πλανώμενοι . . .
8 [8] μνήσθητε ταῦτα καὶ στενάξατε,
μετανοήσατε οἱ πεπλανημένοι, ἐπι-
9 στρέψατε τῇ καρδίᾳ, [9] καὶ μνήσθητε
τὰ πρότερα ἀπὸ τοῦ αἰῶνος (λε),
ὅτι ἐγώ εἰμι ὁ θεὸς, καὶ οὐκ ἔστιν
10 ἔτι πλὴν ἐμοῦ, [10] ἀναγγέλλων
πρότερον τὰ ἔσχατα πρὶν αὐτὰ
γενέσθαι (λϛ), καὶ ἅμα συν-

(κβ) τοιαῦτα γὰρ τῶν εἰδώλων ὑπῆρχε τὰ μορφώματα.

(κγ) βαστάσατέ φησι τὰ εἴδωλα καταδήσαντες· φορτίον γάρ εἰσι τῷ βαστάζοντι, ὅτι καὶ ἐκλύεται ὑπὸ τοῦ βάρους καὶ πεινᾷ καὶ παρὰ τῶν βασταζομένων οὐκ ἐνισχύεται.

(κδ) πολέμων γὰρ ἐπελθόντων εἰς αἰχμαλωσίαν λαμβάνεται τὰ εἴδωλα ὡς ἀκίνητα.

(κε) τουτέστιν οἱ πρωτεύοντες τοῦ λαοῦ καὶ οἱ ἔσχατοι.

(κϛ) οἱ βρέφη λαμβανόμενοι.

(κζ) ἐκ παιδὸς γὰρ οἱ Ἰουδαῖοι μελετῶσι τὸν νόμον, ὠφέλειαν δὲ οὐδεμίαν ἔχουσιν.

(κη) τουτέστιν ὑμεῖς μὲν παλαιοῦσθε, ἐγὼ δὲ οὐχ ὑπομένω παλαίωσιν.

(κθ) ἐγὼ μακροθυμῶ.

(λ) τὰ διὰ τοῦ νόμου.

(λα) συγχωρήσω ἤτοι ἐλαφρυνῶ.

(λβ) τουτέστι σαρκωθεὶς ἀναλαμβάνω καὶ σώζω τὸν ἄνθρωπον.

(λγ) πρὸς θεὸν γὰρ οὐδενὶ σύγκρισις.

(λδ) τουτέστι κατανοήσατε τὴν τέχνην δι' ἧς ποιεῖτε τὰ εἴδωλα· ἐξ αὐτῆς γὰρ τὴν ματαιότητα τῶν γινομένων καὶ τὴν ἄνοιαν τῶν ποιούντων μανθάνετε.

(λε) τουτέστι μνημονεύσατε τὰ ἀπ' f. 120v
ἀρχῆς, πῶς μὲν ὑμᾶς, πῶς δὲ τὴν κτίσιν παρήγαγον.

(λϛ) προλαμβάνει γὰρ ὡς προγνώστης καὶ προλέγει τὰ ἐσόμενα.

---

2 ἐκλελυμένῳ καὶ πεινῶντι B Hes. (vide κγ); καὶ πεινῶντι καὶ ἐκλελυμένῳ A. ἰσχύοντι? Nonne ἰσχύοντα? vide (κγ). 4 ἐγὼ ἀναλήψομαι A[3] praem. καὶ.

11 ετελέσθη (λζ)· . . . [11] καλῶν ἀπ'
ἀνατολῶν πετεινὸν (λη) καὶ ἀπὸ
γῆς πόρρωθεν περὶ ὧν βεβούλευμαι,
ἐλάλησα καὶ ἤγαγον (λθ) . . .
12 [12] ἀκούσατέ μου οἱ ἀπολωλεκότες
τὴν καρδίαν, οἱ μακρὰν ἀπὸ τῆς
13 δικαιοσύνης (μ). [13] ἤγγισα τὴν δικαιο-
σύνην μου (μα), καὶ τὴν σωτηρίαν
τὴν παρ' ἐμοῦ οὐ βραδυνῶ (μβ)·
δέδωκα ἐν Σιὼν σωτηρίαν τῷ
Ἰσραὴλ εἰς δόξασμα (μγ).

(λζ) πάντα γὰρ τελειοῦται τὰ παρ' αὐτοῦ τελειούσια.
(λη) τὸν πιστὸν λαόν· πτερὰ γὰρ ὁ θεὸς αὐτῷ τὴν πίστιν καὶ τὴν πολιτείαν τὴν ὑψηλὴν κατεσκεύασεν.
(λθ) τουτέστιν ἐβουλευσάμην καὶ προεῖπον καὶ ἐπετέλεσα.
(μ) τὰ ἔθνη· ἐξέστη γὰρ τῇ πλάνῃ τῶν εἰδώλων, καὶ τὴν καρδίαν ἀπώλεσαν καὶ μακρὰν τῆς τοῦ θεοῦ δικαιοσύνης ἐγένοντο.
(μα) τὸν Χριστόν.
(μβ) ἅμα γὰρ ὁ Χριστὸς ἐπιδημεῖ καὶ διασώζει τὸν ἄνθρωπον.
(μγ) τὰ μυστήρια τὰ ἐν τῇ Σιὼν πραχθέντα οἷς ὁ νοητὸς Ἰσραὴλ σώζεται καὶ δοξάζεται.

47^{1-15}. Κεφ. ξδ'.

Προσφώνησις τῇ ἀρχαίᾳ Ἱερουσαλὴμ πενθεῖν διὰ τὴν ἀσέβειαν, ὅθεν αὐτῇ τὸ τῆς Βαβυλῶνος περιέθηκε πρόσωπον ὡς τὰ ἐκείνης μιμησαμένῃ κακά· καὶ ἀπειλὴ τὸν διάβολον εἰς τὸ πῦρ τὸ τῆς γεέννης πεμφθήσεσθαι.

47 1 [1] Κατάβηθι, κάθισον ἐπὶ τὴν γῆν
παρθένος θυγάτηρ Βαβυλῶνος (α),
εἴσελθε εἰς τὸ σκότος (β), θυγάτηρ
Χαλδαίων, ὅτι οὐκέτι προστεθήσῃ
κληθῆναι ἁπαλὴ καὶ τρυφερά (γ).
2 [2] λάβε μύλον (δ), ἄλεσον ἄλευρον (ε),

(α) τῇ συναγωγῇ λέγει· παρθένος γὰρ ἦν πρὶν μοιχευθῆναι τοῖς εἰδώλοις, μοιχευθεῖσα δὲ θυγάτηρ Βαβυλῶνος ἐγένετο.
(β) κρύπτου διὰ τὴν αἰσχύνην.
(γ) τουτέστιν ἡ βασιλεία σου f. 121
πέπαυται, οὐκέτι κολακευθήσῃ.
(δ) τὸν νόμον.
(ε) τουτέστιν ἄρτον ποιεῖν μάθε καὶ τοῖς ἀχύροις μὴ τρέφεσθαι.

---

13 καὶ τὴν σωτηρίαν **A[8] praem.** οὐ μὴ μακρυνθῇ. **Κεφ.** ξδ': μιμησαμένῃ > μιμησαμένην **C.** ἀπειλὴ + τοῦ **V.** τὸ πῦρ τῆς γεέννης **CO Migne.**

1 Βαβυλῶνος + κάθισον εἰς τὴν γῆν, οὐκ ἔστι θρόνος **A[8].** 2 ἄλεσον > ἄλλισον **A.**

ἀποκάλυψαι τὸ κατακάλυμμά σου (ς),
ἀνακάλυψαι τὰς πολιὰς (ζ), ἀνάσυραι
τὰς κνήμας (η), διάβηθι ποταμοὺς (θ),
3 [3] ἀνακαλυφθήσεται ἡ αἰσχύνη σου (ι),
φανήσονται οἱ ὀνειδισμοί σου (ια)·
τὸ δίκαιον (ιβ) ἐκ σοῦ λήψομαι,
οὐκέτι μὴ παραδῶ ἀνθρώποις (ιγ).
4 [4] εἶπεν ὁ ῥυσάμενός σε (ιδ) κύριος
5 Σαβαὼθ . . . [5] κάθισον (ιε) κατα-
νενυγμένη, εἴσελθε εἰς τὸ σκότος (ις),
θυγάτηρ Χαλδαίων, οὐκέτι μὴ
κληθήσῃ ἰσχὺς βασιλείας (ιζ).
6 [6] παρωξύνθην ἐπὶ τῷ λαῷ μου,
ἐμίανα τὴν κληρονομίαν μου (ιη)· ἐγὼ
ἔδωκα αὐτοὺς (ιθ) εἰς τὴν χεῖρά σου,
σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος (κ),
τοῦ πρεσβυτέρου (κα) ἐβάρυνας τὸν
7 ζυγὸν σφόδρα, [7] καὶ εἶπας Εἰς τὸν
αἰῶνα ἔσομαι ἄρχουσα. οὐκ ἐνόησας
ταῦτα ἐν τῇ καρδίᾳ σου οὐδὲ
8 ἐμνήσθης τὰ ἔσχατα (κβ). [8] νῦν
δὲ ἄκουσον ταῦτα ἡ τρυφερά, ἡ
καθημένη, ἡ πεποιθυῖα (κγ), ἡ
λέγουσα ἐν τῇ καρδίᾳ αὐτῆς Ἐγώ

(ς) τὸ τοῦ γράμματος περίελε κάλυμμα.
(ζ) ἀνάστειλόν σου τὴν πολιότητα.
(η) τουτέστι δεῖξον ἅπερ ἔχεις προσκόμματα.
(θ) ἔξελθε τῆς ἀσεβείας τὰ ῥεύματα.
(ι) ἣν διὰ τῆς ὑποκρίσεως ἔκρυπτες.
(ια) οἱ κατὰ σοῦ.
(ιβ) τὰ τῶν ἐντολῶν δικαιώματα.
(ιγ) τὸν νόμον, ὥσπερ σοὶ παραδέδοται· πνευματικῶς γὰρ τοῖς ἔθνεσι παραδίδοται.
(ιδ) ἐκ τῆς αἰσθητῆς Αἰγύπτου.
(ιε) σιώπα.
(ις) ἐπειδὴ τοῦ νοητοῦ ἡλίου τὴν ἀνατολὴν ἔφυγες.
(ιζ) τὴν γὰρ δυνατὴν τοῦ Χριστοῦ βασιλείαν ἀπηρνήσω.
(ιη) τουτέστιν ἀπέβαλον ὡς μεμολυσμένην.
(ιθ) τὰ ἔθνη ὥστε χειραγωγηθῆναι διὰ σοῦ πρὸς εὐσέβειαν.
(κ) σκληρῶς αὐτοῖς τὸν νόμον ἑρμηνεύουσα.
(κα) τοῦ πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ ἐξ ἐθνῶν τῷ νόμῳ προσηλυτεύσαντος.
(κβ) ὅτι μετὰ τοὺς τύπους ἡ ἀλήθεια, καὶ διὰ τοῦτο ἡ σὴ πολιτεία τῆς εὐαγγελικῆς ἀνατελλούσης παύεται.
(κγ) τουτέστιν ἡ τῇ γαστριμαργίᾳ καὶ τῇ ἀνέσει μεθ' ὑπερηφανίας σχολάζουσα.

6 ἐμίανα Hes. (vide ιη), ἐμίανας ABS. ἐγὼ ἔδωκα A[3] praem. καὶ. αὐτοὺς post ἔδωκα A[3] B. 7 τὰ ἔσχατα. Hes. interpungit ergo sicut Tisch., non sicut ed. rom.

(ις) ἀνατολὴν > ἀναστολὴν F.

εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα (κδ), οὐ
καθιῶ χήρα οὐδὲ γνώσομαι ὀρφα-
9 νίαν (κε). 9 νῦν δὲ ἥξει ἐξαίφνης τὰ
δύο ταῦτα ἐν μιᾷ ἡμέρᾳ (κϛ), χηρεία
καὶ ἀτεκνία ἥξει ἐξαίφνης ἐπὶ σὲ
ἐν τῇ φαρμακείᾳ σου (κζ), ἐν τῇ
ἰσχύϊ τῶν ἐπαοιδῶν σου σφόδρα,
10 10 τῇ ἐλπίδι τῆς πονηρίας σου (κη).
. . . γνῶθι, ὅτι ἡ σύνεσις τούτων (κθ)
καὶ ἡ πορνεία σου (λ) ἔσται σοι
11 αἰσχύνη · . . . 11 καὶ ἥξει ἐπὶ σὲ
ἀπώλεια, καὶ οὐ μὴ γνῷς (λα),
βόθυνος (λβ), καὶ ἐμπεσῇ εἰς αὐτόν·
καὶ ἥξει ἐπὶ σὲ ταλαιπωρία, καὶ οὐ
μὴ δυνήσῃ καθαρὰ γενέσθαι (λγ)·
καὶ ἥξει ἐπὶ σὲ ἐξαπίνης ἀπώλεια (λδ),
12 καὶ οὐ μὴ γνώσῃ (λε). 12 στῆθι
νῦν ἐν ταῖς ἐπαοιδαῖς σου καὶ ἐν
τῇ πολλῇ φαρμακείᾳ σου ἃ
ἐμάνθανες ἐκ νεότητός σου (λϛ), εἰ
δυνήσῃ ὠφεληθῆναι, εἴ πως δυνήσῃ
13 ἰσχῦσαι (λζ). 13 κεκοπίακας ἐν ταῖς

(κδ) τὴν ἐκκλησίαν γὰρ ὡς οὐκ ἐσομένην ὠνείδισας.

(κε) τουτέστιν ἔλεγες, ὅτι οὔτε ὁ νόμος οὔτε ὁ ναὸς παύσεται.

(κϛ) τῇ τοῦ σταυροῦ· τότε γὰρ σχισθέντος τοῦ καταπετάσματος[a] χήρα ἐκ τοῦ νόμου καὶ ὀρφανὴ ἐκ τοῦ ναοῦ γεγένηται.

(κζ) τῇ τῶν Φαρισαίων μαγγανείᾳ.

(κη) τῶν ἐπαδόντων πονηρὰ δι- f. 121v
δασκάλων· ἐπ' αὐτοὺς γὰρ ἐλπίζουσα τὴν τοῦ Χριστοῦ διδασκαλίαν ἠρνήσατο.

(κθ) τῶν ἐθνῶν οὓς ἀσυνέτους ἐνόμιζες.

(λ) ἡ ἀπὸ θεοῦ ἀποστασία.

(λα) ἑκοῦσα γὰρ ἐπισπάσει τὴν ἄγνοιαν.

(λβ) ὃν κατὰ τοῦ κυρίου καὶ τῶν αὐτοῦ μαθητῶν, ὥσπερ ἐδόκεις, ὤρυξας.

(λγ) ἐπειδὴ φεύγεις τὸν καθαρμὸν τοῦ βαπτίσματος.

(λδ) ἡ τῆς Ἱερουσαλὴμ ἐξαπίνης πόρθησις.

(λε) τὴν αἰτίαν ἀγνοήσεις δι' ἣν ὑπομένεις τὴν πόρθησιν φεύγουσα τὸν διδάσκαλον.

(λϛ) ἐν ταῖς πονηραῖς διδασκαλίαις καὶ τῇ κολακείᾳ δι' ἧς οἱ πονηροί σε ἄρχοντες ἄνωθεν ἐφαρμάκευον.

(λζ) ἐὰν γὰρ τὸ ἐκείνων βλαβερὸν μάθῃς, ἰσχύς σοι καὶ ὠφέλεια γίνεται.

---

9 ἐξαίφνης > ἐξέφνης bis A. 10 τούτων + ἔσται A^3. 11 ἐξαπίνης B Hes. ἐξέφνης A. οὐ μὴ γνώσῃ in fine B Hes. (vide λε). οὐ μὴ γνῷς AS. 12 ὠφεληθῆναι desinunt ABS; A^3 add. εἴ πως δυνήσῃ ἰσχῦσαι, item Hes. (vide λζ).

---

[a] Matth. 27^{51}.

βουλαῖς σου (λη)· στήτωσαν καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, οἱ ὁρῶντες τοὺς ἀστέρας ἀναγγειλάτωσάν σοι (λθ), τί μέλλει
14 ἐπὶ σὲ ἔρχεσθαι. [14] ἰδοὺ πάντες ὡς φρύγανα ἐπὶ πυρὶ κατακαήσονται (μ), καὶ οὐ μὴ ἐξέλωνται τὴν ψυχὴν αὐτῶν ἐκ φλογὸς (μα), ὅτι ἔχεις ἄνθρακας πυρὸς, κάθισαι ἐπ'
15 αὐτούς (μβ)· [15] οὗτοι ἔσονταί σοι βοήθεια (μγ)· ἐκοπίασας ἐν τῇ μεταβολῇ σου ἐκ νεότητος, ἄνθρωπος καθ' ἑαυτὸν (μδ) ἐπλανήθη, σοὶ δὲ οὐκ ἔσται σωτηρία (με).

(λη) ἐπειδὴ κατὰ θεοῦ ἐβουλεύσω.
(λθ) ὀνειδίζει τῇ συναγωγῇ, ὅτι οὐδὲ τῆς πλάνης τῶν ἀστεροσκόπων καὶ ἀστρολόγων ἀπέσχετο.
(μ) οἱ περὶ τὴν πλάνην τῶν ἀστέρων ἀσχολούμενοι φρυγάνων δίκην ἀθρόον διαφθαρήσονται.
(μα) ἐκ τῆς μελλούσης γεέννης.
(μβ) ὅτι ἐπὶ πυρὸς μέλλεις ἀνθράκων ἐν τῇ κρίσει καθέζεσθαι.
(μγ) οἱ γενόμενοί σοι τῆς γεέννης παραίτιοι· τουτέστιν οὐ βοηθηθήσῃ παρὰ θεοῦ, ἀλλὰ παρὰ τῶν δαιμόνων ὧν ἡ βοήθεια ὄλεθρος.
(μδ) τουτέστιν οὔπω νόμον ἔχων ἔγγραφον.
(με) ἐπειδὴ νόμον λαβὼν πεπλάνησαι.

48[1—22]. Κεφ. ξε'.

Κατηγορία τῆς τοῦ Ἰσραὴλ ὑποκρίσεώς τε καὶ σκληροκαρδίας· καὶ διαμαρτυρία τῶν ἐσομένων τῇ ἐκκλησίᾳ μυστηρίων καὶ τῆς τοῦ Ἰουδαϊκοῦ λαοῦ ἀπαλλοτριώσεως· καὶ ὡς ὁ Χριστὸς αὐτὸς πρὸ αἰώνων καὶ ἐπ' ἐσχάτων ἐστί· καὶ ὀνειδισμὸς τῷ Ἰσραὴλ ὡς οὐχ ὑπακούσαντι· κλῆσις δὲ τοῖς ἔθνεσι καὶ ὑπόσχεσις τῆς πηγῆς τοῦ βαπτίσματος.

48 1 Ἀκούσατε ταῦτα οἶκος Ἰακὼβ, οἱ κεκλημένοι (α) τῷ ὀνόματι Ἰσραὴλ, καὶ οἱ ἐξ ὕδατος Ἰούδα ἐξελθόντες (β), οἱ ὀμνύοντες (γ) τῷ ὀνόματι κυρίου θεοῦ Ἰσραὴλ, μιμνησκόμενοι οὐ μετὰ ἀληθείας (δ)
2 οὐδὲ μετὰ δικαιοσύνης, [2] καὶ ἀντ-

(α) οἱ κληθέντες μὲν, τὴν κλῆσιν δὲ μὴ φυλάξαντες.
(β) τουτέστιν οἱ ἐκ σπέρματος πατρι- f. 122
αρχικοῦ γενόμενοι, οὐ φυλάξαντες δὲ τὸ ἐκείνων ἀξίωμα.
(γ) ψευδῶς.
(δ) ἐν ὑποκρίσει γὰρ τοῦ θεοῦ οἱ παῖδες τῶν Ἰουδαίων μνημονεύσουσιν.

---

13 στήτωσαν + δὴ A[3] B.
1 τῷ ὀνόματι A[3] B praem. ἐπὶ. κυρίου + καὶ A[3].

Κεφ. ξε': διαμαρτυρία > διαμρτυρία sic O. ὕδατος A[3], item Hes. (vide β); om. ABS.

εχόμενοι τῷ ὀνόματι (ε) τῆς πόλεως
τῆς ἁγίας καὶ ἐπὶ τῷ θεῷ τοῦ
Ἰσραὴλ ἀντιστηριζόμενοι (ς), κύριος
3 Σαβαὼθ (ζ) ὄνομα αὐτῷ. [3] τὰ πρό-
τερα (η) ἔτι ἀνήγγειλα, καὶ ἐκ τοῦ
στόματός μου ἐξῆλθε καὶ ἀκουστὰ
ἐγένετο (θ)· ἐξάπινα ἐποίησα (ι),
4 καὶ ἐπῆλθεν. [4] γινώσκω ἐγώ, ὅτι
σκληρὸς (ια) εἶ, καὶ νεῦρον σιδη-
ροῦν ὁ τράχηλός σου (ιβ), καὶ τὸ
5 μέτωπόν σου χαλκοῦν (ιγ). [5] καὶ
ἀνήγγειλά σοι τὰ πάλαι πρὶν ἐλθεῖν
ἐπὶ σέ· ἀκουστόν σοι ἐποίησα· μὴ
εἴπῃς, ὅτι τὰ εἴδωλά μοι ἐποίη-
σαν, καὶ μὴ εἴπῃς, ὅτι τὰ γλυπτὰ
καὶ τὰ χωνευτὰ ἐνετείλατό μοι (ιδ).
6 [6] ἠκούσατε πάντα, καὶ ὑμεῖς οὐκ
ἔγνωτε (ιε)· ἀλλὰ καὶ ἀκουστά σοι
ἐποίησα τὰ καινὰ ἀπὸ τοῦ νῦν ἃ
μέλλει γίνεσθαι (ις)· καὶ οὐκ εἶπας
7 [7] Νῦν γίνεται, καὶ οὐ πάλαι, καὶ
οὐ προτέραις ἡμέραις ἤκουσας
αὐτά (ιζ)· μὴ εἴπῃς, ὅτι ναὶ γινώσκω
8 αὐτά. [8] οὔτε ἔγνως οὔτε ἠπίστω,
οὔτε ἀπ' ἀρχῆς ἤνοιξα τὰ ὦτά
σου (ιη)· ἔγνων γάρ, ὅτι ἀθετῶν
ἀθετήσεις (ιθ) καὶ ἄνομος ἔτι ἐκ
9 κοιλίας κληθήσῃ (κ). [9] ἕνεκεν τοῦ
ἐμοῦ ὀνόματος δείξω σοι τὸν θυμόν
μου (κα), καὶ τὰ ἔνδοξά μου ἐπάξω

(ε) τουτέστι ψιλῷ μόνῳ τῷ σχήματι.
(ς) ἐπιστηριζόμενοι τουτέστιν ἐπιστηρίζεσθαι λέγοντες.
(ζ) ὁ ταῦτα κατηγορῶν.
(η) ἅπερ ἐξ ἀρχῆς ὁ τῶν Ἰουδαίων λαὸς ἥμαρτεν.
(θ) διὰ τῶν προφητῶν.
(ι) τὴν ἐπ' αὐτοῖς ἐκδίκησιν.
(ια) σκληροκάρδιος.
(ιβ) τουτέστιν ἀκαμπὴς ὑπάρχεις.
(ιγ) ἀναιδὴς τυγχάνεις.
(ιδ) τουτέστιν ἐκ πολλοῦ σοι προεῖπον ἅπερ σοι διὰ τὴν κατὰ τοῦ Χριστοῦ παρανομίαν συμβήσεται· μὴ τοίνυν εἴπῃς, ὅτι διὰ τὴν εἰδωλολατρίαν ὑπέμεινας, μηδ' ὅτι τὰ εἴδωλά σοι ἀπήγγειλαν.
(ιε) τουτέστιν ἑκόντες ἠγνοήσατε· πάλαι γὰρ τὰ παρ' ἐμοῦ κεκήρυκται.
(ις) τουτέστιν ἀπήγγειλά σοι τὰ νέα θαύματα τὰ νῦν μέλλοντα γίνεσθαι.
(ιζ) οὐχ ὑπήκουσας αὐτοῖς.
(ιη) εἰ γὰρ καὶ προλαβὼν ἐκήρυξα τὰ τῆς χάριτος θαύματα, ἀλλὰ τὴν περὶ αὐτῶν γνῶσιν ἐσφραγισμένην κατέλιπον.
(ιθ) ὅτιπερ αὐτὰ παραβήσῃ, ἐγίνωσκον.
(κ) τουτέστιν ἐκ παιδὸς ἀνομήσεις καὶ διὰ τοῦτο κληθήσῃ «ἀπὸ κοιλίας ἄνομος».
(κα) προλαμβάνω γὰρ καὶ μηνύω σοι τὴν ὀργὴν ὡς φιλάνθρωπος.

5 ἐποίησα· sic disting. Hes. (vide ιδ); ἐποίησα, Tisch. εἴπῃς prius A[3] praem. ποτε.

ἐπὶ σὲ, ἵνα μὴ ἐξολοθρεύσω σε (κβ).
10 [10]ἰδοὺ πέπρακά σε οὐχ ἕνεκεν
ἀργυρίου· ἐξειλάμην δέ σε ἐκ
11 καμίνου πτωχείας (κγ)· [11]ἕνεκεν
ἐμοῦ ποιήσω σοι (κδ), ὅτι τὸ ἐμὸν
ὄνομα βεβηλοῦται, καὶ τὴν δόξαν
12 μου ἑτέρῳ οὐ δώσω (κε). [12]. . .
ἐγώ εἰμι πρῶτος καὶ ἐγώ εἰμι εἰς
13 τὸν αἰῶνα (κϛ), [13]καὶ ἡ χείρ
μου ἐθεμελίωσε τὴν γῆν, καὶ ἡ
δεξιά μου ἐστερέωσε τὸν οὐρανόν,
καλέσω αὐτοὺς (κζ), καὶ στήσονται
14 ἅμα (κη), [14]καὶ συναχθήσονται
πάντες (κθ) καὶ ἀκούσονται. τίς
αὐτοῖς ἀνήγγειλε ταῦτα (λ);
ἀγαπῶν σε ἐποίησα τὸ θέλημά
σου (λα) ἐπὶ Βαβυλῶνα (λβ), τοῦ
15 ἆραι σπέρμα Χαλδαίων (λγ)· [15]ἐγὼ
ἐλάλησα (λδ), ἐγὼ ἐκάλεσα (λε),
ἤγαγον αὐτὸν καὶ εὐώδωσα τὴν
16 ὁδὸν αὐτοῦ (λϛ). [16]προσαγάγετε (λζ)
πρὸς μὲ καὶ ἀκούσατε ταῦτα, οὐκ

(κβ) διὰ τοῦτο ἐπιτελῶ φησιν ἐν σοὶ τὰ θαύματα, ἵνα δι' αὐτῶν ἐπιστρέψῃς καὶ κερδάνῃς τὴν σωτηρίαν.

(κγ) τουτέστιν ἠλλοτρίωκά σε οὐχ f. 122v ἑκὼν, ἀλλὰ διὰ τὴν σὴν κακίαν· ἐπήγαγον δὲ πάλιν ὡς ἀγαθὸς τὴν λύτρωσιν.

(κδ) τουτέστιν οἰκονομήσω τὸ μυστήριον τοῦ Χριστοῦ διὰ τὴν ἐμαυτοῦ δόξαν, ἐπειδήπερ αὕτη διὰ τῆς ὑμετέρας ἀπωλείας ὑβρίζετο.

(κε) ἓν γὰρ πρὸς ἐμὲ ὁ Χριστὸς ὁ ἐν ἐμοὶ δοξαζόμενος.

(κϛ) αὐτὸς γὰρ ἐν ἀρχῇ θεὸς Λόγος, αὐτὸς ἐπὶ συντελείᾳ τοῦ αἰῶνος πρὸς ἡμᾶς παρεγένετο.

(κζ) τουτέστι ἐγὼ τὴν κτίσιν παρήγαγον, ἐγὼ καλέσαι τοὺς ἀνθρώπους εἰς σωτηρίαν ἀπήντησα.

(κη) ὡς μιᾶς πᾶσιν οὔσης τῆς κλήσεως.

(κθ) οἱ πανταχόθεν τῷ λόγῳ τοῦ Χριστοῦ μαθητευόμενοι.

(λ) νομοθέτης, οὐχὶ νόμου διάκονος.

(λα) τὸ ὑπὲρ σοῦ.

(λβ) κατὰ τῆς τῶν εἰδώλων συγχύσεως.

(λγ) τὴν τῶν δαιμόνων πλάνην.

(λδ) διὰ τῶν εὐαγγελίων.

(λε) τὸν ἐξ ἐθνῶν λαόν.

(λϛ) διὰ τῶν ἀποστόλων κουφίσας τὸν ζυγὸν τῆς κλήσεως.

(λζ) ἐγγίσατε.

---

9 ἐπὶ σοὶ A. 13 καλέσω + ἐγὼ A[a], forse et Hes. (vide κζ).
14 ἀγαπῶν σε A[a] praem. κύριος. ἐποίησα ταῦτα ἐπὶ Βαβυλῶνα τὸ θέλημά σου A; Hes. sicut B.

ἀπ' ἀρχῆς ἐν κρυφῇ ἐλάλησα (λη)
οὐδὲ ἐν τόπῳ γῆς σκοτεινῷ· ἡνίκα
ἐγένετο (λθ), ἐκεῖ ἤμην (μ), καὶ
νῦν κύριος ἀπέσταλκέ με καὶ τὸ
17 πνεῦμα αὐτοῦ (μα). 17 οὕτως λέγει
κύριος ὁ ῥυσάμενός σε (μβ) ὁ ἅγιος
Ἰσραὴλ Δέδειχά (μγ) σοι τοῦ εὑρεῖν
σε τὴν ὁδὸν (μδ) ἐν ᾗ πορεύσῃ ἐν
18 αὐτῇ. 18 καὶ εἰ ἤκουσας τῶν ἐντολῶν
μου, ἐγένετο ἂν ὡσεὶ ποταμὸς (με)
ἡ εἰρήνη σου, καὶ ἡ δικαιοσύνη σου
19 ὡς κῦμα θαλάσσης (μϛ)· 19 καὶ
ἐγένετο ἂν ὡσεὶ ἄμμος τὸ σπέρμα
σου (μζ) . . . οὐδὲ νῦν οὐ μὴ
20 ἐξολοθρευθῇς (μη) . . . 20 ἔξελθε
ἐκ Βαβυλῶνος (μθ) φεύγων ἀπὸ τῶν
Χαλδαίων· φωνὴν εὐφροσύνης (ν)
ἀναγγείλατε, καὶ ἀκουστὸν γενέσθω
21 τοῦτο (να) . . . 21 καὶ ἐὰν διψή-
σωσι (νβ), δι' ἐρήμου (νγ) ἄξει
αὐτούς, ὕδωρ ἐκ πέτρας (νδ) ἐξάξει
αὐτοῖς, σχισθήσεται πέτρα (νε), καὶ
ῥυήσεται ὕδωρ, καὶ πίεται ὁ λαός
22 μου. 22 οὐκ ἔστι χαίρειν τοῖς ἀ-
σεβέσι (νϛ), λέγει κύριος.

(λη) ἀεὶ γὰρ ὁ θεὸς ἐν παρρησίᾳ ἐδίδασκεν.
(λθ) ἡ κτίσις.
(μ) ὡς υἱὸς συνδημιουργῶν τῷ πατρί.
(μα) ὁ Χριστός φησιν ὡς εὐδοκίᾳ τοῦ πατρὸς σαρκωθεὶς καὶ τοῦ πνεύματος.
(μβ) πρὸς τὸν αἰσθητὸν Ἰσραὴλ ὁ λόγος.
(μγ) ἔδειξα.
(μδ) τὴν εὐαγγελικὴν πολιτείαν.
(με) τουτέστι πολλὴ καὶ διηνεκής, ἐπειδήπερ οἱ πλείονες τῶν ποταμῶν ἀέναοι.
(μϛ) συνεχής· συνεχῆ γὰρ τῆς θαλάσσης τὰ κύματα.
(μζ) πρὸς τὴν συναγωγὴν λέγει· ἡ γὰρ εὐλογία τῶν ἀστέρων τῇ ἐκκλησίᾳ πεφύλακται.
(μη) διὰ τοὺς ἀποστόλους καὶ ὅσοι f. 123
τούτους ἐζήλωσαν.
(μθ) ἐκ τῆς τῶν εἰδώλων συγχύσεως.
(ν) τὴν εὐαγγελικήν· χαρᾶς γὰρ διὰ τὴν ἐξ αὐτῆς ἐλευθερίαν πεπλήρωται.
(να) τὸ πραχθὲν διὰ Χριστοῦ μυστήριον.
(νβ) τὴν δικαιοσύνην.
(νγ) διὰ τῆς ἐκκλησίας· κακίας γάρ ἐστιν ἔρημος.
(νδ) τὸ βάπτισμα ἐκ τῆς πίστεως.
(νε) ἡ τοῦ κυρίου πλευρά· πέτραν γὰρ τὸν Χριστὸν καὶ ὁ θεῖος Παῦλός φησιν.[a]
(νϛ) τοῖς κακὰ περὶ θεοῦ φρονοῦσι.

16 κύριος dupl. A[3] B. Δέδειχά σοι + εἰς ὠφέλειαν A[3]. 17 Ἰσραὴλ + ἐγώ εἰμι ὁ θεός σου A[3] B. 21 διψήσωσι > διψήσουσι A.

[a] I Cor. 10[4].

49¹⁻¹². Κεφ. ξϛ'.

Κλῆσις ἐθνῶν καὶ προφητεία τοῦ Χριστοῦ ὡς εἰς δούλου μορφὴν ἑαυτὸν ἐπὶ σωτηρίᾳ τῶν ἐθνῶν κηρύξαντος, καιρῷ δὲ αὐτὴν οἰκονομοῦντος τῷ δέοντι.

49 1 Ἀκούσατέ μου νῆσοι (α), καὶ
προσέχετε ἔθνη· διὰ χρόνου πολλοῦ
στήσεται (β), λέγει κύριος. ἐκ
κοιλίας μητρός μου ἐκάλεσε τὸ
2 ὄνομά μου (γ), ²καὶ ἔθηκε τὸ στόμα
μου ὡσεὶ μάχαιραν ὀξεῖαν (δ), καὶ
ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ
3 ἔκρυψέ με (ε)· . . . ³καὶ εἶπέ
μοι Δοῦλός μου εἶ σὺ Ἰσραὴλ (ϛ),
4 καὶ ἐν σοὶ δοξασθήσομαι. ⁴καὶ
ἐγὼ εἶπα Κενῶς ἐκοπίασα καὶ εἰς
μάταιον (ζ) καὶ εἰς οὐδὲν ἔδωκα
τὴν ἰσχύν μου (η)· διὰ τοῦτο ἡ
κρίσις μου παρὰ κυρίου, καὶ ὁ πόνος
μου (θ) ἐναντίον τοῦ θεοῦ μου (ι).
5 ⁵καὶ νῦν οὕτως λέγει κύριος ὁ πλάσας
με ἐκ κοιλίας δοῦλον ἑαυτῷ τοῦ
συναγαγεῖν τὸν Ἰακὼβ καὶ Ἰσραὴλ
πρὸς αὐτόν (ια)· συναχθήσομαι καὶ

(α) νῆσοι αἱ ἐκκλησίαι ὡς ἐν ὕδατι τὴν σωτήριον ἐμπορίαν ἔχουσαι.

(β) τουτέστι τὰ πάλαι ἐπαγγελθέντα μετὰ χρόνον εἰς ἔργον ἐξελεύσεται.

(γ) Ἰησοῦν· τοῦτο γὰρ ἐκ γαστρὸς τὸν Χριστὸν καλέσαι ὁ Ἰωσὴφ κεχρημάτισται.[a]

(δ) τὴν κατὰ τῆς πλάνης ἠκονημένην γλῶτταν.

(ε) τουτέστιν ἐσκεπάσθην τὴν σάρκα τῇ δυνάμει τῆς θεότητος.

(ϛ) ὁ Χριστὸς διὰ τὴν τοῦ δούλου μορφὴν ἥνπερ δι' ἡμᾶς ἀνέλαβεν.[b]

(ζ) μάτην τότε ἐπὶ τοῖς Ἰουδαίοις ἐσταυρώθην· τοῦ σταυροῦ γὰρ τὴν λύτρωσιν ἀπηρνήσαντο.

(η) οὐδὲ γὰρ οἱ τῶν Ἰουδαίων παῖδες ὠφεληθῆναι τοῖς τοῦ Χριστοῦ θαύμασιν ἐβουλήθησαν.

(θ) ὃν ὑπὲρ τῶν Ἰουδαίων ἐπόνεσα.

(ι) τοῦ πατρὸς πρὸς ὃν εἶπον Ἄφες αὐτοῖς τὴν ἁμαρτίαν.[c]

(ια) τουτέστι διὰ τοῦτο ἐπλάσθην ἐν κοιλίᾳ καὶ εἰς δούλου μορφὴν ἐσαρκώθην, ἵνα τὸν Ἰσραὴλ σώσω καὶ τὸν αἰσθητὸν καὶ τὸν νοητὸν μάλιστα.

---

1 κύριος + ἐκ γαστρὸς ἐκάλεσέ με καὶ A⁸. 5 interpungo sec. interpret.

---

[a] Matth. 1²¹. [b] Phil. 2⁷. [c] Luc. 23³⁴.

δοξασθήσομαι ἐναντίον κυρίου (ιβ),
καὶ ὁ θεός μου ἔσται μου ἰσχύς.
6 [6] καὶ εἶπέ μοι Μέγα σοί ἐστι τοῦ
κληθῆναί σε παῖδά μου (ιγ) . . .
7 [7] οὕτως λέγει κύριος ὁ ῥυσάμενός
σε (ιδ) ὁ θεὸς Ἰσραὴλ Ἁγιάσατε
τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ (ιε),
τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν
τῶν δούλων τῶν ἀρχόντων (ιϛ)·
βασιλεῖς ὄψονται αὐτὸν (ιζ), καὶ ἀνα-
στήσονται ἄρχοντες (ιη) καὶ προσ-
κυνήσουσιν αὐτῷ ἕνεκεν κυρίου (ιθ)·
ὅτι πιστός ἐστιν ὁ ἅγιος Ἰσραὴλ,
8 καὶ ἐξελεξάμην σε (κ). [8] οὕτως
λέγει κύριος Καιρῷ δεκτῷ (κα)
ἐπήκουσά σου . . . καὶ ἔδωκά σε εἰς
διαθήκην ἐθνῶν (κβ) τοῦ καταστῆσαι
τὴν γῆν (κγ) καὶ κληρονομῆσαι
9 κληρονομίας ἐρήμους (κδ), [9] λέγοντα
τοῖς ἐν δεσμοῖς (κε) Ἐξέλθατε·
καὶ τοῖς ἐν τῷ σκότει (κϛ)
ἀνακαλυφθῆναι (κζ). καὶ ἐν πάσαις
ταῖς ὁδοῖς αὐτῶν (κη) βοσκηθήσονται,
καὶ ἐν πάσαις ταῖς τρίβοις (κθ) ἡ
10 νομὴ αὐτῶν (λ)· [10] οὐ πεινάσουσιν

(ιβ) ὁ Χριστός φησι· μετὰ γὰρ τοῦ πιστοῦ λαοῦ συνάγεται πρὸς τὸν πατέρα καὶ ἐν αὐτῷ δοξάζεται. f. 123v

(ιγ) τὸ ῥῆμα ἐνταῦθα καθ' ὑπερβατόν· ὁ γὰρ υἱὸς τὸν πατέρα πρὸς αὐτὸν λέγοντα δείκνυσι Μέγα οἰκονομεῖν μέλλεις διὰ τῆς τοῦ δούλου μορφῆς.

(ιδ) πρὸς τὸν σωθέντα λαὸν ὁ λόγος.

(ιε) ὡς ἁγίῳ προσέλθετε τῷ Χριστῷ· δι' ἡμᾶς γὰρ τῆς ἑαυτοῦ ψυχῆς εἰς σταυρὸν παραδοὺς ἑαυτὸν κατεφρόνησεν.

(ιϛ) τῶν τοῦ Πιλάτου στρατιωτῶν οἵτινες εἰς τὸν Χριστὸν ἐμπαρῴνησαν.

(ιζ) διὰ πίστεως.

(ιη) ὡς βασιλεῖ τοῦ θρόνου παραχωροῦντες μείζονι.

(ιθ) ἐπειδὴ κύριός ἐστιν.

(κ) ὁ ἁγιάζων τὸν Ἰσραὴλ καὶ σὲ, τὸν λαὸν τῶν ἐθνῶν, ἐκλεξάμενος.

(κα) ἐν ᾧ τὴν χάριν ὁ Χριστὸς ἐκήρυξε· τότε γὰρ τοῦ λαοῦ τοῦ ἐξ ἐθνῶν ἐπήκουσεν.

(κβ) τὴν εὐαγγελικήν.

(κγ) τὸν ἄνθρωπον διορθώσασθαι.

(κδ) εἰς κληρονομίαν τὰς ἐκκλησίας καλέσαι.

(κε) τοῖς εἰδωλικοῖς.

(κϛ) τοῖς ἐν πλάνῃ.

(κζ) ἀποθέσθαι τὴν ἀγνωσίαν.

(κη) ἃς ὁ Χριστὸς ἐπέδειξεν.

(κθ) ἃς ἤνοιξαν οἱ ἀπόστολοι.

(λ) τῶν λογικῶν προβάτων.

---

8 κληρονομίαν ἐρήμου A. κληρονομίας ἐρήμους B.

οὐδὲ διψήσουσιν (λα), οὐδὲ πα-
τάξει αὐτοὺς ὁ καύσων (λβ) οὐδὲ
ὁ ἥλιος (λγ), ἀλλὰ ὁ ἐλεῶν
αὐτοὺς παρακαλέσει καὶ διὰ πηγῶν
11 ὑδάτων (λδ) ἄξει αὐτούς· [11] καὶ
θήσω πᾶν ὄρος εἰς ὁδὸν (λε) . . .
12 [12] ἰδοὺ οὗτοι πόρρωθεν ἥξουσιν, οὗτοι
ἀπὸ βορρᾶ καὶ οὗτοι ἀπὸ θαλάσσης,
ἄλλοι δὲ ἐκ γῆς Περσῶν (λς).

(λα) ἐπειδὴ τὸν Χριστὸν ἔχουσι τρέφοντα καὶ ποτίζοντα, τὸν αὐτὸν δὲ καὶ σκέποντα.
(λβ) οἱ πειρασμοί.
(λγ) οὐδὲ γάρ εἰσι πρόσκαιροι ὥστε τῇ δοκιμῇ τοῦ ἡλίου ξηραίνεσθαι.
(λδ) τῶν τοῦ βαπτίσματος. f. 124
(λε) τὰ ὑψηλὰ ὁμαλίζων.
(λς) πανταχόθεν γὰρ ἥξουσιν οἱ τῷ Χριστῷ σφραγιζόμενοι.

49^{13-26}. Κεφ. ξζ'.

Προσφώνησις τοῖς στοιχείοις ἑορτάζειν τῆς σωτηρίας τῶν ἀνθρώπων ἕνεκα· καὶ ὑπόσχεσις τῆς ἐσομένης πολυπαιδίας, ἐθνῶν δὲ συναγωγῆς καὶ διαβόλου σκυλεύσεως, ἀπωλείας τε δαιμόνων καὶ τῶν πιστῶν λυτρώσεως.

13 [13] Εὐφραίνεσθε οὐρανοὶ (α), καὶ
ἀγαλλιάσθω ἡ γῆ, ῥηξάτωσαν τὰ
ὄρη εὐφροσύνην (β), ὅτι ἠλέησεν ὁ
θεὸς τὸν λαὸν αὐτοῦ, καὶ τοὺς
ταπεινοὺς (γ) τοῦ λαοῦ αὐτοῦ
15 παρεκάλεσεν . . . [15] μὴ ἐπιλήσεται
μήτηρ τοῦ παιδίου αὐτῆς . . . εἰ
δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνή, ἀλλ'
ἐγὼ οὐκ ἐπιλήσομαι σοῦ, εἶπε
16 κύριος (δ). [16] ἰδοὺ ἐπὶ τῶν χειρῶν
μου (ε) ἐζωγράφησά σου τὰ τείχη,
καὶ ἐνώπιόν μου (ς) εἶ διὰ παντός,
17 [17] καὶ ταχὺ οἰκοδομηθήσῃ ὑφ' ὧν
καθῃρέθης (ζ), καὶ οἱ ἐρημώσαντές

(α) αἱ τῶν οὐρανῶν δυνάμεις, ἐπειδὴ οὐράνιος ὁ γήϊνος ἐγένετο.
(β) οἱ προφῆται· ἐπὶ τῇ σωτηρίᾳ γὰρ τῶν ἀνθρώπων εὐφραίνονται.
(γ) τοὺς ἁμαρτωλοὺς εἰπὼν «Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν».[a]
(δ) ὁ θεὸς γὰρ ὡς αἰώνιος πατὴρ τῶν προσκαίρων γονέων συμπαθέστερος.
(ε) ἃς εἰς σταυρὸν ἐξέτεινε· ταύτης γὰρ νοητῆς Σιὼν ἐξετύπωσεν ὁ θεὸς τὴν ἀσφάλειαν.
(ς) τῷ τῆς προνοίας ὀφθαλμῷ.
(ζ) ὑπὸ τῶν ἐθνῶν.

---

10 οὐδὲ μὴ πατάξει A. ὁ ante καύσων om. A. παρακαλέσει + αὐτοὺς A^3. 12 ἥξουσιν B Hes. (vide λς). ἔρχονται AS. Κεφ. ξζ': πολυπαιδίας > πολυπαιδείας CO.

---

[a] Matth. 9^{13}.

18 σε (η) ἐκ σοῦ ἐξελεύσονται. [18] ἆρον
κύκλῳ τοὺς ὀφθαλμούς σου καὶ ἴδε
πάντας (θ) . . . ζῶ ἐγώ, λέγει
κύριος, ὅτι πάντας αὐτοὺς ὡς
19 κόσμον ἐνδύσῃ (ι) . . . [19] . . .
καὶ μακρυνθήσονται ἀπὸ σοῦ οἱ
20 καταπίνοντές σε (ια). [20] ἐροῦσι γὰρ
εἰς τὰ ὦτά σου οἱ υἱοί σου (ιβ) . . .
21 [21] καὶ ἐρεῖς ἐν τῇ καρδίᾳ σου Τίς
ἐγέννησέ μοι τούτους (ιγ); ἐγὼ δὲ
ἄτεκνος καὶ χήρα (ιδ), τούτους δὲ
22 τίς ἐξέθρεψέ μοι (ιε); . . . [22] οὕτως
λέγει κύριος Ἰδοὺ αἴρω εἰς τὰ
ἔθνη τὴν χεῖρά μου (ις), καὶ εἰς
τὰς νήσους (ιζ) ἀρῶ σύσσημόν
μου (ιη), καὶ ἄξουσι τοὺς υἱούς σου
ἐν κόλπῳ (ιθ), τὰς δὲ θυγατέρας
23 σου ἐπ' ὤμων (κ) ἀροῦσι, [23] καὶ
ἔσονται βασιλεῖς τιθηνοί σου, αἱ
δὲ ἄρχουσαι τροφοί σου (κα)· ἐπὶ
πρόσωπον τῆς γῆς προσκυνήσουσί
σοι (κβ), καὶ τὸν χοῦν τῶν ποδῶν
σου (κγ) λείξουσι, καὶ γνώσῃ (κδ),
ὅτι ἐγὼ κύριος, καὶ οὐκ αἰσχυνθήσῃ.
24 [24] μὴ λήψεταί τις παρὰ γίγαντος
σκῦλα; καὶ ἐὰν αἰχμαλωτεύσῃ τις
25 ἀδίκως, σωθήσεται; [25] οὕτως λέγει
κύριος Ἐάν τις αἰχμαλωτεύσῃ
γίγαντα, λήψεται σκῦλα· λαμβάνων
δὲ παρὰ ἰσχύοντος σωθήσεται· ἐγὼ
δὲ τὴν κρίσιν σου κρινῶ καὶ ἐγὼ
26 τοὺς υἱούς σου ῥύσομαι (κε), [26] καὶ

(η) οἱ τῶν Ἰουδαίων παῖδες· οὗτοι γὰρ τὴν Σιὼν ἐβεβήλωσαν τὴν ἀρχαίαν καὶ τὴν νέαν ἐφαύλισαν.
(θ) τοὺς πανταχόθεν διὰ τὴν τῶν θαυμάτων τοῦ Χριστοῦ συνιόντας προσκύνησιν.
(ι) τουτέστι κοσμηθήσῃ ἐν αὐτοῖς.
(ια) οἱ καταπιεῖν θέλοντες. f. 124v
(ιβ) οἱ ἐν τοῖς εἰδώλοις πλανηθέντες, ἀλλὰ νῦν ἐπιστρέφοντες διὰ πίστεως.
(ιγ) τουτέστιν ἀθρόον.
(ιδ) ἡνίκα τοῖς εἰδώλοις ἐδούλευεν.
(ιε) ἐξαίφνης ἢ παρ' ἐλπίδα.
(ις) τὰ σημεῖα καὶ τὰ θαύματα.
(ιζ) εἰς τὰς ἐκκλησίας.
(ιη) τὸ σημεῖον.
(ιθ) ἐν τῇ εὐαγγελικῇ παρακλήσει.
(κ) τῶν ἀποστολικῶν λόγων· ὦμοι γὰρ οὗτοι ὡς ἰσχυροί.
(κα) οἱ τῶν ἀρετῶν βασιλεύοντες καὶ τῶν λογισμῶν ἄρχοντες· ἐν τούτοις γὰρ ἡ ἐκκλησία τοῦ θεοῦ τρέφεταί τε καὶ αὔξεται.
(κβ) γόνυ τῷ Χριστῷ κάμπτοντες.
(κγ) τῶν ἐν σοὶ περιπατησάντων δεσποτικῶν.
(κδ) ἀπὸ τῆς σῆς δόξης καὶ τὴν δόξαν τῶν εἰς ἐμὲ πιστευόντων μανθάνουσα.
(κε) τουτέστι παρὰ μὲν ἀνθρώποις καὶ γίγαντα σκυλεῦσαι καὶ ἀδίκως αἰχμαλωτεύοντα σωθῆναι ἀδύνατον, ἀλλ' ὅμως δι' ἐμοῦ καὶ γίγαντα αἰχμαλωτεύουσιν οἱ

18 ὡς κόσμον om. AS, non item B Hes. (vide ι). 21 χήρα + πάροικος καὶ ἐγκεκλεισμένη A^8. 22 κύριος dupl. A^8 B. 23 ἄρχουσαι + αὐτῶν A^8 B. αἰσχυνθήσῃ > αἰσχυνθήσονται B. in fine add. οἱ ὑπομένοντές με A^8 B. 25 inc. ὅτι A^8 B.

φάγονται οἱ θλίβοντές σε τὰς σάρκας αὐτῶν, καὶ πίονται ὡς οἶνον νέον (κϛ) τὸ αἷμα αὐτῶν καὶ μεθυσθήσονται, καὶ αἰσθανθήσεται πᾶσα σὰρξ, ὅτι ἐγὼ κύριος ὁ ῥυσάμενός σε καὶ ἀντιλαμβανόμενος ἰσχύος Ἰακώβ (κζ).

πιστοὶ τὸν διάβολον καὶ τὸν ᾅδην τὸν ἰσχυρὸν σκυλεύουσι καίτοι δικαίως ἄρχειν τῶν ἀνθρώπων διὰ τὴν ἀπόφασιν τὴν κατὰ τοῦ Ἀδὰμ νομιζόμενον· ἐγὼ γὰρ τὴν κρίσιν αὐτῶν κρινῶ καὶ τοὺς ἀνθρώπους ἐκείνης τῆς ἀποφάσεως ῥύσομαι.

(κϛ) τουτέστι μετὰ κάρου καὶ μέθης.

(κζ) ἐκ τῶν θαυμάτων ἃ μόνῳ τῷ f. 125
θεῷ δυνατὰ πρὸς κατόρθωσιν τὴν ἐμὴν εἴσονται δύναμιν.

50¹⁻¹¹. Κεφ. ξηʹ.

Ὀνειδισμὸς τοῦ Ἰσραὴλ καὶ τῆς παρ' αὐτοῖς συναγωγῆς ἀποβολή· καὶ ἔνδειξις ἰσχύος θεοῦ· καὶ προφητεία τῶν τοῦ κυρίου παθῶν· καὶ ἀπειλὴ κατὰ τῶν Ἰουδαίων ὡς αὐτῶν σκευασάντων τὴν οἰκείαν ἀπώλειαν.

50 1 Οὕτως λέγει κύριος Ποῖον τὸ
βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς
ὑμῶν ᾧ ἐξαπέστειλα αὐτήν (α); ἢ
τίνι ὑπόχρεῳ πέπρακα ὑμᾶς; ἰδοὺ
ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε, καὶ
ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα
2 τὴν μητέρα ὑμῶν (β). ² τί ὅτι
ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος (γ);
ἐκάλεσα, καὶ οὐχ ὑπήκουσεν; μὴ
οὐκ ἰσχύει ἡ χείρ μου τοῦ ῥύσασθαι;
ἢ οὐκ ἰσχύω τοῦ ἐξελέσθαι; ἰδοὺ
τῇ ἀπειλῇ μου ἐξερημώσω τὴν
θάλασσαν καὶ θήσω ποταμοὺς
3 ἐρήμους (δ) . . . ³ καὶ ἐνδύσω τὸν

(α) τουτέστιν οὐκ ἐγὼ τὴν συναγωγὴν ἀφῆκα πρότερος, αὕτη δὲ ἐμὲ κατέλιπεν.

(β) εἰ καὶ πολλοί φησι τὴν δουλείαν μεθώδευον ὑμᾶς ὡς χρεώστας αὐτοῖς τῆς κακίας ὑπάρχοντας, οὐδενὶ τούτων ὑμᾶς ὅμως ἐγὼ παρέδωκα, ὑμεῖς δὲ διὰ τῆς κακίας ἑαυτοὺς παρεδώκατε, τουτέστι διὰ τὰς ἀνομίας ὑμῶν τὴν ἀρχαίαν Ἱερουσαλὴμ κατέλιπον.

(γ) ὁ φυλάττων τὸ τοῦ ἀνθρώπου ἀξίωμα.

(δ) τουτέστιν οὐ διὰ τὴν ἐμὴν ἀσθένειαν, ἀλλὰ διὰ τὴν ὑμετέραν πονηρίαν ἐκ τῶν ἐπερχομένων

---

26 κύριος A³ B. Κεφ. ξηʹ: τοῦ Ἰσραὴλ > τῷ Ἰσραὴλ Migne. οἰκείαν > ἰδίαν C. 1 ὑμᾶς + αὐτῷ A³.

οὐρανὸν σκότος (ε), καὶ θήσω ὡς
4 σάκκον τὸ περιβόλαιον αὐτοῦ. [4] κύριος
δίδωσί μοι γλῶσσαν σοφίας τοῦ
γνῶναι ἐν καιρῷ, ἡνίκα δεῖ εἰπεῖν
λόγον (ϛ)· ἔθηκέ μοι τὸ πρωῒ (ζ),
προσέθηκέ μοι ὠτίον (η) ἀκούειν,
5 [5] καὶ ἡ παιδεία (θ) κυρίου ἀνοίγει
τὰ ὦτά μου, ἐγὼ δὲ οὐκ ἀπειθῶ
7 οὐδὲ ἀντιλέγω (ι) . . . [7] καὶ
κύριος βοηθός μου ἐγενήθη (ια)·
διὰ τοῦτο (ιβ) οὐκ ἐνετράπην, ἀλλὰ
ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν
πέτραν (ιγ), καὶ ἔγνων, ὅτι οὐ μὴ
8 αἰσχυνθῶ, [8] ὅτι ἐγγίζει ὁ δικαιώσας
με (ιδ). τίς ὁ κρινόμενός μοι;
9 ἀνιστήτω μοι (ιε) . . . [9] ἰδοὺ κύριος
βοηθεῖ μοι· τίς κακώσει με (ιϛ);

ὑμῖν κακῶν οὐ ῥυσθήσεσθε· τὴν γὰρ ἐμὴν δύναμιν μαρτυρεῖ τὰ ἐν τοῖς στοιχείοις γενόμενα.

(ε) οὐ μόνον ἐν τῷ καιρῷ τῆς συντελείας, ἀλλὰ καὶ ἐν τῇ ἡμέρᾳ τοῦ σταυροῦ.

(ϛ) τουτέστιν ὁ πατὴρ ἐν ἐμοὶ λαλεῖ, ἡνίκα χρή με τὸ εὐαγγέλιον τοῖς Ἰουδαίοις διαμαρτύρασθαι.

(ζ) ἐν τῇ ἀνατολῇ ἣν διὰ σαρκὸς ἀνέτειλεν.

(η) τὸ τῆς σαρκός· ἐν γὰρ τῇ σαρκὶ τῷ πατρὶ μέχρι θανάτου ὑπήκουσεν.

(θ) τὰ παθήματα περὶ ὧν καὶ ὁ θεῖος Παῦλός φησι «Καίπερ δὲ ὢν υἱὸς ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν».[a]

(ι) ἑκὼν γὰρ τοῖς ὑπὲρ ἡμῶν πάθεσιν ἑαυτὸν ἐπιδέδωκεν.

(ια) ἐνισχυούσης τῆς θεότητος πρὸς τὰ πάθη τὴν ἀνθρωπότητα.

(ιβ) ἐπειδὴ οὐ δι' ἁμαρτίαν ἐμὴν, ἀλλὰ διὰ τὴν πρὸς τὸν ἄνθρωπον συμπάθειαν ἔπασχον.

(ιγ) ἐπειδὴ ἡ πέτρα· πληττομένη f. 125v
ἀπαθὴς μένει· πλήττοντες δὲ οἱ τύπτοντες.

(ιδ) ὁ πατὴρ τὸν υἱὸν διὰ τῆς ἀναστάσεως.

(ιε) τουτέστιν ἐξεταζέσθω πρὸς ἐμέ.

(ιϛ) τουτέστι τοῦ πατρός μοι μαρτυροῦντος οὐδείς με κακῶσαι συκοφαντῶν δυνήσεται.

---

4 κύριος dupl. A[3] B. 5 κυρίου dupl. A[3] B.
(ιγ) πλήττοντες δὲ οἱ τύπτοντες legitur in margine F.

---

[a] Hebr. 5 [8].

ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον
παλαιωθήσεσθε, καὶ ὡς σὴς κατα-
10 φάγεται ὑμᾶς (ιζ). 10 τίς ἐν ὑμῖν
ὁ φοβούμενος τὸν κύριον; ἀκουσάτω
τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ (ιη)·
οἱ πορευόμενοι ἐν σκότει, οὐκ ἔστιν
αὐτοῖς φῶς (ιθ), πεποίθατε ἐπὶ τῷ
ὀνόματι κυρίου καὶ ἀντιστηρίσασθε (κ)
11 ἐπὶ τῷ θεῷ. 11 ἰδοὺ πάντες ὑμεῖς
πῦρ (κα) καίετε καὶ κατισχύετε
φλόγα (κβ)· πορεύεσθε τῷ φωτὶ
τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογὶ ᾗ
ἐξεκαύσατε (κγ)· δι' ἐμὲ ἐγένετο
ταῦτα (κδ) ὑμῖν, ἐν λύπῃ κοιμη-
θήσεσθε.

(ιζ) ὑπὸ τοῦ πονηροῦ συνειδότος· ὡς σὴς γὰρ ἐν ἱματίῳ ἐν τῇ ψυχῇ τίκτεται καὶ φθορὰν ἐργάζεται.

(ιη) τοῦ Χριστοῦ.

(ιθ) πρὸς τοὺς Ἰουδαίους ὁ λόγος· οὗτοι γὰρ ἐν σκότῳ, ἐπειδὴ τὸ φῶς τῆς τοῦ Χριστοῦ θεογνωσίας ἠρνήσαντο.

(κ) ἐπιστηρίχθητε.

(κα) τὸν φθόνον.

(κβ) δυναμοῦντες τῷ θυμῷ τὸν φθόνον.

(κγ) τουτέστιν ὁδηγὸν ἕξετε τὸν φθόνον τὸν ἐξ ὑμῶν πρὸς ἀπώλειαν.

(κδ) ὅσα διὰ νόμου καὶ προφητῶν ἠπειλήθη.

51^{1-8}. Κεφ. ξθ'.

Προσφώνησις τῷ Ἰσραὴλ προσέχειν τοῖς τοῦ τάφου τοῦ δεσποτικοῦ θαύμασι καὶ τοῦ Ἀβραὰμ τὴν εὐλογίαν λογίζεσθαι καὶ τῆς Σιὼν ἐγκαινισμὸν προσδέχεσθαι, ἐθνῶν τε προσέλευσιν καὶ τῶν στοιχείων συντέλειαν· καὶ παραίνεσις τοῖς πιστοῖς μὴ φοβεῖσθαι τῶν ἀπίστων τὰ σκώμματα.

51 1 Ἀκούσατέ μου οἱ διώκοντες τὸ
δίκαιον (α) καὶ ζητοῦντες τὸν
κύριον, ἐμβλέψατε εἰς τὴν στερεὰν
πέτραν ἣν ἐλατομήσατε (β), . . .
2 2 ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα
ὑμῶν καὶ εἰς Σάρραν τὴν ὠδίνουσαν
ὑμᾶς· ὅτι εἷς ἦν, καὶ ἐκάλεσα αὐτὸν
καὶ εὐλόγησα αὐτὸν καὶ ἠγάπησα
αὐτὸν καὶ ἐπλήθυνα αὐτόν (γ).

(α) οἱ προσποιούμενοι ἐπιζητεῖν τὸ δίκαιον.

(β) εἰς τὸ λατομητὸν σπήλαιον ἐν ᾧ τὸν τάφον Ἰωσὴφ κατεσκεύασεν εἰς ὃν ἐτέθη ὁ κύριος.

(γ) κατανοήσατέ φησιν ὅτι ὥσπερ ἀπὸ νεκρῶν σωμάτων τοῦ Ἀβραὰμ καὶ τῆς Σάρρας τὸ ἔθνος τοῦ Ἰσραὴλ τοσοῦτον ἐξήγαγον,

10 τῷ θεῷ + ὑμῶν A[3]. Κεφ. ξθ': θαύμασι > θαύματα O. post ἐθνῶν om. τε Migne.
(κγ) τὸν φθόνον > τὸν φόνον F.

3 [3]καὶ σὲ νῦν παρακαλέσω Σιὼν (δ)
καὶ παρεκάλεσα πάντα τὰ ἔρημα
αὐτῆς (ε), καὶ θήσω τὰ ἔρημα αὐτῆς
ὡς παράδεισον καὶ τὰ πρὸς δυσμὰς
αὐτῆς ὡς παράδεισον κυρίου (ς)· εὐφρο-
σύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν
αὐτῇ (ζ), ἐξομολόγησιν καὶ φωνὴν
4 αἰνέσεως. [4]. . . καὶ ἡ κρίσις (η)
5 μου εἰς φῶς ἐθνῶν. [5]ἐγγίζει ταχὺ
ἡ δικαιοσύνη μου (θ), καὶ ἐξελεύσεται
ὡς φῶς τὸ σωτήριόν μου (ι), καὶ
εἰς τὸν βραχίονά μου (ια) ἔθνη
ἐλπιοῦσιν· ἐμὲ νῆσοι (ιβ) ὑπομενοῦσι,
6 . . . [6]ἄρατε εἰς τὸν οὐρανὸν τοὺς
ὀφθαλμοὺς ὑμῶν καὶ ἐμβλέψατε εἰς
τὴν γῆν κάτω, ὅτι ὁ οὐρανὸς ὡς
καπνὸς ἐστερεώθη, καὶ ἡ γῆ ὡς
ἱμάτιον παλαιωθήσεται (ιγ), οἱ δὲ
κατοικοῦντες τὴν γῆν ὥσπερ ταῦτα
ἀποθανοῦνται (ιδ), τὸ δὲ σωτήριόν
μου (ιε) εἰς τὸν αἰῶνα ἔσται, ἡ δὲ
δικαιοσύνη μου οὐ μὴ ἐκλείπῃ (ις).
7 [7]ἀκούσατέ μου οἱ εἰδότες κρίσιν (ιζ)
. . . μὴ φοβεῖσθε ὀνειδισμὸν
ἀνθρώπων (ιη), καὶ τῷ φαυλισμῷ
8 αὐτῶν μὴ ἡττᾶσθε (ιθ). [8]ὡς γὰρ
ἱμάτιον βρωθήσεται ὑπὸ χρόνου (κ),

οὕτως ἐκ τάφου τὴν ἀνάστασιν τῶν νεκρῶν ᾠκονόμησα.

(δ) ἐν σοὶ τοῖς μαθηταῖς ἐμφανιζόμενος.

(ε) προεῖπον ἐκεῖ ἥξειν τοὺς ἐξ ἐθνῶν εἰς κατοίκησιν.

(ς) παρέχων ἐν αὐτοῖς τοῦ ξύλου f. 126
τῆς ζωῆς τὴν ἀπόλαυσιν.

(ζ) τουτέστι τά ποτε σκοτεινὰ διὰ τὴν πλάνην χωρία φωτίζω τῇ θεογνωσίᾳ, καὶ χαρὰ ἐν αὐτοῖς ἡ τῶν μυστηρίων εὑρεθήσεται.

(η) τὸ κρίμα τουτέστι τὸ πρόσταγμα.

(θ) ἡ διὰ τῆς τοῦ σωτῆρος ἀφίξεως.

(ι) ὁ εὐαγγελικὸς λόγος.

(ια) εἰς τὰ σημεῖα καὶ τὰ θαύματα.

(ιβ) αἱ ἐκκλησίαι.

(ιγ) τουτέστι πρόσκαιρα τὰ στοιχεῖα τὰ ὁρατὰ γεγένηται.

(ιδ) ὥσπερ ἡ κτίσις πρόσκαιρος, καὶ τῆς κτίσεως οἱ κληρονόμοι.

(ιε) ὅπερ ἐν τῇ κτίσει τῇ μὴ παλαιουμένῃ τῷ ἀνθρώπῳ χαρίζομαι.

(ις) ἐπειδὴ ἀπὸ τοῦ παρόντος αἰῶνος ὁ μέλλων διαδέχεται, ἄμφω δὲ τὴν τοῦ θεοῦ δικαιοσύνην ἔχουσιν.

(ιζ) δικαιοσύνην.

(ιη) ὃν οἱ τοῦ βίου δυνάσται τοὺς ἀδυνάτους ὀνειδίζουσιν.

(ιθ) τουτέστι μὴ καταλίπητε τὴν ἀρετὴν δι' ἣν ὑμᾶς φαυλίζουσιν.

(κ) ὁ μάταιος ὀνειδισμός· τῷ χρόνῳ γὰρ ἐλέγχεται.

---

3 καὶ θήσω usque δυσμὰς αὐτῆς A^3 BS. 5 ὡς φῶς om. A. 6 κατοικοῦντες + τὴν γῆν A. 7 φοβεῖσθε > φοβεῖσθαι A. ἡττᾶσθε Hes. (vide ιθ). ἡττᾶσθαι A.

καὶ ὡς ἔρια βρωθήσεται ὑπὸ σητὸς (κα), ἡ δὲ δικαιοσύνη μου εἰς τὸν αἰῶνα ἔσται (κβ), τὸ δὲ σωτήριόν μου εἰς γενεὰς γενεῶν.

(κα) τῶν ὑπερηφάνων καὶ ὑβριστῶν τὰ ῥήματα.

(κβ) τουτέστι πρὸς τὰ τῶν ἀνθρώπων πρόσκαιρα τὰ τοῦ θεοῦ αἰώνια.

51 9–23. Κεφ. ο'.

Παράκλησις τῇ Ἱερουσαλὴμ ὡς λαοῦ πιστοῦ ἐν αὐτῇ συνελεύσεσθαι μέλλοντος· καὶ προτροπὴ ἐπὶ θεῷ πεποιθέναι· καὶ ὑπόσχεσις τὴν κατ' αὐτῆς ὀργὴν κατὰ δαιμόνων τραπήσεσθαι.

9 [9] Ἐξεγείρου ἐξεγείρου Ἱερου-
σαλὴμ (α) καὶ ἔνδυσαι τὴν ἰσχὺν
τοῦ βραχίονός σου (β), ἐξεγείρου
ὡς ἐν ἀρχῇ ἡμέρας, ὡς γενεὰ
10 αἰῶνος (γ). οὐ σὺ εἶ [10] ἡ ἐρημοῦσα
θάλασσαν, ὕδωρ ἀβύσσου πλῆθος (δ);
ἡ θεῖσα τὰ βάθη τῆς θαλάσσης
11 ὁδὸν διαβάσεως ῥυομένοις [11] καὶ
λελυτρωμένοις (ε); ὑπὸ γὰρ κυρίου
ἀποστραφήσονται (ϛ) καὶ ἥξουσιν
εἰς Σιὼν (ζ) μετ' εὐφροσύνης καὶ
ἀγαλλιάματος αἰωνίου (η)· ἐπὶ γὰρ
τῆς κεφαλῆς αὐτῶν ἀγαλλίαμα καὶ
αἴνεσις (θ), καὶ εὐφροσύνη κατα-
λήψεται αὐτούς, ἀπέδρα ὀδύνη
καὶ λύπη καὶ στεναγμός (ι). ἐγώ
12 εἰμι, [12] ἐγώ εἰμι ὁ παρακαλῶν
σε (ια)· γνῶθι τίνα εὐλαβηθεῖσα

(α) πρὸς τὴν νέαν Ἱερουσαλὴμ καὶ τὴν ἐκκλησίαν ὁ λόγος. f. 126v

(β) τὰ σημεῖα τοῦ Χριστοῦ καὶ τὰ θαύματα.

(γ) τουτέστιν ὡς ἀπ' ἀρχῆς ἐπιλεχθεῖσα, ἔχουσα δὲ τὴν ἐκκλησίαν αἰώνιον.

(δ) τὸ ἁλμυρὸν τῆς ἀσεβείας σύστημα.

(ε) τουτέστιν ἡ τὸ βάθος, τῆς ἀσεβείας σύστημα, ἐξελθεῖν τοὺς διὰ βαπτίσματος λυτρωθέντας ποιήσασα;

(ϛ) ἐκ πλάνης εἰς ἀλήθειαν.

(ζ) εἰς τὸν οἶκον τῶν μυστηρίων οἱ λυτρωθέντες.

(η) μετὰ τῶν ἀρραβώνων τοῦ πνεύματος.

(θ) αἱ θεῖαι ᾠδαὶ αἱ τοῖς βαπτιζομένοις ψαλλόμεναι.

(ι) πᾶσαν γὰρ τὴν τοῦ Ἀδὰμ καὶ τῆς Εὔας καταδίκην ἡ χάρις ἀπεδίωξεν.

(ια) ὁ θεὸς ὑπάρχων καὶ γενόμενος ἄνθρωπος τῆς τῶν ἀνθρώπων εἰς σωτηρίαν παρακλήσεως ἕνεκα.

Κεφ. ο': ἐπὶ θεῷ > ἐπὶ τῷ θεῷ C. 9 Ἱερουσαλὴμ A[3] BS. οὐ σὺ εἶ + ἡ λατομήσασα πλάτος, διαρρήξασα δράκοντα; οὐ σὺ εἶ A[3]. 11 ἐγώ εἰμι + αὐτὸς A[3].

ἐφοβήθης ἀπὸ ἀνθρώπου θνητοῦ (ιβ)
καὶ ἀπὸ υἱοῦ ἀνθρώπου οἳ ὡσεὶ
13 χόρτος ἐξηράνθησαν. [13] . . . καὶ
ἐφόβου ἀεὶ πάσας τὰς ἡμέρας τὸ
πρόσωπον τοῦ θυμοῦ τοῦ θλίβοντός
σε (ιγ)· ὃν τρόπον γὰρ ἐβουλεύσατο
τοῦ ἆραί σε· καὶ νῦν ποῦ ὁ θυμὸς
14 τοῦ θλίβοντός σε (ιδ); [14] ἐν γὰρ
τῷ σώζεσθαί σε οὐ στήσεται οὐδὲ
15 χρονιεῖ (ιε), [15] ὅτι ἐγὼ ὁ θεός σου
ὁ ταράσσων τὴν θάλασσαν καὶ ἠχῶν
16 τὰ κύματα αὐτῆς (ις) . . . [16] θήσω
τοὺς λόγους μου εἰς τὸ στόμα
σου (ιζ), καὶ ὑπὸ τὴν δεξιάν μου
σκεπάσω σε ἐν ᾗ ἔστησα τὸν οὐρανὸν
καὶ ἐθεμελίωσα τὴν γῆν (ιη),
καὶ ἐρεῖ Σιών (ιθ) Λαός μου εἶ
17 σύ. [17] ἐξεγείρου ἐξεγείρου, ἀνάστηθι
Ἱερουσαλὴμ (κ), ἡ πιοῦσα τὸ πο-
τήριον τοῦ θυμοῦ ἐκ χειρὸς κυρίου·
τὸ ποτήριον γὰρ τῆς πτώσεως (κα),
τὸ κόνδυ τοῦ θυμοῦ ἔπιες καὶ ἐξ-
18 εκένωσας (κβ), [18] καὶ οὐκ ἦν ὁ
παρακαλῶν σε ἀπὸ πάντων τῶν
τέκνων σου ὧν ἔτεκες (κγ), καὶ
οὐκ ἦν ὁ ἀντιλαμβανόμενος τῆς
χειρός σου οὐδὲ ἀπὸ πάντων τῶν
19 υἱῶν σου ὧν ὕψωσας (κδ). [19] . . .

(ιβ) πρὸς τὴν ἐκκλησίαν λέγει ὡς ὀφείλουσαν τὸ ἀξίωμα τὸ οἰκεῖον λογίζεσθαι καὶ φόβον μὴ φοβεῖσθαι ἀνθρώπινον· φοβηθεῖσα γὰρ ἐν τῷ καιρῷ τῆς πλάνης ἀπὸ θεοῦ χωρηθεῖσα ἐτύγχανεν.

(ιγ) τοῦ διαβόλου.

(ιδ) ἃ γὰρ ἐβουλεύσατο ἐν θυμῷ καθ' ἡμῶν ὁ διάβολος, στῆσαι οὐκ ἴσχυσε μὴ συγχωρήσαντος θεοῦ.

(ιε) ἡ γὰρ σωτηρία τῶν ἀνθρώπων πτῶσις τῷ διαβόλῳ καθέστηκεν.

(ις) τουτέστιν ὁ μόνος ἔχων ἐξ- f. 127
ουσίαν τῆς κτίσεως.

(ιζ) εἰς τὴν γλῶσσαν τοῦ πιστοῦ λαοῦ τὸ εὐαγγέλιον.

(ιη) ἐν τῇ χειρί φησι φυλάττω τὸν πιστὸν ἐν ᾗ τὰ σημεῖα ἔπραξα· ἐν αὐτῇ γὰρ καὶ τὴν κτίσιν παρήγαγον.

(ιθ) ἡ νέα τοῖς πιστοῖς, ἐπειδὴ διὰ τῶν μυστηρίων τῶν ἐν αὐτῇ μαθητεύονται.

(κ) πρὸς τὴν παλαιάν φησιν, ἵνα ζηλώσῃ τὴν νέαν.

(κα) τὴν τοῦ ναοῦ πτῶσιν· Χριστὸς γὰρ ταύτην ἠπείλησεν.

(κβ) τουτέστιν ὅλον ἐμεθύσθης τῆς ὀργῆς θεοῦ τὸ ποτήριον.

(κγ) οὐδὲ γὰρ λόγον παρακλήσεως οἱ παῖδες τῶν Ἰουδαίων κέκτηνται.

(κδ) ἐπειδὴ προδόται τῆς Ἱερουσαλὴμ οἱ ἱερεῖς, μάλιστα οἱ παρ' αὐτοῖς ὑψωθέντες ἐγένοντο.

---

13 τοῦ ἆραί σε > τοῦ ἀρέσαι σε A. 14 χρονιεῖ + καὶ οὐ θανατώσει εἰς διαφθορὰν καὶ οὐ μὴ ὑστερήσει ἄρτος αὐτοῦ A[3]. 15 ὅτι ἐγὼ + κύριος A[3]. 17 θυμοῦ prius + αὐτοῦ A[3].

πτῶμα καὶ σύντριμμα (κε), λιμὸς
καὶ μάχαιρα (κϛ)· τίς σε παρα-
20 καλέσει; [20] οἱ υἱοί σου οἱ ἀπορού-
μενοι (κζ), οἱ καθεύδοντες ἐπ' ἄκρου
πάσης ἐξόδου (κη) ὡς σευτλίον
21 ἡμίεφθον (κθ) . . . [21] διὰ τοῦτο
ἄκουε τεταπεινωμένη καὶ μεθύουσα
22 οὐκ ἀπὸ οἴνου (λ). [22] οὕτως λέγει
κύριος ὁ θεὸς ὁ κρίνων τὸν λαὸν
αὐτοῦ Ἰδοὺ εἴληφα ἐκ τῆς χειρός
σου τὸ ποτήριον τῆς πτώσεως, τὸ
κόνδυ τοῦ θυμοῦ (λα), καὶ οὐ προσ-
23 θήσῃ ἔτι πιεῖν αὐτό· [23] καὶ ἐμβαλῶ
αὐτὸ εἰς τὰς χεῖρας τῶν ἀδικησάν-
των σε καὶ τῶν ταπεινωσάντων
σε (λβ) οἳ εἶπαν τῇ ψυχῇ σου
Κύψον (λγ), ἵνα παρέλθωμεν (λδ)·
καὶ ἔθηκας ἴσα τῇ γῇ τὰ μετά-
φρενά σου ἔξω τοῖς παραπορευ-
ομένοις (λε).

(κε) ἡ εἰς Χριστὸν ἀσέβεια· ἔπεσον γὰρ ἐν αὐτῇ καὶ συνετρίβησαν.

(κϛ) ἡ ἀπιστία· ἐν αὐτῇ γὰρ ἀπὸ θεογνωσίας ἐλίμωξαν καὶ τῇ μαχαίρᾳ τῆς ὀργῆς ἀνῃρέθησαν.

(κζ) οἱ ἐν ἀπορίᾳ λογισμῶν ἐξ ἀπιστίας διάγοντες.

(κη) τουτέστιν οἱ πανταχοῦ πρὸς ἀρετὴν ἀργοὶ καὶ ἐκλελυμένοι.

(κθ) τὸ βρωθῆναι μὴ δυνάμενον καὶ διὰ τοῦτο ἀπόβλητον.

(λ) συγγνώμην γὰρ ἡ μέθη τοῦ οἴνου ὑπὲρ τὴν μέθην τῆς ἀσεβείας κέκτηται.

(λα) τουτέστιν ἀπαλλάττω σε τῆς ὀργῆς, ὅταν ἐπιστρέψῃς διὰ πίστεως εὔδηλον.

(λβ) τῶν δαιμόνων.

(λγ) τουτέστιν ἐν ἀσεβείᾳ ταπεινώ- f. 127v
θητι.

(λδ) ἵνα σε διέλθωμεν καὶ ἐν σοὶ περιπατήσωμεν.

(λε) ἔκυψας πρὸς τὴν γῆν καὶ πατεῖν σε τοῖς δαιμονίοις ἐπέτρεψας.

52^{1-12}. Κεφ. οα'.

Παραίνεσις τῆς Σιὼν ὡς τῆς αἰχμαλωσίας μελλούσης ἀπαλλάττεσθαι· καὶ ἀνάμνησις οἷα Ἰσραὴλ ὁ παλαιὸς ἠνόμησε· καὶ πρόρρησις ὡς ἐνδημῶν ὁ Χριστὸς καὶ γνωρίζει τὰ οἰκεῖα μυστήρια καὶ ἀπαλλαγὴν αὐτοῖς τῆς ἀρχαίας Ἱερουσαλὴμ ὡς τυγχανούσης ἀκαθάρτου χαρίζεται.

52 1 Ἐξεγείρου ἐξεγείρου Σιών, ἔν-
δυσαι τὴν ἰσχύν σου (α) Σιών, καὶ

(α) τὴν τοῦ πνεύματος κάθοδον.

20 οἱ υἱοί σου > οἱ υἱοί σοι A. 21 ἄκουε + τοῦτο A³. 22 θυμοῦ + μου A³. Κεφ. οα': τῆς Σιὼν . . . μελλούσης > τῇ Σιὼν . . . μελλούσῃ Migne. ἀνάμνησις > ἀνάμησις O. ἀπαλλάττεσθαι > ἀπαλλάσεσθαι V.

ἔνδυσαι τὴν δόξαν σου (β) Ἱερου-
σαλὴμ πόλις ἁγία· οὐκέτι προσ-
τεθήσεται διελθεῖν διὰ σοῦ ἀπερίτμη-
2 τος καὶ ἀκάθαρτος (γ). [2] ἐκτίναξαι
τὸν χοῦν (δ) καὶ ἀνάστηθι, κάθισον
Ἱερουσαλήμ, ἔκδυσαι τὸν δεσμὸν
τοῦ τραχήλου σου (ε) ἡ αἰχμάλωτος
3 θυγάτηρ Σιών. [3] ὅτι τάδε λέγει
κύριος Δωρεὰν ἐπράθητε καὶ οὐ
μετὰ ἀργυρίου λυτρωθήσεσθε (ϛ).
4 [4] οὕτως λέγει κύριος Εἰς Αἴγυπτον
κατέβη ὁ λαός μου τὸ πρότερον
παροικῆσαι ἐκεῖ, καὶ εἰς Ἀσσυρίους
5 βίᾳ ἤχθησαν (ζ)· [5] καὶ νῦν τί
ἐστε ὧδε (η); τάδε λέγει κύριος
Ὅτι ἐλήφθη ὁ λαός μου δωρεάν,
θαυμάζετε καὶ ὀλολύζετε (θ) . . .
6 [6] διὰ τοῦτο γνώσεται ὁ λαός μου
τὸ ὄνομά μου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ (ι),
ὅτι ἐγώ εἰμι αὐτὸς ὁ λαλῶν πάρ-
7 ειμι (ια) [7] ὡς ὥρα ἐπὶ τῶν ὀρέων (ιβ),
. . . ὡς εὐαγγελιζόμενος ἀγαθά,
ὅτι ἀκουστὴν ποιήσω τὴν σωτηρίαν
8 σου (ιγ) . . . [8] ὅτι φωνὴ τῶν
φυλασσόντων σε (ιδ) ὑψώθη, καὶ
τῇ φωνῇ ἅμα εὐφρανθήσονται (ιε)·
ὅτι ὀφθαλμοὶ πρὸς ὀφθαλμοὺς
ὄψονται (ιϛ), ἡνίκα ἂν ἐλεήσῃ
9 κύριος τὴν Σιών. [9] ῥηξάτω εὐφροσύ-

(β) τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν.
(γ) ὁ ἀσεβὴς καὶ ὁ ἄπιστος· οὗτοι γὰρ τὴν ψυχὴν ἀπερίτμητοι.
(δ) τὸ χοϊκὸν ἐνθύμημα.
(ε) τὸν τῆς ἁμαρτίας· πνίγει γὰρ τὴν ψυχὴν ὥσπερ τράχηλον.
(ϛ) τουτέστιν ἀφ᾽ ἑαυτῶν τοῖς ἐχθροῖς παρεδόθητε καὶ διὰ τῆς τοῦ θεοῦ συμπαθείας σωθήσεσθε.
(ζ) τουτέστιν ἡ προτέρα αἰχμαλωσία ἀναγκαστή, ἡ δὲ νυνὶ νοητὴ κατὰ γνώμην ἐγένετο.
(η) τουτέστι· διὰ τί παρὰ τοῖς ἐχθροῖς ἐστε; οὐδὲ γὰρ πρὸς ἀνάγκην ἀπήχθητε.
(θ) πρὸς τοὺς ἱερεῖς τῶν Ἰουδαίων λέγει τοὺς θαυμάζοντας τὰ συμβάντα τῇ Ἱερουσαλὴμ κακὰ καὶ μὴ λογιζομένους, ὡς αὐτοὶ τὴν αἰτίαν δεδώκασιν.
(ι) διὰ τὴν κατὰ τῶν Ἰουδαίων παιδείαν.
(ια) ὅταν γὰρ συμβῇ τοῖς Ἰουδαίοις τὰ ἠπειλημένα παρὰ Χριστοῦ, τότε ὁ λαὸς ὁ πιστὸς μαθήσεται, ὅτιπερ ὁ διὰ προφητῶν λαλήσας ἀπήντησεν.
(ιβ) ὡς ἡ ἐν τοῖς προφήταις εὐπρέπεια.
(ιγ) τῆς νέας Σιὼν κηρύττων αὐτὴν διὰ τῶν εὐαγγελίων τοῖς ἔθνεσιν.
(ιδ) τῶν ἀποστόλων.
(ιε) ἔργα θεωροῦντες τὰ παρ᾽ αὐτῶν λεγόμενα.
(ιϛ) τουτέστιν οἱ ἐκ περιτομῆς μετὰ f. 128
τῶν ἐξ ἀκροβυστίας θεάσονται.

1 ἁγία praem. ἡ A^3 B. 5 τί ὧδε ἔσται A; τί ὧδέ ἐστε S; τί ἐστε ὧδε B. 6 ὄνομά μου + διὰ τοῦτο A^3. 8 ἐλεήσῃ > ἐλεήσει A.

νην ἅμα τὰ ἔρημα Ἱερουσαλὴμ (ιζ),
ὅτι ἠλέησε κύριος αὐτὴν καὶ ἐρρύ-
10 σατο Ἱερουσαλήμ (ιη). [10] καὶ ἀπο-
καλύψει κύριος τὸν βραχίονα αὐτοῦ
τὸν ἅγιον (ιθ) ἐνώπιον πάντων τῶν
11 ἐθνῶν . . . [11] ἀπόστητε ἀπό-
στητε (κ), ἐξέλθατε ἐκεῖθεν (κα),
καὶ ἀκαθάρτου (κβ) μὴ ἅπτεσθε,
ἐξέλθατε ἐκ μέσου αὐτῆς, ἀφ-
ορίσθητε οἱ φέροντες τὰ σκεύη
12 κυρίου (κγ)· [12] ὅτι οὐ μετὰ ταραχῆς
ἐξελεύσεσθε (κδ) οὐδὲ φυγῇ (κε)
πορεύσεσθε· πορεύσεται γὰρ πρό-
τερος ὑμῶν κύριος καὶ ὁ ἐπισυνάγων
ὑμᾶς κύριος ὁ θεὸς Ἰσραήλ (κϛ).

(ιζ) μέλλει γὰρ κατοικεῖσθαι τοῖς ἔθνεσιν.
(ιη) τῆς τῶν ἀρχαίων πολιτειῶν κακίας.
(ιθ) τὸν Χριστόν· Χριστὸς γὰρ θεοῦ δύναμις.
(κ) τῆς ἀσεβείας καὶ τῆς ἀπιστίας.
(κα) ἐκ τῶν διαβολικῶν φωλεῶν.
(κβ) πλάνης εἰδωλικῆς.
(κγ) οἱ σώματα ἔχοντες καθαρὰ ναοὺς κυρίου τυγχάνοντα.[a]
(κδ) οὐδὲ γὰρ ὑμᾶς θορυβῆσαι τολμήσουσιν ἀναχωροῦντας τῆς δουλείας αὐτῶν.
(κε) τουτέστιν οὐκ ἐν δειλίᾳ.
(κϛ) ὁ Χριστὸς ὁδηγῶν ἅπερ συνῆξεν ἀπὸ τῆς πλάνης.

52^{13}—53^{12}. Κεφ. οβ'.

Προφητεία τῆς τοῦ Χριστοῦ δόξης καὶ τῆς ἐν τοῖς πάθεσι ταπεινώσεως· καὶ ὅπως τῆς ἡμετέρας ἕνεκα σωτηρίας ἑαυτὸν εἰς θυσίαν ἐπέδωκεν ἣν ὁ πατὴρ τὴν τῶν ἡμετέρων ἁμαρτημάτων λύτρωσιν οἰκονομῶν εὐδόκησεν.

13 Ἰδοὺ συνήσει ὁ παῖς μου (α) καὶ
ὑψωθήσεται (β) καὶ δοξασθήσεται
14 σφόδρα (γ). [14] ὃν τρόπον ἐκστήσονται
ἐπὶ σὲ πολλοί, οὕτως ἀδοξήσει ἀπὸ
ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ
δόξα σου ἀπὸ τῶν ἀνθρώπων (δ).
15 [15] οὕτως θαυμάσονται ἔθνη πολλὰ
ἐπ' αὐτῷ, καὶ συνέξουσι βασιλεῖς

(α) εἰδὼς γὰρ ὁ Χριστὸς ἐπὶ τὸ πάθος ἔρχεται.
(β) διὰ σταυροῦ.
(γ) διὰ τῆς ἀναστάσεως.
(δ) ὥσπερ φησὶν ἐπὶ τοῖς σοῖς κατεπλάγησαν θαύμασιν, οὕτως ἄδοξόν σου τὸ εἶδος ἐν τῷ σταυρῷ φανήσεται, ἀλλὰ πάλιν θαῦμά σου μετὰ τὴν ἀνάστασιν ὅλοις ἔσται τοῖς ἔθνεσιν.

9 αὐτὴν A^{8} add. τὸν λαὸν αὐτοῦ. 11 μὴ ἅπτεσθε > μὴ ἅπτεσθαι AS. μὴ ἅψησθε B. Κεφ. οβ': C habet οα' pro οβ', unde mendose numerat usque ad κεφ. πα'. τῆς ἐν τοῖς > τοῖς ἐν τοῖς C. πάθησι [ἔθνεσι] sic Migne. 13 σφόδρα A^{3} praem. καὶ μετεωρισθήσεται. 15 συνέξουσι > συνάξουσι A.

[a] I Cor. $6^{18\,sq.}$ II Cor. 6^{16}.

τὸ στόμα αὐτῶν (ε)· ὅτι οἷς οὐκ
ἀνηγγέλη περὶ αὐτοῦ ὄψονται, καὶ
οἳ οὐκ ἀκηκόασι συνήσουσιν (ϛ).
53 1 Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ
ἡμῶν (ζ); καὶ ὁ βραχίων κυρίου
2 τίνι ἀπεκαλύφθη (η); [2] ἀνηγγείλαμεν
ἐναντίον αὐτοῦ ὡς παιδίον, ὡς ῥίζα
ἐν γῇ διψώσῃ (θ)· . . . καὶ οὐκ
εἶχεν εἶδος οὐδὲ κάλλος (ι).
3 [3] . . . ἄνθρωπος ἐν πληγῇ (ια) ὢν
καὶ εἰδὼς φέρειν (ιβ) μαλακίαν, ὅτι
ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ (ιγ),
ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη (ιδ).
4 [4] οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ
περὶ ἡμῶν ὀδυνᾶται (ιε), καὶ ἡμεῖς
ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ
ἐν πληγῇ καὶ ἐν κακώσει (ιϛ).
5 [5] αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς
ἀνομίας ἡμῶν καὶ μεμαλάκισται (ιζ)
διὰ τὰς ἁμαρτίας ἡμῶν· παιδεία
εἰρήνης ἡμῶν ἐπ' αὐτὸν (ιη) . . .
6 [6] πάντες ὡς πρόβατα ἐπλανήθημεν,
ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη (ιθ)·
καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς
7 ἁμαρτίαις ἡμῶν (κ), [7] καὶ αὐτὸς διὰ
τὸ κεκακῶσθαι (κα) οὐκ ἀνοίγει τὸ
στόμα (κβ)· ὡς πρόβατον (κγ) ἐπὶ

(ε) ἀντειπεῖν μὴ δυνάμενοι τῷ σωτηρίῳ κηρύγματι.

(ϛ) τουτέστιν οἷς οἱ προφῆται τὸν Χριστὸν οὐκ ἐκήρυξαν, οὗτοι τὰ περὶ αὐτοῦ μυστήρια γνώσονται.

(ζ) ἐπειδὴ παράδοξα τὰ διὰ τῶν προφητῶν περὶ Χριστοῦ κηρυττόμενα.

(η) τίς ἔγνω φησὶ τοῦ Χριστοῦ τὸ μυστήριον;

(θ) ὡς παιδίου γὰρ τῶν προφητῶν τὰ ῥήματα τοῖς θαύμασι τοῦ Χριστοῦ συγκρινόμενα καὶ ὡς ῥίζα γῆς διψώσης καὶ δεομένης ὕδατος.

(ι) ἐν τῷ καιρῷ τοῦ σταυροῦ διὰ f. 128v
τὰ παθήματα.

(ια) ὁ Χριστὸς τῇ ὑπὲρ ἡμῶν.

(ιβ) ὑποφέρειν.

(ιγ) οὐ φροντίζων τῶν γινομένων εὔδηλον.

(ιδ) τουτέστι κατεφρονήθη.

(ιε) ὑπὲρ ἡμῶν τὰ ὀδυνηρὰ πάσχων.

(ιϛ) δι' οἰκείας αὐτὸν ἁμαρτίας πάσχειν ταῦτα νομίζοντες.

(ιζ) τέθλασται.

(ιη) τουτέστιν ὑπὲρ τῆς εἰρήνης παθεῖν εἵλετο.

(ιθ) τουτέστιν ἑκὼν ἐπλανήθη ὁ ἄνθρωπος.

(κ) τὸν Χριστὸν ὁ πατὴρ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων.

(κα) τεταπεινῶσθαι.

(κβ) οὐδὲ γὰρ ἐλάλει παρὰ Πιλάτῳ κρινόμενος.[a]

(κγ) μετὰ πραότητος.

---

1 τίνι A[3] praem. ἐπὶ. 4 ἐν πληγῇ + ὑπὸ θεοῦ A[3]. 5 μεμαλάκισται B Hes. (vide ιζ); ἐμαλακίσθη A. 7 στόμα prius + αὐτοῦ A[3].

[a] Matth. 27[14]. Marc. 15[5].

σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον
τοῦ κείραντος αὐτὸν (κδ) ἄφωνος,
οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.
8 [8] ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ
ἤρθη (κε)· τὴν γενεὰν αὐτοῦ τίς
διηγήσεται (κϛ); ὅτι αἴρεται ἀπὸ
τῆς γῆς ἡ ζωὴ αὐτοῦ (κζ), ἀπὸ
τῶν ἀνομιῶν τοῦ λαοῦ (κη) μου
9 ἤχθη εἰς θάνατον. [9] καὶ δώσω τοὺς
πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ καὶ
τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου
10 αὐτοῦ (κθ) . . . [10] καὶ κύριος
βούλεται καθαρίσαι (λ) αὐτὸν ἀπὸ
τῆς πληγῆς· ἐὰν δῶτε περὶ
ἁμαρτίας (λα), ἡ ψυχὴ ὑμῶν ὄψεται
σπέρμα μακρόβιον· καὶ βούλεται
κύριος ἐν χειρὶ αὐτοῦ ἀφελεῖν ἀπὸ
τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ (λβ),
11 [11] δεῖξαι αὐτῷ φῶς (λγ) καὶ πλάσαι
τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ
δουλεύοντα πολλοῖς (λδ), καὶ τὰς
ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει (λε).

(κδ) τοῦ Πιλάτου· οὗτος γὰρ διὰ τῆς ἀποφάσεως τοῦ σταυροῦ τὸ ἔριον τῆς δεσποτικῆς σαρκὸς ἔκειρεν.

(κε) ὑψώθη· ὤφθη γὰρ ἀναμάρτητος.

(κϛ) ἐπειδὴ τοῦ Χριστοῦ καὶ ἡ ἄνω καὶ ἡ κάτω γένεσις ἀκατάληπτος.

(κζ) τουτέστιν εἰς οὐρανὸν ἀναλαμβάνεται.

(κη) διὰ τὰς ἀνομίας τοῦ λαοῦ.

(κθ) τοὺς Ἰουδαίους οὓς καὶ πλουσίους τῆς κακίας καλεῖ, οὓς ὁ θεὸς εἰς τιμωρίαν ἔδωκεν ἀνθ' ὧν τοῦ Χριστοῦ τὸν τάφον ἐσυκοφάντησαν ἀδίκως αὐτὸν θανατώσαντες.

(λ) ἀθῷον δεῖξαι· οὐδὲ γὰρ δι' f. 129
ἑαυτόν, ἀλλὰ δι' ἡμᾶς τὴν πληγὴν τὴν τοῦ πάθους ὑπέμεινεν.

(λα) ἐὰν ὑπὲρ ἁμαρτίας μετάνοιαν προσενέγκητε.

(λβ) ἐν γὰρ ταῖς χερσὶν ἃς εἰς σταυρὸν ἐξέτεινεν, ἔπαυσε τὸν πόνον ὃν ὡς συμπαθὴς ὑπὲρ ἡμῶν ὑπέμεινεν.

(λγ) ὅπερ ἡμεῖς ἐν τοῖς αὐτοῦ πάθεσιν ἐφωτίσθημεν.

(λδ) τὸν Χριστόν· ἡμῖν γὰρ διὰ τῶν παθῶν τοῖς ἀνθρώποις ἐδούλευσε, καὶ αὐτὸς δὲ διὰ τούτων ἀπεκαλύφθη καὶ τὸν ἄνθρωπον διὰ τῆς οἰκείας σοφίας ἀνέπλασεν.

(λε) εἰς τὸν σταυρόν.

---

10 ἐὰν δῶτε Hes. (non δῶται). Hes. disting. ergo sicut Tisch., non sicut ed. rom. ἐν χειρὶ αὐτοῦ Hes. (vide λβ) cum A^8; om. ABS.

12 [12] διὰ τοῦτο αὐτὸς κληρονομήσει
πολλοὺς (λϛ), καὶ τῶν ἰσχυρῶν (λζ)
μεριεῖ σκῦλα ἀνθ' ὧν παρεδόθη εἰς
θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν
τοῖς ἀνόμοις ἐλογίσθη, καὶ αὐτὸς
ἁμαρτίας πολλῶν ἀνήνεγκε καὶ διὰ
τὰς ἀνομίας αὐτῶν παρεδόθη.

(λϛ) διὰ τὸ πλῆθος τῶν ἐθνῶν.

(λζ) τοῦ λαοῦ τῶν Ἰουδαίων· ἰσχυροὶ γὰρ μέχρι τινὸς διὰ τὸν νόμον καὶ τοὺς προφήτας ἐτύγχανον· τούτων ὁ Χριστὸς τὰ σκῦλα καταμερίζει τοῖς ἔθνεσιν ἀνθ' ὧν οὐ μόνον αὐτὸν θανάτῳ κατεδίκασαν, ἀλλὰ καὶ ἄνομον τὸν τῆς ἡμετέρας ἁμαρτίας λυτρωτὴν ἐλογίσαντο.

54[1—17a.] Κεφ. ογ'.

Προφώνησις τῇ ἐκκλησίᾳ χαρᾶς τε καὶ αὐξήσεως· καὶ ὅτι χρόνον ὀλίγον ἕνεκεν παιδείας καταλειφθεῖσα παρὰ θεοῦ προσληφθήσεται· καὶ προφητεία τῆς ἐσομένης τῇ νέᾳ Ἱερουσαλὴμ δόξης καὶ δαιμόνων τῶν ἐχθραινόντων πρὸς αὐτὴν ὀλοθρεύσεως.

54 1 Εὐφράνθητι στεῖρα ἡ οὐ
τίκτουσα (α), . . . ὅτι πολλὰ τὰ
τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς
ἐχούσης τὸν ἄνδρα (β)· εἶπε γὰρ
2 κύριος. [2] πλάτυνον τὸν τόπον τῆς
σκηνῆς σου καὶ τῶν αὐλαιῶν
σου (γ), πῆξον, μὴ φείσῃ, μάκρυνον
τὰ σχοινίσματά σου, καὶ τοὺς
πασσάλους σου κατίσχυσον (δ),
3 [3] ἔτι εἰς τὰ δεξιὰ καὶ εἰς τὰ
ἀριστερὰ (ε) ἐκπέτασον· καὶ τὸ

(α) τῇ ἐκκλησίᾳ λέγει· πρὸ Χριστοῦ γὰρ οὐκ ἔτικτεν.

(β) τῆς ἐκκλησίας ὑπὲρ τὴν συναγωγὴν ἥτις ἄνδρα ποτὲ τὸν νόμον ἐκέκτητο.

(γ) ἐπειδὴ μέλλεις ὅλον τὸ πλήρωμα τῶν ἐθνῶν δέχεσθαι.

(δ) τουτέστι καὶ τοῖς μακρὰν πέμψον τὰς εὐαγγελικὰς ἐντολὰς καὶ τῶν μυστηρίων τοὺς λόγους ἀσφάλισαι.

(ε) πρὸς δικαίους καὶ ἁμαρτωλούς· ἐν τοῖς ἀριστεροῖς γὰρ οἱ ἁμαρτωλοὶ τάττονται.[a]

12 σκῦλα· ἀνθ' ὧν Tisch. σκῦλα ἀνθ' ὧν Hes. (vide λζ). ἁμαρτίας pro ἀνομίας A. Κεφ. ογ': Προφώνησις > Προσφώνησις C. προσληφθήσεται > προσμεμφθήσεται CO Migne (vide infra ιϛ). ἐχθραινόντων [ἐχθραινόντων] sic Migne. ὀλοθρεύσεως > ὀλόθρευσις V.

[a] Matth. 25[33].

σπέρμα σου (ϛ) ἔθνη κληρονομήσει,
καὶ πόλεις ἠρημωμένας κατοικιεῖς (ζ).
4 [4] μὴ φοβοῦ, ὅτι κατησχύνθης μηδὲ
ἐντραπῇς, ὅτι ὠνειδίσθης, ὅτι αἰσχύνην
αἰώνιον ἐπιλήσῃ (η), καὶ ὄνειδος
τῆς χηρίας σου οὐ μὴ μνησθήσῃ (θ).
5 [5] ὅτι κύριος ὁ ποιῶν σε (ι),
κύριος Σαβαὼθ ὄνομα αὐτῷ· καὶ ὁ
ῥυσάμενός σε, θεὸς αὐτὸς Ἰσραὴλ,
6 πάσῃ τῇ γῇ κληθήσεται (ια). [6] οὐχ ὡς
γυναῖκα καταλελειμμένην κέκληκέ
σε κύριος, οὐδ' ὡς γυναῖκα ἐκ
νεότητος μεμισημένην (ιβ), εἶπεν ὁ
7 θεός σου. [7] χρόνον μικρὸν (ιγ)
κατέλειπόν σε, καὶ μετὰ ἐλέους
8 μεγάλου ἐλεήσω σε. [8] . . . καὶ ἐν
ἐλέει αἰωνίῳ ἠλέησά σε, εἶπεν ὁ
9 ῥυσάμενός σε (ιδ) κύριος. [9] ἀπὸ τοῦ
ὕδατος τοῦ ἐπὶ Νῶε (ιε) τοῦτό μοί
ἐστι (ιϛ), καθότι ὤμοσα αὐτῷ ἐν
τῷ χρόνῳ ἐκείνῳ, τῇ γῇ μὴ
θυμωθήσεσθαι ἐπὶ σοὶ ἔτι, μηδὲ
10 ἐν ἀπειλῇ σου [10] τὰ ὄρη μετα-
στήσεσθαι (ιζ) . . . οὕτως οὐδὲ τὸ

(ϛ) ὁ τῆς διδασκαλίας λόγος.
(ζ) τὰς ὑπὸ τῆς εἰδωλικῆς πλάνης ἐρημωθείσας οἰκητὰς τῇ θεογνωσίᾳ ποιήσεις.
(η) τῇ ἐκκλησίᾳ λέγει· ἐν τῷ καιρῷ f. 129ᵛ γὰρ τῶν εἰδώλων ὑπῆρχεν ἐπονείδιστος, ἀλλὰ διὰ τῆς εἰς Χριστὸν πίστεως τὴν αἰσχύνην ἀπέθετο.
(θ) ὅταν σε Χριστὸς νύμφην μνηστεύσηται.
(ι) ἐκ πόρνης παρθένον καὶ ἀπὸ χήρας νύμφην.
(ια) τουτέστιν αὐτὸς καὶ νυμφίος τῆς ἐκκλησίας τῶν ἐθνῶν καὶ θεὸς Ἰσραὴλ πάσῃ τῇ γῇ πιστεύεται.
(ιβ) τουτέστιν οὐχ ὡς τὴν συναγωγὴν, οὕτω καὶ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν ὁ θεὸς ἐκάλεσεν· ἐκείνη γὰρ ὡς πρὸς ἀρετὴν ὀλίγωρος ἄνωθεν παρὰ θεοῦ μεμίσηται, νυνὶ δὲ καταλέλειπται.
(ιγ) τὸν ἀπὸ τοῦ Μωσαϊκοῦ νόμου χρόνον μέχρι τῆς εὐαγγελικῆς χάριτος· ὀλίγος γὰρ οὗτος πρὸς τοὺς αἰῶνας συγκρινόμενος ἐν οἷς ὁ θεὸς τὴν τῶν ἐθνῶν ἐκκλησίαν νενύμφευται.
(ιδ) ἐκ τῆς τῶν εἰδώλων δουλείας.
(ιε) ἀπὸ τοῦ κατακλυσμοῦ.[a]
(ιϛ) τοῦτόν φησιν ἐκ τῶν καιρῶν τοῦ Νῶε σκοπὸν πᾶσαν προσλαβέσθαι τὴν ἀνθρωπότητα.
(ιζ) μηκέτι γὰρ κατακλύσειν τὴν γῆν μηδὲ ποιήσειν ἔτι οἷα ἐν τῇ διαφθορᾷ τῶν γιγάντων ὑπέσχετο.[b]

3 κατοικιεῖς Hes. (vide ζ) cum B; κατοίκησις A. 4 A³ B add. in fine ἔτι.
10 μεταστήσεσθαι > μεταστήσασθαι A.

[a] Gen. 6 sqq. [b] ibid. 8²¹.

παρ' ἐμοῦ σοι ἔλεος ἐκλείψει, οὐδὲ
ἡ διαθήκη τῆς εἰρήνης σου οὐ μὴ
μεταστῇ (ιη)· εἶπε γὰρ κύριος Ἵλεώς
11 σοι. [11] ταπεινὴ καὶ ἀκατάστατος (ιθ)
οὐ παρεκλήθης (κ)· ἰδοὺ ἐγὼ ἑτοιμάζω
σοι ἄνθρακα (κα) τὸν λίθον σου, καὶ
12 τὰ θεμέλιά σου σάπφειρον (κβ), [12] καὶ
θήσω τὰς ἐπάλξεις σου ἴασπιν (κγ)
καὶ τὰς πύλας σου (κδ) λίθους
κρυστάλλου (κε) καὶ τὸν περίβολόν
13 σου λίθους ἐκλεκτοὺς (κϛ), [13] καὶ
πάντας τοὺς υἱούς σου διδακτοὺς
15 θεοῦ (κζ) . . . [15] ἰδοὺ προσήλυτοι
προσελεύσονταί σοι δι' ἐμοῦ (κη),
καὶ παροικήσουσί σοι καὶ ἐπὶ σὲ
16 καταφεύξονται (κθ). [16] ἰδοὺ ἐγὼ
κτίζω σε, οὐχ ὡς χαλκεὺς (λ)

(ιη) κατ' ἐκείνην φησὶ τὴν διαθήκην ἣν πρὸς τὸν Νῶε πεποίημαι ἡ πρὸς τὴν ἐκκλησίαν ἔσται διαθήκη, ἐπειδὴ κἀκείνην καὶ ταύτην ὅλῳ τῷ γένει τῶν ἀνθρώπων πεποίημαι.

(ιθ) ἐν τῇ πλάνῃ γὰρ ἦν τῶν εἰδώλων ἑκάτερον ἡ ἐκκλησία.

(κ) ἄνθρωπός σέ φησιν οὐ παρεκάλεσεν, ἐλθὼν δὲ ὁ Χριστὸς τὰ ἐξῆς σοι πρὸς παράκλησιν δέδωκεν.

(κα) τὴν πίστιν· πυρώδης γὰρ ἡ πίστις· τοῦτο δὲ ὁ ἄνθραξ λέγεται.

(κβ) τὴν ἀγάπην ὡς εὐπρεπῆ· ὁ γὰρ σάπφειρος εὐπρεπὴς ἑρμηνεύεται.

(κγ) τὴν ἐλπίδα ὡς πολύτιμον. f. 130

(κδ) τῆς βασιλείας τὴν εἴσοδον.

(κε) τὰ τῆς μετανοίας καὶ τοῦ βαπτίσματος ὕδατα· ὕδωρ γὰρ πεπηγὸς εἶναί φασι τὸν κρύσταλλον.

(κϛ) τὰς ἀρετάς· ταύτας γὰρ ἡ ἐκκλησία περιβάλλεται.

(κζ) διὰ τῆς ἐνεργείας μαθητευομένους τοῦ πνεύματος.

(κη) οἱ διὰ τῆς εὐαγγελικῆς χάριτος τῇ πίστει τῆς ἐκκλησίας προσερχόμενοι.

(κθ) τουτέστιν οἰκήσουσι παρὰ σοὶ καὶ ἐν τῇ σῇ πολιτεύσονται χάριτι.

(λ) τουτέστιν οὐδὲ ὡς φθαρτὴν οὐδὲ ὡς πρόσκαιρον, — τοιαῦτα γὰρ τὰ τῶν ἐπιγείων χαλκευτῶν —,

---

15 καὶ παροικήσουσί σοι Hes. (vide κθ) cum A^{s} B; om. AS.

φυσῶν ἄνθρακας καὶ ἐκφέρων σκεῦος
εἰς ἔργον· ἐγὼ δὲ ἔκτισά σε οὐκ
17 εἰς ἀπώλειαν φθεῖραι (λα). [17] πᾶν
σκεῦος σκευαστὸν (λβ), ἐπὶ δὲ σὲ
οὐκ εὐδοκήσω· καὶ πᾶσα φωνὴ ἀναστήσεται ἐπὶ σὲ εἰς κρίσιν, πάντας αὐτοὺς ἡττήσεις (λγ), οἱ δὲ ἔνοχοί σου ἔσονται ἐν αὐτῇ (λδ).

ἄφθαρτον δὲ σὲ καὶ αἰώνιον διὰ τῆς εὐαγγελικῆς προσηγαγόμην κλήσεως.

(λα) οὐχ ὥστε ἀπολέσθαι οὐδὲ φθαρῆναι.

(λβ) τὸ παρὰ τοῦ διαβόλου πρὸς πονηρίαν σκευαζόμενον.

(λγ) φωνὴ κατὰ σοῦ δαιμόνων τυχὸν ἢ αἱρετικῶν ἢ Ἰουδαίων ἢ καὶ ἴσως Ἑλλήνων ἐπαναστήσεται, ὅσοι βασκανίας ἕνεκα διαβάλλειν σε θέλουσι, καὶ πάντας νικήσεις διὰ πίστεως.

(λδ) οἱ ἐν τῇ πλάνῃ ποτέ σε τῶν εἰδώλων ἀπατήσαντες ἐν καταχρίσει ἔσονται.

54[17 b]—55[13]. Κεφ. οδ'.

Ἐπαγγελία κληρονομίας ἐθνῶν καὶ ὕδατος μυστικοῦ καὶ διαθήκης εὐαγγελικῆς καὶ ἐθνῶν εἰς Χριστὸν προσκυνήσεως· καὶ προτροπὴ μετανοίας καὶ ἀγαθῶν πλήθους διὰ ταύτης ὑπόσχεσις.

Ἔστι κληρονομία τοῖς θεραπεύουσι κύριον, καὶ ὑμεῖς (α) ἔσεσθέ μοι δίκαιοι, λέγει κύριος.
55 1 Οἱ διψῶντες, πορεύεσθε ἐφ'
ὕδωρ, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον (β), βαδίσαντες ἀγοράσατε (γ) καὶ πίετε ἄνευ ἀργυρίου (δ) καὶ

(α) οἱ διὰ πίστεως τὸν θεὸν θεραπεύσαντες.

(β) ἐπιτιμᾷ Μέχρι τίνος ὑπὸ τοῦ δίψους φθείρεσθε; τὸ γὰρ ὕδωρ τὸ μυστικὸν καὶ τοῖς πτωχεύουσι πρόκειται.

(γ) διὰ πίστεως.

(δ) ἐπειδὴ δωρεὰν καὶ δοῦναι καὶ λαβεῖν τὰ θεῖα ὁ Χριστὸς ὑπέσχετο.[a]

---

16 φυσῶν + ἐν πυρὶ A[3]. 17 φωνὴ ἣ ἀναστήσεται A. οἱ δὲ ἔνοχοι — αὐτῇ A[3]. Κεφ. οδ': ὑπόσχεσις > ὑπόσχεσεις sic O. 17 κύριον > κυρίῳ A. 1 ἄνευ A[3] praem. καὶ πορεύεσθε καὶ ἀγοράσατε A[3].

---

[a] Matth. 10[8].

2 τιμῆς οἶνον καὶ στέαρ (ε). [2]ἵνα τί
τιμᾶσθε ἀργυρίου, καὶ τὸν μόχθον
ὑμῶν οὐκ εἰς πλησμονήν (ϛ); . . .
3 [3]. . . καὶ διαθήσομαι ὑμῖν δια-
θήκην αἰώνιον (ζ), τὰ ὅσια Δαυὶδ
4 τὰ πιστά (η). [4]ἰδοὺ μαρτύριον ἐν
ἔθνεσι δέδωκα αὐτὸν (θ), ἄρχοντα
5 καὶ προστάσσοντα ἔθνεσιν. [5]ἔθνη ἃ
οὐκ οἴδασί σε (ι) ἐπικαλέσονταί σε
. . . ἕνεκεν κυρίου τοῦ θεοῦ σου (ια)
τοῦ ἁγίου Ἰσραὴλ, ὅτι ἐδόξασέ σε.
6 [6]ζητήσατε τὸν θεὸν (ιβ) καὶ ἐν
τῷ εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε·
ἡνίκα ἂν ἐγγίζῃ ὑμῖν (ιγ),
7 [7]ἀπολειπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς
αὐτοῦ (ιδ) . . . καὶ ἐπιστραφήτω
ἐπὶ κύριον (ιε), καὶ ἐλεηθήσεται . . .
8 [8]οὐ γάρ εἰσιν αἱ βουλαί μου (ιϛ)
ὥσπερ αἱ βουλαὶ ὑμῶν (ιζ) . . .
9 [9]ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ
τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου
ἀπὸ τῶν ὁδῶν ὑμῶν καὶ τὰ δια-
νοήματα ὑμῶν ἀπὸ τῆς διανοίας
10 μου (ιη). [10]ὡς γὰρ ἐὰν καταβῇ
ὑετὸς ἢ χιὼν ἀπὸ τοῦ οὐρανοῦ, καὶ
οὐ μὴ ἀποστραφῇ, ἕως ἂν μεθύσῃ
τὴν γῆν, καὶ ἐκτέκῃ, καὶ βλαστήσῃ
καὶ δῷ σπέρμα τῷ σπείροντι καὶ
11 ἄρτον εἰς βρῶσιν, [11]οὕτως ἔσται τὸ
ῥῆμά μου ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ
στόματός μου (ιθ) . . . καὶ εὐοδώσω

(ε) τὸ τῶν Ἰουδαϊκῶν θυσιῶν.

(ϛ) εἰκῇ φησι μοχθεῖτε· ἐμπλῆσαι γὰρ ψυχὴν τὰ παρ' ὑμῖν οὐ δύνανται.

(ζ) τὴν εὐαγγελικήν. f. 130v

(η) τοῦ Χριστοῦ, ἐπειδὴ Χριστὸς ἐκ Δαυίδ· ὅσια δὲ αὐτοῦ καὶ πιστὰ τὰ μυστήρια.

(θ) τὸν Χριστόν· αὐτὸς γὰρ τοῖς ἔθνεσι τὸν νόμον ἐμαρτύρατο.

(ι) τὸν Χριστόν· οὐδὲ γὰρ αὐτὸν τὰ ἔθνη μαθόντα διὰ νόμου ἢ προφητῶν ἐτύγχανον.

(ια) τοῦ πατρός· κύριον γὰρ αὐτὸν ὁ υἱὸς ἐκάλει τῆς ἀνθρωπότητος ἕνεκα[a]· αὐτὸς δὲ τὸν Χριστὸν ἐν Ἰορδάνῃ φωνὴν ἀφιεὶς ἐξ οὐρανῶν ἐδόξασεν.[b]

(ιβ) διὰ προσευχῆς.

(ιγ) διὰ τῆς χάριτος.

(ιδ) διὰ μετανοίας.

(ιε) τουτέστιν ὥσπερ πρὸς τὸν υἱὸν, οὕτω πρὸς τὸν πατέρα χρὴ τρέχειν τὸν ἐπιστρέφοντα.

(ιϛ) τοῦ υἱοῦ καὶ τοῦ πατρός.

(ιζ) τί γὰρ ἀνθρώπων σοφία πρὸς σοφίαν θεοῦ;

(ιη) τουτέστι κἂν σοφὰ κἂν δυνατὰ βουλεύσησθε ἢ ἐγχειρήσητε, ἀπείρως τῆς ἐμῆς δυνάμεως καὶ σοφίας ἐστὶ λειπόμενα.

(ιθ) ἀπὸ τῶν αἰσθητῶν φησι καὶ τὰ νοητὰ μάνθανε· ὥσπερ γὰρ ὁ ὑετὸς οὐ γίνεται ἄμετρος ὁ παρ' ἐμοῦ πεμπόμενος, οὕτως οὐδ' ὁ

---

1 οἴνου pro οἶνον A. 2 ἀργυρίου + ἐν οὐχ ἄρτοις sic A^{3}. 5 ἔθνη A^{3} praem. ἰδού. ἐπικαλέσωνται A. κυρίου Hes. (vide ια) cum A^{3}B. τοῦ ἁγίου A^{3} praem. καί. 6 ἐγγίζῃ > ἐγγίζει A. 10 ὑετὸς A^{3}B praem. ὁ. ἀποστραφῇ + ἐκεῖ A^{3}. βλαστήσει καὶ δώσει A.

---

[a] Matth. 11^{25}. [b] ibid. 3^{17}.

τὰς ὁδούς σου (κ) καὶ τὰ ἐν-
12 τάλματά μου. [12] ἐν γὰρ εὐφροσύνῃ
ἐξελεύσεσθε (κα) . . . τὰ γὰρ ὄρη
καὶ οἱ βουνοὶ ἐξαλοῦνται προσ-
δεχόμενοι ὑμᾶς ἐν χαρᾷ (κβ),
καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ (κγ)
13 ἐπικροτήσει τοῖς κλάδοις (κδ), [13] καὶ
ἀντὶ τῆς στοιβῆς ἀναβήσεται κυπά-
ρισσος (κε), ἀντὶ δὲ τῆς κονύζης
ἀναβήσεται μυρσίνη (κϛ)· καὶ ἔσται
κύριος εἰς ὄνομα (κζ) καὶ εἰς
σημεῖον αἰώνιον, καὶ οὐκ ἐκλείψει.

λόγος ὃς ἂν παρ' ἐμοῦ πρὸς τοὺς ἀνθρώπους γένηται.

(κ) τὰς πράξεις σου· ἐν γὰρ ταῖς f. 131
πράξεσι τῶν πιστῶν αἱ ἐντολαὶ τοῦ θεοῦ κατευθύνονται.

(κα) ἀπὸ τοῦ σκότου τῆς πλάνης.

(κβ) οἱ προφῆταί φησιν ἐπὶ τῇ ὑμετέρᾳ σωτηρίᾳ σκιρτήσουσι· πάλαι γὰρ αὐτὴν ὡς δι' αὐτῶν ἐπαγγελθεῖσαν προσδέχονται.

(κγ) τὸ τῶν δικαίων σύστημα.

(κδ) χαρήσεται τῇ καρποφορίᾳ τῶν ἐθνῶν.

(κε) ἀντὶ τοῦ χόρτου τῶν ἡδονῶν τὸ ὑψηλὸν τῆς φιλοσοφίας φρόνημα.

(κϛ) ἀντὶ τῆς πλεονεξίας ἡ εὐαφὴς δικαιοσύνη.

(κζ) τοῖς ἐξ αὐτοῦ κεκλημένοις χριστιανοῖς.

56^{1-12}. Κεφ. οε'.

Ἀπόφασις θεοῦ σάββατα ἡγεῖσθαι τὴν τῶν κακῶν ἀποχὴν καὶ ὑπὲρ τεκνογονίαν τιμᾶσθαι παρ' αὐτῷ τῶν ἐντολῶν τὴν κατόρθωσιν· καὶ κατηγορία τοῦ Ἰσραὴλ ὡς οὔτε τὸν νόμον νοοῦντος καὶ ἀσωτίᾳ σχολάζοντος.

56 1 Τάδε λέγει κύριος Φυλάσσεσθε
κρίσιν, ποιήσατε δικαιοσύνην· ἤγγικε
γὰρ τὸ σωτήριόν μου παραγίνεσθαι,
καὶ τὸ ἔλεός μου ἀποκαλυφθῆναι (α).
2 [2] μακάριος ἀνὴρ ὁ ποιῶν ταῦτα (β),
καὶ ἄνθρωπος ὁ ἀντεχόμενος αὐτῶν,

(α) τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν προφητεύει· μετὰ σωτηρίας γὰρ καὶ ἐλέους τοῖς μετανοήσασιν ἁμαρτωλοῖς ἐμφανίζεται.

(β) ἀφ' ὧν ἐλέους καὶ σωτηρίας τεύξεται.

Κεφ. οε': σάββατα > σαββάτων **CO Migne** (cf. infra glossam γ). νοοῦντος > νοοῦντας **O.** μειοῦντος **Migne.** ἀσωτίᾳ > ἀσωτείᾳ **C.** 1 ποιήσατ **A[3] B** praem. καὶ. ἤγγικε > ἤγγεισεν **A.** παραγίνεσθαι > παραγείνεσθαι **A.**

καὶ φυλάσσων τὰ σάββατα (γ) μὴ
βεβηλοῦν, καὶ διατηρῶν τὰς χεῖρας
3 αὐτοῦ μὴ ποιεῖν ἀδίκημα. [3] μὴ
λεγέτω ὁ ἀλλογενὴς (δ) ὁ προσ-
κείμενος πρὸς κύριον Ἀφοριεῖ με
ἄρα κύριος ἀπὸ τοῦ λαοῦ αὐτοῦ (ε)·
καὶ μὴ λεγέτω ὁ εὐνοῦχος, ὅτι ἐγώ
4 εἰμι ξύλον ξηρόν (ϛ). [4] τάδε λέγει
κύριος τοῖς εὐνούχοις Ὅσοι ἂν
φυλάξωνται τὰ σάββατά μου (ζ)
καὶ ἐκλέξωνται ἃ ἐγὼ θέλω . . .
5 [5] δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου (η)
καὶ ἐν τῷ τείχει μου (θ) τόπον
ὀνομαστὸν, κρείττω υἱῶν καὶ θυ-
6 γατέρων (ι) . . . [6] καὶ τοῖς
ἀλλογενέσι (ια) τοῖς προσκειμένοις
πρὸς κύριον δουλεύειν αὐτῷ . . .
καὶ πάντας τοὺς φυλασσομένους τὰ
σάββατά μου (ιβ) μὴ βεβηλοῦν καὶ
ἀντεχομένους τῆς διαθήκης μου (ιγ),
7 [7] εἰσάξω αὐτοὺς εἰς τὸ ὄρος τὸ
ἅγιόν μου (ιδ) καὶ εὐφρανῶ αὐτοὺς
ἐν τῷ οἴκῳ τῆς προσευχῆς μου (ιε)·
τὰ ὁλοκαυτώματα αὐτῶν (ιϛ) καὶ
αἱ θυσίαι αὐτῶν ἔσονται δεκταὶ ἐπὶ
τὸ θυσιαστήριόν μου (ιζ)· ὁ γὰρ οἶκός
μου οἶκος προσευχῆς κληθήσεται
8 πᾶσι τοῖς ἔθνεσιν (ιη), [8] εἶπε κύριος
ὁ συνάγων τοὺς διεσπαρμένους
Ἰσραὴλ (ιθ), ὅτι συνάξω ἐπ᾽ αὐτὸν

(γ) πάσης κακίας ἀποχήν· τοῦτο γὰρ τὸ ἀληθινὸν σάββατον, καὶ διὰ τοῦτο τῷ σαββάτῳ τὴν ἀποχὴν ἰδοὺ τῆς κακίας προσέθηκεν.

(δ) ὁ ἐξ ἐθνῶν, ὁ μὴ ἔχων πρὸς τὴν περιτομὴν συγγένειαν.

(ε) οὐδὲ γὰρ παρὰ τοῦ Χριστοῦ ὁ ἐξ ἐθνῶν ἀφορίζεται ἐκ τοῦ νοητοῦ Ἰσραὴλ, ἐπειδὴ ἡ πίστις εἰς περιτομὴν γίνεται.

(ϛ) ὁ ἄτεκνος ἢ ὁ ἄγαμος· ἑκάτερον γὰρ ὑπὸ κατάραν ὁ λαὸς τῶν Ἰουδαίων ἐνόμιζεν.

(ζ) τουτέστιν οὐ τὰ Ἰουδαϊκὰ, ἀλλ᾽ ἅπερ ἐγὼ θέλω· ἀργίαν γὰρ τὴν ἐκ κακίας οὐ βούλομαι.

(η) ἐν τῇ ἐκκλησίᾳ.

(θ) ἐν τῷ εὐαγγελικῷ λόγῳ.

(ι) τὸν κλῆρον τῶν ἀγγέλων· τοῦτον γὰρ οἱ διὰ Χριστὸν παρθενεύοντες ἔχουσιν.

(ια) τοῖς ἐξ ἐθνῶν πιστεύουσι. f. 131[v]

(ιβ) τὰ νοητά.

(ιγ) τῆς εὐαγγελικῆς.

(ιδ) εἰς τὸ θυσιαστήριον ὡς ὑψηλὸν καὶ τῆς γηίνης πολιτείας ἀνώτερον.

(ιε) ἐν τῇ ἐκκλησίᾳ.

(ιϛ) αἱ ἀρεταὶ αἱ τέλειαι· ὥσπερ γὰρ τὰ ὁλοκαυτώματα τῷ πυρὶ τελειοῦνται τοῦ πνεύματος.

(ιζ) τὸ ἐν οὐρανοῖς.

(ιη) ἐπειδὴ πάντα τὰ ἔθνη εἰς ἱλασμὸν ἡ ἐκκλησία δέχεται.

(ιθ) τοὺς διὰ τῆς ἁμαρτίας διασπαρέντας, διὰ δὲ μετανοίας πρὸς τὸν Χριστὸν συναγομένους·

---

3 Ἀφοριεῖ A[s] praem. λέγων ἀφορισμῷ. 4 τάδε λέγει A[s] praem. ὅτι. 5 κρείσσων A. 7 ἐπὶ τὸ θυσιαστήριον Hes. (vide ιζ) cum B. ἐπὶ τοῦ θυσιαστηρίου AS.

9 συναγωγὴν [9] πάντα τὰ θηρία τὰ
ἄγρια· δεῦτε, φάγετε, πάντα τὰ θηρία
10 τοῦ δρυμοῦ (κ). [10] ἴδετε, ὅτι πάντες
ἐκτετύφλωνται, οὐκ ἔγνωσαν (κα),
πάντες κύνες ἐνεοὶ οὐ δυνήσονται
ὑλακτεῖν (κβ), ἐνυπνιαζόμενοι
κοίτην, φιλοῦντες νυστάξαι (κγ).
11 [11] καὶ οἱ κύνες ἀναιδεῖς τῇ ψυχῇ,
οὐκ εἰδότες πλησμονήν· καί εἰσι
πονηροὶ οὐκ εἰδότες σύνεσιν (κδ),
πάντες ἐν ταῖς ὁδοῖς αὐτῶν
ἐξηκολούθησαν, ἕκαστος κατὰ τὸ
ἑαυτοῦ ἀπ' ἄκρου αὐτοῦ (κε).
12 [12] δεῦτε λάβωμεν οἶνον καὶ οἰνο-
φλυγήσωμεν μέθην (κϛ), καὶ ἔσται
τοιαύτη ἡμέρα αὔριον, μεγάλη
περισσῶς σφόδρα.

τούτοις γὰρ συνάπτει τοὺς ἐξ ἐθνῶν σωζομένους οὓς ἄγρια θηρία διὰ τὴν πλάνην τήν ποτε προσηγόρευσεν.

(κ) τοὺς ἐξ ἐθνῶν εἰς τὴν μυστικὴν τράπεζαν προτρέπεται.

(κα) οἱ τῶν Ἰουδαίων παῖδες τυφλοὶ τὴν ψυχήν, ὅθεν οὐκ ἔγνωσαν τοῦ Χριστοῦ τὴν δόξαν· οὐδὲ γὰρ τοῦτον ἐσταύρωσαν.[a]

(κβ) Ἰουδαῖοι καὶ τοῦτο ὡς κατὰ δαιμόνων τῶν αὐτοὺς πλανησάντων ὑλακτεῖν μὴ δυνάμενοι.

(κγ) τουτέστιν ἡδοναῖς καὶ ῥαθυμίᾳ χαίροντες.

(κδ) ἐπειδὴ πολλάκις πληγέντες παρὰ θεοῦ ἀσεβοῦντες ἐπέμειναν.

(κε) τουτέστιν ἀπὸ τῶν ἀρχόντων τοῦ λαοῦ μέχρι τοῦ ἐσχάτου κατὰ τὸ ἴδιον βούλημα, οὐχὶ δὲ τὸ τοῦ θεοῦ ἕκαστος ἐπορεύθησαν.

(κϛ) διαβάλλει τοὺς Ἰουδαίους ὡς εἰς συμπόσια μέθης ἀλλήλους ἐρεθίζοντας.

57 1—21. Κεφ. ος'.

Κατηγορία τῶν Ἰουδαίων μὴ συνιέντων τὴν βλάβην ἣν τὸν Χριστὸν ζημιωθέντες ὑπέστησαν, εἰδώλοις δὲ σχολασάντων καὶ δι' ὑπερηφανίαν ἀποστάντων θεοῦ· καὶ ὀνειδισμὸς τῆς Ἱερουσαλὴμ ὑπὲρ τὸν θεὸν φοβηθείσης τὰ εἴδωλα· καὶ ὑπόσχεσις τὸν πιστὸν σωθήσεσθαι.

57 1 Ἴδετε ὡς ὁ δίκαιος ἀπώλετο (α),
καὶ οὐδεὶς ἐκδέχεται τῇ καρδίᾳ,

(α) τὸν Χριστὸν λέγει· ὁ λαὸς γὰρ αὐτὸν τῶν Ἰουδαίων ζημιωθεὶς ἀπώλεσεν. f. 132

8. 9 interpunct. sec. interpret. Hes. 10 ἔγνωσαν + φρονῆσαι A. 11 κατὰ τὸ αὐτό A. 11. 12 ἀπ' ἄκρου usque περισσῶς σφόδρα om. ABS; leg. Hes. (vide κε et κϛ) cum A[3]; idem F nisi ἑαυτοῦ πλεονέκτημα ἀπ' ἄκρου et μέθῃ pro μέθην. Κεφ. ος': διὰ ὑπερηφανίαν C. τὸν πιστὸν > τῶν πιστῶν CV. 1 οὐδεὶς + ἀνὴρ A[3].

[a] I Cor. 2 8.

καὶ ἄνδρες δίκαιοι αἴρονται (β),
καὶ οὐδεὶς κατανοεῖ· ἀπὸ γὰρ προσ-
ώπου ἀδικίας (γ) ἦρται ὁ δίκαιος·
2 [2] ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ (δ),
3 ἦρται ἐκ τοῦ μέσου. [3] ὑμεῖς δὲ
προσαγάγετε ὧδε (ε) υἱοὶ ἄνομοι,
σπέρμα μοιχῶν καὶ πόρνης (ϛ)·
4 [4] . . . καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν
γλῶσσαν ὑμῶν (ζ); οὐχ ὑμεῖς ἐστε
τέκνα ἀπωλείας; σπέρμα ἄνομον (η);
5 [5] οἱ παρακαλοῦντες ἐπὶ τὰ εἴδωλα (θ)
ὑπὸ δένδρα δασέα, σφάζοντες τὰ
τέκνα αὐτῶν ἐν ταῖς φάραγξιν ἀνὰ
6 μέσον τῶν πετρῶν (ι); [6] ἐκείνη σου
ἡ μερὶς (ια) . . . ἐπὶ τούτοις οὖν οὐκ
7 ὀργισθήσομαι (ιβ); [7] ἐπ' ὄρος ὑψηλὸν
καὶ μετέωρον (ιγ), ἐκεῖ σου ἡ
κοίτη, καὶ ἐκεῖ ἀνεβίβασας θυσίας (ιδ),
8 [8] καὶ ὀπίσω τῶν σταθμῶν τῆς θύρας
σου ἔθηκας μνημόσυνά σου (ιε)· . . .
ἠγάπησας τοὺς κοιμωμένους μετὰ
9 σοῦ (ιϛ), [9] καὶ ἐπλήθυνας τὴν

(β) οἱ ἀπόστολοι, ἐπειδὴ καὶ αὐτοὶ τῶν Ἰουδαίων ἐχωρίσθησαν.

(γ) τῆς τῶν Ἰουδαίων συκοφαντίας.

(δ) οὐδὲ γὰρ αὐτὸν ὁ θάνατος ἐθορύβησεν.

(ε) τουτέστιν ἐγγὺς γένεσθε καὶ κατανοεῖτε τὰ παρ' ἐμοῦ λεγόμενα.

(ϛ) τῶν Φαρισαίων καὶ τῶν ἄλλων ὅσοι τὴν συναγωγὴν ἐν τῷ νοθεύειν ἐμοίχευον ἣν καὶ πόρνην ἐκάλεσεν.

(ζ) οὐδὲ γὰρ εἰς ἄνθρωπον, ἀλλ' εἰς θεὸν τὰς βλασφημίας ἐτολμήσατε.

(η) ἐπειδὴ σπέρμα πλάνης εἰδωλικῆς ἐδέξαντο.

(θ) τουτέστιν ἀλλήλους εἰς εἰδωλολατρίαν προτρέποντες.

(ι) τοὺς χώρους φησὶν ἐν οἷς τὰ οἰκεῖα τέκνα τοῖς εἰδώλοις κατέθυον.

(ια) τὸ θύειν τοῖς εἰδώλοις ὑπὸ δένδρα.

(ιβ) τουτέστι πῶς φείσομαι;

(ιγ) ἐπὶ τὴν διαβολικὴν ἀλαζονείαν.

(ιδ) εἰδωλικάς.

(ιε) εἰδωλικὰς διαβάλλει παρατηρήσεις· ὀπίσω γὰρ τῶν θυρῶν οἱ μὲν γράφειν, οἱ δὲ κρεμνᾶν τινα πρὸς φυλακὴν, ὡς ἐνόμιζον, καὶ μνήμην ἢ ἐπάνοδον τῶν χωρισθέντων εἰώθεσαν.

(ιϛ) τουτέστιν ἐραστὰς ἐκ τῶν δαιμόνων καὶ μοιχοὺς σεαυτῇ κατέστησας.

---

5 τὰ εἴδωλα A; A[3] S Hes. (vide θ) praem. ἐπὶ. τῶν πετρῶν A[3] praem. ἄκρων et add. ἐν ταῖς μερίσι φάραγγος. 7 ἀνεβίβασας + θυσιάσαι A[3].

πορνείαν σου μετ' αὐτῶν (ιζ), καὶ
πολλοὺς ἐποίησας τοὺς μακρὰν ἀπὸ
σοῦ, καὶ ἀπέστειλας πρέσβεις ὑπὲρ
τὰ ὅριά σου (ιη) καὶ ἀπέστρεψας,
10 καὶ ἐταπεινώθης ἕως ᾅδου. [10] ταῖς
πολυοδίαις σου (ιθ) ἐκοπίασας καὶ
οὐκ εἶπας Παύσομαι (κ), ἐνισχύουσα,
ὅτι ἔπραξας ταῦτα, διὰ τοῦτο οὐ
11 κατεδεήθης μου σύ (κα). [11] τίνα
εὐλαβηθεῖσα ἐφοβήθης καὶ ἐψεύσω
με καὶ οὐκ ἐμνήσθης μου (κβ),
οὐδὲ ἔλαβές με εἰς τὴν διάνοιαν
οὐδὲ εἰς τὴν καρδίαν σου; κἀγώ σε
ἰδὼν παρορῶ (κγ), καὶ ἐμὲ οὐκ
12 ἐφοβήθης. [12] κἀγὼ ἀπαγγελῶ τὴν
δικαιοσύνην σου καὶ τὰ κακά σου
13 ἃ οὐκ ὠφελήσει σε (κδ)· [13] . . .
τούτους γὰρ πάντας ἄνεμος (κε)
λήψεται καὶ ἀποίσει καταιγίς. οἱ
δὲ ἀντεχόμενοί μου (κϛ) κτήσονται
γῆν, καὶ κληρονομήσουσι τὸ ὄρος τὸ
14 ἅγιόν μου (κζ), [14] καὶ ἐροῦσι (κη)
Καθαρίσατε ἀπὸ προσώπου αὐτοῦ
ὁδοὺς (κθ), καὶ ἄρατε σκῶλα (λ)

(ιζ) τὴν εἰδωλολατρείαν.

(ιη) τουτέστιν ἐπλήθυνας κατὰ σαυτῆς τοὺς δαίμονας οἵτινες ἀπὸ σοῦ μακρὰν ἐτύγχανον πρότερον, καὶ πρὸς αὐτοὺς πρέσβεις μεσίτας πλάνης παρελθοῦσα τὰ ὅριά σου καὶ τοὺς προφήτας ἔπεμψας.

(ιθ) τῇ πολυτρόπῳ πλάνῃ. f. 132v

(κ) τῇ κακίᾳ ἐμμένουσα.

(κα) αἰσχυνομένη φησὶ τὰς πονηρὰς πράξεις οὐκ ἐβούλου προσεύχεσθαι.

(κβ) ὀνειδίζει τῇ συναγωγῇ, ὅτι οὓς οὐκ ἐχρῆν εὐλαβουμένη δηλαδὴ τοὺς δαίμονας οὔτε τὴν οἰκείαν ἀξίαν ἐλογίζετο καὶ θεοῦ ἐπελάθετο.

(κγ) τουτέστιν οὐκ ἀγνοῶν· ὀργιζόμενος δέ σε παρορῶ ἐν κακοῖς τυγχάνουσαν.

(κδ) μέμφεται τῇ συναγωγῇ, ὅτι μὴ φοβεῖται τὸν θεὸν ἀπαγγέλλοντα, τί μὲν αὐτὴν δικαιοῖ, ποῖα δὲ οὐκ ὠφελεῖ, ἀλλὰ καὶ βλάπτει πραττόμενα.

(κε) ἡ παρὰ θεοῦ ἀθρόως ἐπιφερομένη ὀργή.

(κϛ) διὰ τῆς τοῦ νόμου κατορθώσεως.

(κζ) τὴν ἐν οὐρανῷ κατοικίαν.

(κη) οἱ τὰ τοῦ Χριστοῦ κηρύττοντες.

(κθ) τὰς πολιτείας.

(λ) σκάνδαλα.

10 Παύσομαι, ἐνισχύουσα Hes. interpung. sicut Tisch., non sicut ed. rom. 10. 11 A coniungit sine interpunct. 12 δικαιοσύνην μου A; δικ. σου B Hes. (vide κδ). ὠφελεῖ > ὠφελήσουσιν A.

15 ἀπὸ τῆς ὁδοῦ τοῦ λαοῦ μου. [15] τάδε
λέγει κύριος ὁ ὕψιστος ὁ ἐν ὑψη-
λοῖς κατοικῶν τὸν αἰῶνα, ἅγιος ἐν
ἁγίοις ὄνομα αὐτῷ (λα), ὕψιστος ἐν
ἁγίοις ἀναπαυόμενος, καὶ ὀλιγοψύχοις
διδοὺς μακροθυμίαν (λβ), καὶ διδοὺς
ζωὴν τοῖς συντετριμμένοις τὴν
16 καρδίαν (λγ) [16] Καὶ οὐκ εἰς τὸν
αἰῶνα ἐκδικήσω ὑμᾶς οὐδὲ διὰ
παντὸς ὀργισθήσομαι ὑμῖν (λδ)·
πνεῦμα γὰρ παρ' ἐμοῦ ἐξελεύσεται,
καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα (λε).
17 [17] διὰ ἁμαρτίαν (λϛ) βραχύ τι (λζ)
ἐλύπησα αὐτὸν (λη), καὶ ἐπάταξα
αὐτὸν (λθ) καὶ ἀπέστρεψα τὸ
πρόσωπόν μου ἀπ' αὐτοῦ (μ), καὶ
ἐλυπήθη καὶ ἐπορεύθη στυγνὸς (μα)
18 ἐν ταῖς ὁδοῖς αὐτοῦ. [18] τὰς ὁδοὺς
αὐτοῦ (μβ) ἑώρακα, καὶ ἰασάμην
αὐτὸν (μγ) καὶ παρεκάλεσα αὐτὸν,
καὶ ἔδωκα αὐτῷ παράκλησιν
ἀληθινήν (μδ)· καὶ τοῖς παθηνοῖς
αὐτοῦ κτίζων ' καρπὸν χειλέων,
19 [19] εἰρήνην ἐπ' εἰρήνην τοῖς μακρὰν
καὶ τοῖς ἐγγὺς οὖσι (με). καὶ εἶπε
20 κύριος Ἰάσομαι αὐτούς (μϛ)· [20] οἱ δὲ

(λα) τουτέστιν οὐ μόνον ἅγιος, ἀλλὰ καὶ ἐν ἁγίοις κατοικῶν ὀνομάζεσθαι βούλεται.

(λβ) ἐν τῷ διδάσκειν τὴν ὑπομονὴν καὶ ταύτην μάλιστα τοῖς οἰκείοις μαθηταῖς ἐντέλλεσθαι.

(λγ) διὰ τῆς ἐν μετανοίᾳ ταπεινώσεως.[a]

(λδ) τουτέστιν οὐ διὰ παντὸς ὑμᾶς παιδεύσω, ἀλλὰ μετὰ τὴν παιδείαν ἐπιφέρω παράκλησιν.

(λε) ἐγώ φησι πᾶσαν κτίζω ψυχὴν f. 133
καὶ συμπαθὴς πρὸς πάντας διὰ τοῦτο καθέστηκα.

(λϛ) διὰ τὴν παρακοήν.

(λζ) ἐπειδὴ μετὰ φειδοῦς ἡ τιμωρία.

(λη) τὸν Ἀδάμ.

(λθ) τῇ ἀποφάσει.

(μ) διὰ τῆς ἀπειληθείσης κατάρας.

(μα) ἐκβληθεὶς τοῦ παραδείσου.

(μβ) τὰς ἐν βίῳ ταλαιπωρίας.

(μγ) νέον αὐτὸν ποιήσας διὰ τῆς τοῦ κυρίου σαρκώσεως.

(μδ) τὴν ἐκ νεκρῶν ἀνάστασιν.

(με) τοῖς μετὰ τὴν παρακοὴν τῷ Ἀδὰμ ἐπενεχθεῖσι πάθεσι — τούτοις γὰρ ὁ θεὸς ἔκτισέ τε καὶ ἔδωκε καρπὸν θεραπείας — τὴν αὐτοῦ εἰρήνην καὶ τοῖς ἔθνεσι καὶ τῷ Ἰσραὴλ δεδώρηται· διπλῆν δὲ ταύτην ὡς πρὸς θεὸν καὶ ἀνθρώπους ὑπάρχουσαν.

(μϛ) τῷ τῆς μετανοίας κηρύγματι.

---

15 τάδε λέγει A^3 praem. ὅτι. αὐτῷ + κύριος A. 17 ὁδοῖς + τῆς καρδίας A^3. 18 καὶ τοῖς παθηνοῖς αὐτοῦ κτίζων καρπὸν χειλέων A^3; sic (χειλέων?) etiam Hes. (vide με). interp. sec. interpret.

---

[a] conf. Ps. 50 (51)[19].

ἄδικοι (μζ) κλυδωνισθήσονται καὶ ἀναπαύσασθαι οὐ δυνήσονται· καὶ ἀποβάλλεται ὕδωρ αὐτῆς (μη) κατα-
21 πάτημα καὶ πηλόν. [21] οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσιν, εἶπε κύριος ὁ θεός.

(μζ) οἱ τὴν εὐαγγελικὴν δικαιοσύνην μὴ δεχόμενοι· Ἰουδαίους δὲ διὰ τούτων αἰνίττεται.
(μη) τῆς συναγωγῆς· ἤργησε γὰρ αὐτῆς τὰ τυπικὰ καθάρσια, καὶ ὡς πηλὸς λελόγισται.

58[1—14]. Κεφ. οζ'.

Πρόσταγμα τῷ προφήτῃ τὰ τῶν Ἰουδαίων κηρῦξαι κακά· καὶ ἐξήγησις τοῦ θεοῦ, τίνος μὲν χάριν τῶν Ἰουδαίων τὴν νηστείαν ἀπέβαλε, ποίᾳ δὲ νηστείᾳ τέρπεται καὶ ποίοις σαββάτοις ἀρέσκεται.

58 1 Ἀναβόησον (α) ἐν ἰσχύϊ καὶ μὴ φείσῃ, ὡς σάλπιγγα ὕψωσον τὴν φωνήν σου (β), καὶ ἀνάγγειλον τῷ λαῷ μου τὰ ἁμαρτήματα αὐτῶν (γ)
2 . . . [2] ἐμὲ ἡμέραν ἐξ ἡμέρας (δ) ζητοῦσι καὶ γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν (ε), ὡς λαὸς δικαιοσύνην θεοῦ πεποιηκὼς καὶ κρίσιν θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς (ς)· αἰτοῦσι μὲ νῦν κρίσιν δικαίαν καὶ ἐγγίζειν
3 θεῷ ἐπιθυμοῦσι (ζ), [3] λέγοντες Τί ὅτι ἐνηστεύσαμεν, καὶ οὐκ εἶδες; . . . ἐν γὰρ ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν (η) καὶ πάντας τοὺς ὑποχειρίους
4 ὑμῶν ὑπονύσσετε (θ). [4] εἰ εἰς κρίσεις καὶ μάχας νηστεύετε καὶ τύπτετε

(α) τουτέστι παρρησίασαι.
(β) μίμησαί φησι τοῦ εὐαγγελίου τὸ κήρυγμα.
(γ) ἐάν πως μαθόντες ἐπιστρέψωσιν.
(δ) ἐν ὑποκρίσει.
(ε) οὐκ ἀληθεύοντες, ἀλλὰ προσποιούμενοι.
(ς) τουτέστιν οὐκ αἰσχύνονται παραβάται τῆς τοῦ θεοῦ δικαιοσύνης τυγχάνοντες καὶ μεμφόμενοι τὴν τοῦ θεοῦ κρίσιν ὡς ἐξ αὐτῆς ἀδικούμενοι.
(ζ) μάτην φησὶν ἐγγίζειν θεῷ διὰ νηστείας βούλονται· οὐδὲ γὰρ οἵαν αὐτὸς ἐπιζητεῖ νηστείαν μετέρχονται.
(η) τουτέστιν ἡνίκα νηστεύετε, τὰ πονηρὰ ὑμῶν θελήματα μεταδιώκετε. f. 133v
(θ) ὡς δίκαιοι κατ' αὐτῶν ἐπαιρόμενοι.

---

20 κλυδωνισθήσονται A[8] praem. ὡς θάλασσα. καὶ ἀποβάλλεται usque πηλόν A[8], item Hes. (vide μη). Κεφ. οζ': τῶν ante Ἰουδαίων τὴν νηστείαν om. O. καὶ ante ποίοις om. O Migne. 2 ζητοῦσι > ζητήσουσι A. δικαιοσύνην A[8] praem. ὁ. 4 εἰ εἰς A[8] praem. ἰδού.

πυγμαῖς (ι) ταπεινόν, ἵνα τί μοι
νηστεύετε ὡς σήμερον ἀκουσθῆναι
ἐν κραυγῇ τὴν φωνὴν ὑμῶν (ια);
5 [5] οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην,
καὶ ἡμέραν ταπεινοῦν ἄνθρωπον τὴν
ψυχὴν αὐτοῦ (ιβ), οὐδ' ἂν κάμψῃς
ὡς κρίκον τὸν τράχηλόν σου (ιγ)
. . . οὐδ' οὕτως καλέσετε νηστείαν
6 δεκτήν (ιδ). [6] . . . διάλυε στραγ-
γαλίας (ιε) βιαίων συναλλαγμάτων,
ἀπόστελλε τεθραυσμένους ἐν ἀφ-
7 έσει (ις) . . . [7] . . . καὶ ἀπὸ τῶν
οἰκείων τοῦ σπέρματός σου (ιζ) οὐχ
8 ὑπερόψῃ. [8] τότε ῥαγήσεται πρώϊμον
τὸ φῶς σου, καὶ τὰ ἰάματά σου
ταχὺ ἀνατελεῖ (ιη), καὶ προπορεύ-
σεται ἔμπροσθέν σου ἡ δικαιοσύνη
σου (ιθ), καὶ ἡ δόξα τοῦ θεοῦ
9 περιστελεῖ σε (κ)· [9] . . . ἐὰν
ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον (κα)
καὶ χειροτονίαν (κβ) καὶ ῥῆμα
10 γογγυσμοῦ (κγ), [10] καὶ δῷς πεινῶντι
τὸν ἄρτον σου ἐκ ψυχῆς σου (κδ)
καὶ ψυχὴν τεταπεινωμένην ἐμπλή-
σῃς (κε), τότε ἀνατελεῖ ἐν τῷ
σκότει τὸ φῶς σου (κς), καὶ τὸ
σκότος σου ὡς μεσημβρία (κζ),

(ι) ἐν γρόνθῳ.

(ια) ἡ γὰρ νηστεία εἰρήνην ἀπαιτεῖ καὶ ταπείνωσιν, ὑμεῖς δὲ στάσεις κινεῖτε καὶ θορύβους ἐγείρετε.

(ιβ) οὐ θέλω γὰρ ἐν ὑποκρίσει καὶ σχήματι, ἀλλ' ἐν ἀληθείᾳ καὶ πράγματι ταπεινοῦσθαι τὸν ἄνθρωπον.

(ιγ) κύπτων εἰς γῆν ἐν ὑποκρίσει.

(ιδ) ἐπειδὴ τὰ ἐναντία τῶν κηρυγμάτων ἐν τοῖς ἔργοις μετέρχεσθε.

(ιε) δεσμούς.

(ις) τουτέστιν ἐλευθέρωσον οὓς διὰ βιαίων συναλλαγμάτων ἔθραυσας καὶ συνέδησας.

(ιζ) οὐ μόνον συγγενῶν, ἀλλὰ καὶ τῶν κοινωνησάντων ἡμῖν τῆς θείας διδασκαλίας· σπόρος γὰρ ὁ λόγος τοῦ θεοῦ πρὸς σωτηρίαν.

(ιη) διὰ γὰρ συμπαθείας τὰ τῆς ψυχῆς θεραπεύεται τραύματα.

(ιθ) δορυφοροῦσά σε ἐν τῷ καιρῷ τῆς κρίσεως.

(κ) σκεπάσει σε.

(κα) τοὺς ποικίλους τῆς κακίας f. 134
δεσμούς.

(κβ) χειρῶν ἀπλήστων ἔκτασιν.

(κγ) κατὰ θεοῦ καὶ κατὰ ἀνθρώπων.

(κδ) τουτέστιν ἐν ἱλαρότητι.

(κε) χορηγῶν τὰ ἐγχρῄζοντα.

(κς) ἐν πειρασμοῖς ἡ τοῦ θεοῦ βοήθεια.

(κζ) τὰ σκοτεινά σού φησι τῆς ψυχῆς ἅπερ ἐξ ἁμαρτίας ἐσκότισται, διὰ τῆς εἰς τὸν πλησίον

---

5 νηστείαν + καὶ ἡμέραν A[8]. δεκτήν + τῷ κυρίῳ A[8].

11 [11] . . . καὶ ἐμπλησθήσῃ (κη) καθ-
άπερ ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ τὰ
ὀστᾶ σου (κθ) πιανθήσεται, καὶ ἔσται
ὡς κῆπος μεθύων καὶ ὡς πηγὴ ἣν
12 μὴ ἐξέλειπεν ὕδωρ (λ)· . . . [12] καὶ
οἰκοδομηθήσονταί σου αἱ ἔρημοι
αἰώνιοι (λα), καὶ ἔσται σου τὰ
θεμέλια αἰώνια, γενεῶν γενεαῖς
ἀναστήσεις (λβ), καὶ κληθήσῃ οἰκο-
δόμος φραγμῶν (λγ), καὶ τοὺς τρί-
βους σου τοὺς ἀνὰ μέσον παύσεις (λδ).
13 [13] ἐὰν ἀποστρέψῃς τὸν πόδα σου
ἀπὸ τῶν σαββάτων (λε) τοῦ μὴ
ποιεῖν τὰ θελήματά σου (λϛ) ἐν
τῇ ἡμέρᾳ τῇ ἁγίᾳ (λζ), καλέσεις
τὰ σάββατα (λη) τρυφερὰ, ἅγια τῷ
θεῷ σου, οὐκ ἀρεῖς τὸν πόδα σου
ἐπ' ἔργῳ οὐδὲ λαλήσεις λόγον ἐν
ὀργῇ ἐκ τοῦ στόματός σου (λθ),
14 [14] καὶ ἔσῃ πεποιθὼς ἐπὶ κύριον,
καὶ ἀναβιβάσει σε ἐπὶ τὰ ἀγαθὰ
τῆς γῆς (μ) καὶ ψωμιεῖ (μα) σε
τὴν κληρονομίαν Ἰακὼβ (μβ) τοῦ
πατρός σου· τὸ γὰρ στόμα κυρίου
ἐλάλησε ταῦτα.

συμπαθείας καθάπερ ἐν μεσημβρίᾳ φωτισθήσεται.

(κη) τῶν ἀγαθῶν τοῦ μέλλοντος.

(κθ) αἱ τῆς ψυχῆς δυνάμεις.

(λ) τῷ γὰρ ἐλέῳ τοῦ θεοῦ ἡ ψυχὴ διηνεκῶς τοῦ ἐλεήμονος ἄρδεται.

(λα) ἃ γὰρ πρὸς ὀλίγον ἡ ἁμαρτία ἠρήμωσεν, οἰκοδομεῖ αἰωνίως ἡ συμπάθεια.

(λβ) δικαιοσύνην τὴν ἐκ τῆς ἐλεημοσύνης.

(λγ) ἐν τῷ τοὺς καρποὺς τῆς ψυχῆς ἀσφαλίζεσθαι.

(λδ) οὐ τολμήσουσι γὰρ διὰ σοῦ διαβαίνειν οἱ δαίμονες.

(λε) τουτέστιν ἐὰν ἐκ πονηρᾶς ὁδοῦ κωλύσῃς τὸν πόδα.

(λϛ) τὰ τῶν ἡδονῶν.

(λζ) ἐν ᾗ τοῖς ἁγίοις προσερχόμεθα· τότε γὰρ καθαρεύειν μάλιστα τῶν ἡμετέρων θελημάτων καὶ δουλεύειν τοῖς τοῦ θεοῦ ὀφείλομεν.

(λη) τὰ νοητὰ ἐν οἷς ἡ κατάπαυσις καὶ ἡ τρυφὴ καὶ ὁ ἁγιασμὸς καὶ ἡ δόξα τοῦ αἰῶνος τοῦ μέλλοντος.

(λθ) ὅλον γὰρ χρὴ σαββατίζειν τὸν ἄνθρωπον κακίας ἁπάσης ἀπεχόμενον.

(μ) τῆς νοητῆς.

(μα) χορτάσει.

(μβ) ἣν ἐν οὐρανοῖς Ἰακὼβ ἐκληρονόμησεν.

---

11 πηγὴ + ὕδατος **A**[3]. **12** ἀναστήσεις **A**[3]. **13** τῷ θεῷ σου + δεδοξασμένα καὶ δοξάστης αὐτὰ **A**[3].

59^{1-11a}. Κεφ. οη'.

Ἐξήγησις, τίνος χάριν ὁ Θεὸς τὸν Ἰσραὴλ ἀπέστραπται, καὶ ὅτι πονηρὰ μελετῶντες οὐδὲν κέρδος ἐξ αὐτῶν ἀπηνέγκαντο, ἀλλ' εἰς τὴν τύφλωσιν τῆς ἀγνοίας ἐνέπεσον.

59 1 Μὴ οὐκ ἰσχύει ἡ χεὶρ κυρίου
τοῦ σῶσαι; ἢ ἐβάρυνε τὸ οὖς αὐτοῦ
2 τοῦ μὴ εἰσακοῦσαι; [2] ἀλλὰ τὰ ἁμαρ-
τήματα ὑμῶν διιστῶσιν ἀνὰ μέσον
ὑμῶν, καὶ διὰ τὰς ἁμαρτίας ὑμῶν
ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀφ'
3 ὑμῶν τοῦ μὴ ἐλεῆσαι (α). [3] αἱ γὰρ
χεῖρες ὑμῶν μεμολυσμέναι αἵματι (β),
καὶ οἱ δάκτυλοι ὑμῶν ἐν ἁμαρ-
4 τίαις (γ) . . . [4] οὐδεὶς λαλεῖ δίκαια,
οὐδὲ ἔστι κρίσις ἀληθινή (δ)·
πεποίθασιν ἐπὶ ματαίοις (ε) καὶ
λαλοῦσι κενά, ὅτι κύουσι πόνον καὶ
5 τίκτουσιν ἀνομίαν (ϛ). [5] ᾠὰ ἀσπί-
δων ἔρρηξαν, καὶ ἱστὸν ἀράχνης
ὑφαίνουσι (ζ), καὶ ὁ μέλλων τῶν
ᾠῶν αὐτῶν φαγεῖν συντρίψας οὔριον
εὗρε καὶ ἐν αὐτῷ βασιλίσκον (η).
6 [6] ὁ ἱστὸς αὐτῶν οὐκ ἔσται εἰς ἱμά-
τιον, οὐδὲ μὴ περιβάλωνται ἀπὸ
7 τῶν ἔργων αὐτῶν (θ) . . . [7] . . . καὶ
οἱ διαλογισμοὶ αὐτῶν διαλογισμοὶ
8 ἀπὸ φόνων (ι) . . . [8] καὶ ὁδὸν

(α) τουτέστι καὶ σῶσαι ὁ Θεὸς δύναται καὶ ἀκοῦσαι εὐχομένων ἕτοιμος, ἐξ ἑκατέρων δὲ ὑπὸ τῶν ἡμετέρων ἁμαρτημάτων κωλύεται.

(β) οἵῳ δή τινι φονικὸν σκοπὸν ἔχοντι. f. 134v

(γ) ἐν πλεονεξίαις.

(δ) τουτέστι καὶ οἱ διδάσκαλοι καὶ οἱ δικασταὶ τὸν νόμον διαφθείρουσιν.

(ε) ἐπὶ δόξῃ τυχὸν ἢ δυναστείᾳ ἢ χρήμασιν.

(ϛ) τουτέστιν οἷα λογίζονται, τοιαῦτα καὶ φθέγγονται.

(ζ) σαθρὰ γὰρ τὰ τῆς κακίας ὑφάσματα.

(η) τουτέστιν ὁ κακίαν συνθεὶς ὅταν αὐτῆς τὸν καρπὸν ἐθελήσῃ φαγεῖν, ὄλεθρον οἰκεῖον εὑρίσκει· τοῦ βασιλίσκου γὰρ μετὰ τοῦ ἰοῦ καὶ τὸ βλέμμα θανάσιμον.

(θ) γυμνοῖ γὰρ ἡ κακία, οὐκ ἐνδύει τὸν ἄνθρωπον.

(ι) ἀγαθὰ γὰρ ἀπὸ κακῶν ἐλπίζουσιν.

Κεφ. οη': τὸν Ἰσραὴλ > τῷ Ἰσραὴλ C. ἐνέπεσον > ἐνέπεσαν CO Migne.
2 διαστῶσιν A. ἀνὰ μέσον ὑμῶν + καὶ ἀνὰ μέσον τοῦ θεοῦ A^{3} B.
3 μεμολυμμέναι A. 7 Hic Hes. non cum AS ἀφρόνων, sed cum B ἀπὸ φόνων legisse videtur (cf. in glossa ι ἀπὸ κακῶν!).
(θ) ἡ κακία > ἡ κία sic in F.

εἰρήνης οὐκ ἔγνωσαν (ια), καὶ οὐκ
ἔστι κρίσις ἐν ταῖς ὁδοῖς αὐτῶν· . . .
9 καὶ οὐκ οἴδασιν εἰρήνην (ιβ). ^{9} διὰ
τοῦτο ἀπέστη ἡ κρίσις (ιγ) ἀπ'
αὐτῶν, καὶ οὐ μὴ καταλάβῃ αὐ-
τοὺς (ιδ) δικαιοσύνη· ὑπομεινάντων
αὐτῶν φῶς ἐγένετο αὐτοῖς σκό-
10 τος (ιε) . . . ^{10} ψηλαφήσουσιν ὡς
τυφλοὶ τοῖχον (ις), καὶ ὡς οὐχ
ὑπαρχόντων ὀφθαλμῶν ψηλαφήσουσι,
καὶ πεσοῦνται ἐν μεσημβρίᾳ ὡς ἐν
μεσονυκτίῳ (ιζ), ὡς ἀποθνήσκοντες
11 στενάξουσιν, ^{11} ὡς ἄρκος (ιη) καὶ
ὡς περιστερὰ (ιθ) ἅμα πορεύσονται.

(ια) τουτέστι μετελθεῖν ἢ μαθεῖν οὐκ ἠθέλησαν· τὴν γὰρ τοῦ θεοῦ κρίσιν πρὸ ὀφθαλμῶν οὐκ ἔχουσιν.

(ιβ) μαθεῖν γὰρ οἱ φιλοπόλεμοι τοὺς νόμους τῆς εἰρήνης οὐ βούλονται.

(ιγ) ἡ δικαιοσύνη καὶ ἡ ἐλπὶς τῆς f. 135
κρίσεως.

(ιδ) οὐ μὴ γένηται παρ' αὐτοῖς.

(ιε) ἀγαθὰ γὰρ μάτην οἱ κακοὶ προσδέχονται.

(ις) ἐπειδὴ τὴν τοῦ θεοῦ νόμου χειραγωγίαν ἀπώλεσαν.

(ιζ) οἱ πονηροὶ γὰρ, ὅτε πέσωσιν εἰς τὸ τῆς γνώσεως φῶς, αὐτοὶ τὸ σκότος τῆς ἀγνωσίας ἔχουσιν.

(ιη) ἐπειδὴ καὶ ὁ τῶν ἀποθνησκόντων στεναγμὸς πικρὸς καὶ ὁ τῶν ἄρκων ἰσχυρός· ἑκάτερον δὲ τιμωρούμενοι πείσονται.

(ιθ) ἐν ἀνοίᾳ· ἡ περιστερὰ γὰρ ὡς ἄνους καὶ παρὰ τῷ προφήτῃ Ὠσηὲ διαβέβληται.[a]

59^{11b-21}. Κεφ. οθ'.

Προσωποποιία τοῦ προφήτου κατηγορίαν τῆς κακίας τῶν Ἰουδαίων ἔχουσα· καὶ ἀπειλὴ τῆς τοῦ θεοῦ κατ' αὐτῶν ἐκδικήσεως· καὶ πρόρρησις ἐθνῶν ἐπιστροφῆς καὶ Χριστοῦ παρουσίας καὶ διαθήκης εὐαγγελικῆς, σφραγιζομένης μὲν πνεύματι, διηνεκῶς δὲ μελετωμένης τοῖς ἔθνεσιν.

Ἀνεμείναμεν κρίσιν, καὶ οὐκ ἔστι σωτηρία (α), μακρὰν ἀφέστηκεν

(α) ἐκ προσώπου τῶν ἁμαρτωλῶν ὁ προφήτης τῶν μὴ καθαρῶς

(ιη) ἑκάτερον > ἑκάτεροι F.

[a] Os. 7^{11}.

12 ἀφ' ἡμῶν. [12] . . . καὶ τὰ ἀδικήματα
13 ἡμῶν ἔγνωμεν (β), [13] ἠσεβήσαμεν
καὶ ἐψευσάμεθα (γ), καὶ ἀπέστημεν
ἀπὸ ὄπισθεν τοῦ θεοῦ ἡμῶν (δ)·
ἐλαλήσαμεν ἄδικα καὶ ἠπειθήσαμεν,
ἐκύομεν καὶ ἐμελετήσαμεν ἀπὸ
καρδίας ἡμῶν λόγους ἀδίκους (ε),
14 [14] καὶ ἀπεστήσαμεν ὀπίσω τὴν
κρίσιν (ϛ), καὶ ἡ δικαιοσύνη μακρὰν
ἀφέστηκεν ἀφ' ἡμῶν, ὅτι καταναλώθη
ἐν ταῖς ὁδοῖς αὐτῶν ἡ ἀλήθεια (ζ)
15 . . . [15] καὶ ἡ ἀλήθεια ἦρται (η),
καὶ μετέστησαν τὴν διάνοιαν αὐτῶν
τοῦ συνιέναι (θ)· καὶ εἶδε κύριος,
καὶ οὐκ ἤρεσεν αὐτῷ, ὅτι οὐκ ἦν κρί-
16 σις (ι). [16] καὶ εἶδε καὶ οὐκ ἦν ἀνήρ,
καὶ κατενόησε, καὶ οὐκ ἦν ἀντι-
λῃψόμενος (ια), καὶ ἠμύνατο αὐτοὺς
τῷ βραχίονι αὐτοῦ καὶ τῇ ἐλεημοσύνῃ
17 αὐτοῦ ἐστηρίσατο (ιβ). [17] . . . καὶ

ἐπιστρεφόντων φθέγγεται· οὗτοι γὰρ ἐκ τῆς τοῦ θεοῦ κρίσεως ἣν ἠθέτησαν σωτηρίαν προσδέχονται.

(β) ἀλλὰ γνόντες οὐκ ἐπεστρέψαμεν.

(γ) ὑποσχόμενοι τῷ θεῷ μετανοεῖν καὶ μὴ μετανοήσαντες.

(δ) τὴν ὁδὸν τὴν ἄγουσαν πρὸς αὐτὸν καταλείψαντες.

(ε) τουτέστιν οὐκ ἀμελέτητον κακίαν, ἀλλ' ἐσκεμμένην προηγάγομεν.

(ϛ) μακρὰν αὐτὴν ἀπὸ τῶν ὀφθαλμῶν τῶν ἡμετέρων ποιήσαντες.

(ζ) μετέβαλε τὸν λόγον ὁ προφήτης ἀπὸ τοῦ οἰκείου προσώπου εἰς τὸ τῶν ἁμαρτωλῶν ὧν ἐπεὶ ψευδεῖς αἱ ὁδοὶ ἡ ἀλήθεια εἰκότως ἐν αὐταῖς ἀναλίσκεται.

(η) οὐδὲ γὰρ τὴν ἀλήθειαν μετήρχοντο.

(θ) ἀπὸ θεοῦ γὰρ ἑκόντες οἱ πονηροὶ μεταφέρουσιν ἑαυτῶν τὴν διάνοιαν τὸν νόμον αὐτοῦ συνιέναι μὴ θέλοντες.

(ι) παρὰ γὰρ τοῖς πονηροῖς οὐδὲ f. 135v
δικαιοσύνη οὐδὲ ἐλπὶς κρίσεως.

(ια) οὐκ ἦν οὐδείς φησιν ἀνδρεῖον μετερχόμενος φρόνημα· τοῦ γὰρ νόμου οὐδεὶς ἀντελαμβάνετο πρὸς κατόρθωσιν, πανδημεὶ δὲ αὐτὸν ὁ λαὸς τῶν Ἰουδαίων παρέβαινεν.

(ιβ) τουτέστι διὰ τῆς οἰκονομίας τοῦ Χριστοῦ· αὕτη γὰρ βραχίων θεοῦ διὰ τὴν σάρκωσιν, ἐλεη-

---

13 ἐψευσάμεθα + ἐν κυρίῳ A[3]. 16 αὐτοῦ post ἐλεημοσύνῃ A[3]; item Hes. ex (ιβ) legisse videtur.

(β) F om. οὐκ.

περιέθετο περικεφαλαίαν σωτηρίου ἐπὶ
τῆς κεφαλῆς (ιγ), καὶ περιεβάλετο
ἱμάτιον ἐκδικήσεως (ιδ) καὶ τὸ
18 περιβόλαιον [18] ὡς ἀνταποδώσων
ἀνταπόδοσιν ὄνειδος τοῖς ὑπ-
19 εναντίοις (ιε). [19] καὶ φοβηθήσονται
οἱ ἀπὸ δυσμῶν τὸ ὄνομα κυρίου καὶ
οἱ ἀπὸ ἀνατολῶν ἡλίου (ις) τὸ
ὄνομα τὸ ἔνδοξον· ἥξει γὰρ ὡς
ποταμὸς βίαιος ἡ ὀργὴ παρὰ κυρίου,
20 ἥξει μετὰ θυμοῦ. [20] καὶ ἥξει ἕνεκεν
Σιὼν ὁ ῥυόμενος (ιζ) καὶ ἀποστρέψει
21 ἀσεβείας ἀπὸ Ἰακὼβ (ιη), [21] καὶ
αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη,
εἶπε κύριος· τὸ πνεῦμα τὸ ἐμὸν ὅ
ἐστιν ἐπὶ σοὶ (ιθ), καὶ τὰ ῥήματα
ἃ ἔδωκα εἰς τὸ στόμα σου, οὐ μὴ
ἐκλείπῃ ἐκ τοῦ στόματός σου (κ)
καὶ ἐκ τοῦ στόματος τοῦ σπέρματός
σου καὶ ἐκ τοῦ στόματος τοῦ
σπέρματος τοῦ σπέρματός σου (κα),
εἶπε κύριος ἀπὸ τοῦ νῦν καὶ εἰς
τὸν αἰῶνα (κβ).

μοσύνῃ διὰ τὴν πρὸς ἡμᾶς συμπάθειαν ἥτις τοὺς ἀπειθεῖς ἠμύνατο, ἐστήριζε δὲ τοὺς πιστεύσαντας.

(ιγ) κεφαλὴν γὰρ τὸν πατέρα ἐκέκτητο.

(ιδ) τὴν σάρκωσιν· ἐν αὐτῇ γὰρ τὸν Ἀδὰμ ἐξεδίκησεν.

(ιε) τῷ διαβόλῳ καὶ τοῖς δαίμοσιν· ἠπάτησε γὰρ αὐτοὺς τῷ περιβολαίῳ τῆς σαρκὸς, ὥσπερ αὐτοὶ τὸν Ἀδὰμ ἐξηπάτησαν.

(ις) τουτέστι πανταχόθεν.

(ιζ) τουτέστιν ἡ μὲν ὀργὴ τοῦ θεοῦ μετὰ πολλῆς σφοδρότητος ἀπειληθήσεται, Χριστὸς δὲ παραγενόμενος τούτους ἐξ αὐτῆς διὰ τῶν μυστηρίων τῶν ἐν τῇ Σιὼν ῥύεται.

(ιη) τοῦ πιστοῦ λαοῦ οἵτινες τὴν πίστιν τοῦ Ἰακὼβ ἐζήλωσαν.

(ιθ) ὁ πατὴρ πρὸς τὸν υἱὸν λέγει διαθήκην τοῖς ἀνθρώποις δηλαδὴ δώσειν τὴν εὐαγγελικὴν ἥτις ἀπὸ τοῦ πνεύματος τοῦ ὄντος ἐν τῷ Χριστῷ προσέρχεται.

(κ) ἐκ τῶν ἀποστόλων· στόμα γὰρ οὗτοι τοῦ Χριστοῦ ὡς τὰ αὐτοῦ φθεγγόμενοι.

(κα) τῶν τοῖς ἀποστόλοις μαθητευομένων καὶ τῶν καθ' ἑκάστην γενεὰν τῷ Λόγῳ μαθητευομένων.

(κβ) τουτέστιν ὁ λόγος διηνεκὴς ἔσται καὶ αἰώνιος.

---

17 περιβόλαιον + ζήλου A^8. 18 ὑπεναντίοις + αὐτοῦ, ἄμυναν τοῖς ἐχθροῖς αὐτοῦ, ταῖς νήσοις ἀνταπόδωμα ἀνταποδώσει A^8. 19 ὄνομα + αὐτοῦ A^8. 20 A^8 add. in fine εἶπε κύριος. 21 ῥήματα + μου A^8. καὶ ἐκ τοῦ στόματος τοῦ σπέρματος τοῦ σπέρματός σου A^8, forse etiam Hes. (vide κα).

60[1–22.] Κεφ. π'.

Εὐαγγελισμὸς τῇ νέᾳ Ἱερουσαλὴμ παρουσίας Χριστοῦ καὶ συναγωγῆς ἐθνῶν καὶ ἀποστολικοῦ δρόμου καὶ τῆς ἐσομένης τῇ ἐκκλησίᾳ δόξης, φωτισμοῦ τε αἰωνίου καὶ αὐξήσεως τῆς εἰς ἀριθμὸν ἄπειρον.

60 1 Φωτίζου φωτίζου Ἱερουσαλὴμ (α)· ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα
2 κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. [2] ἰδοὺ σκότος καὶ γνόφος καλύπτει γῆν (β) ἐπ' ἔθνη (γ)· ἐπὶ σὲ φανήσεται
3 κύριος (δ), . . . [3] καὶ πορεύσονται βασιλεῖς τῷ φωτί σου (ε), καὶ ἔθνη τῇ λαμπρότητί τῆς ἀνατολῆς σου (ϛ).
4 [4] . . . ἰδοὺ ἥκασι πάντες οἱ υἱοί σου (ζ) μακρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ' ὤμων ἀρθήσονται (η).
5 [5] τότε ὄψῃ καὶ φοβηθήσῃ (θ) καὶ ἐκστήσῃ τῇ καρδίᾳ, ὅτι μεταβαλεῖ εἰς σὲ πλοῦτος θαλάσσης καὶ ἐθνῶν
6 καὶ λαῶν (ι). καὶ ἥξουσί σοι [6] ἀγέλαι καμήλων (ια) . . . πάντες ἐκ Σαβὰ (ιβ) ἥξουσι φέροντες χρυσίον, καὶ λίβανον οἴσουσι καὶ λίθον τίμιον, καὶ τὸ σωτήριον κυρίου

(α) πρὸς τὴν νέαν ὁ λόγος· ὁ Χριστὸς γὰρ αὐτῆς φῶς καὶ δόξα ὡς τῆς δόξης ὑπάρχων τῆς τοῦ πατρὸς ἀπαύγασμα.
(β) τοὺς φρονοῦντας τὰ γήϊνα. f. 136
(γ) τὰ τῇ εἰδωλολατρείᾳ ἐμμείναντα.
(δ) ὁ Λόγος ὁ τοῦ θεοῦ σαρκούμενος.
(ε) τῷ εὐαγγελικῷ λόγῳ.
(ϛ) τοῖς μυστηρίοις ἐν οἷς ἡ νέα Ἱερουσαλὴμ ἐλαμπρύνθη καὶ ἀνέτειλεν.
(ζ) οἱ ἐξ ἀπιστίας εἰς πίστιν ἐπιστρέφοντες.
(η) αἱ τῶν νεοπίστων ψυχαί· τοῖς γὰρ λόγοις τῶν διδασκάλων ὥσπερ ὤμοις βαστάζονται.
(θ) τὸν φόβον ἐμποιοῦντος τοῦ θαύματος.
(ι) τουτέστι μετενεχθήσεται πρὸς σὲ τὸ πλῆθος τῶν διὰ βαπτίσματος ἐκ περιτομῆς καὶ ἀκροβυστίας σωζομένων.
(ια) αἱ ψυχαὶ αἱ ἐκ τῶν ἀκαθάρτων ἐθνῶν ἐπιστρέφουσαι, ἐπειδήπερ τῶν ἀκαθάρτων ἡ κάμηλος.
(ιβ) διὰ τῶν μάγων· ἐκεῖθεν γὰρ ὑπάρχουσιν ὡς Ἀσσύριοι.

---

2 ἰδοὺ A[3] praem. ὅτι. ἐπὶ σὲ A[3] interpon. δὲ. 3 τῆς ἀνατολῆς Hes. (vide ϛ) cum A[3]. 5 ὄψῃ + καὶ χαρήσῃ A[3].

7 εὐαγγελιοῦνται (ιγ)· ⁷ καὶ πάντα τὰ
πρόβατα Κηδὰρ (ιδ) συναχθήσονται,
καὶ οἱ κριοὶ Ναβεὼθ ἥξουσί σοι, καὶ
ἀνενεχθήσεται δεκτὰ ἐπὶ τὸ θυσια-
στήριόν μου (ιε), καὶ ὁ οἶκος τῆς
προσευχῆς μου δοξασθήσεται (ις).
8 ⁸ τίνες οἵδε ὡς νεφέλαι πέτανται
καὶ ὡς περιστεραὶ σὺν νεοσσοῖς (ιζ);
9 ⁹ ἐμὲ αἱ νῆσοι (ιη) ὑπέμειναν, καὶ
πλοῖα Θαρσεὶς ἐν πρώτοις, ἀγαγεῖν
τὰ τέκνα σου μακρόθεν καὶ τὸν
ἄργυρον καὶ τὸν χρυσὸν μετ' αὐτῶν
διὰ τὸ ὄνομα κυρίου τὸ ἅγιον καὶ
διὰ τὸ τὸν ἅγιον τοῦ Ἰσραὴλ ἔν-
10 δοξον εἶναι (ιθ). ¹⁰ καὶ οἰκοδομή-
σουσιν ἀλλογενεῖς τὰ τείχη σου (κ),
καὶ οἱ βασιλεῖς αὐτῶν παρα-
στήσονταί σοι (κα)· διὰ γὰρ ὀργήν

(ιγ) λέγοντες «Εἴδομεν αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ».[a]

(ιδ) οἱ ἀλλογενεῖς λαοὶ περὶ ὧν ὁ κύριος «Ἔχω καὶ ἄλλα πρόβατα ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης».[b]

(ιε) συνετοὶ Ναβεὼθ ἑρμηνεύεται· οὗτοι οἱ ἐκ τῶν ἐθνῶν μάρτυρες· ὡς συνετοὶ γὰρ ὑπὲρ τοῦ Χριστοῦ θύονται ὅθεν ἡ θυσία εὐπρόσδεκτος.

(ις) ἡ ἐκκλησία· τῷ γὰρ αἵματι τῶν μαρτύρων δεδόξασται.

(ιζ) οἱ ἀπόστολοι· οὗτοι γὰρ ἐπὶ νεφελῶν εἰς ἀπάντησιν τοῦ κυρίου λαμβάνονται, οἱ αὐτοὶ δὲ καὶ ὡς περιστεραὶ σὺν νεοσσοῖς, ἐκείνοις οἵτινες δι' αὐτῶν μαθητεύονται.

(ιη) αἱ ἐκκλησίαι τὸν Χριστὸν αἳ καὶ πλοῖα ὡς ἐν ὕδατι τῷ μυστικῷ τὴν ἐργασίαν ἔχουσαι καὶ τὰ τέκνα τῆς νέας Ἱερουσαλὴμ ἐκ τῶν ἐθνῶν μετὰ χρυσίου καὶ ἀργυρίου, πίστεως δηλαδὴ καὶ ἀρετῆς, κομίζουσιν.

(ιθ) τουτέστι διὰ τὴν δόξαν τοῦ Χριστοῦ εἰς τὴν νέαν Ἱερουσαλὴμ οἱ ἐξ ἐθνῶν συνέρχονται.

(κ) ὑπὸ γὰρ τῶν ἐθνῶν ἡ νέα f. 136v
Ἱερουσαλὴμ αἰσθητῶς καὶ νοητῶς πολίζεται.

(κα) εἰς λειτουργίαν μυστικὴν καὶ προσκύνησιν.

---

7 Ναβεὼθ Hes. (vide ιε). Ναβαιὼθ ABS. 9 αἱ νῆσοι B Hes. (vide ιη). A om. αἱ. χρυσὸν + αὐτῶν A³. 10 ἀλλογενεῖς A³ praem. υἱοὶ.

---

[a] Matth. 2². [b] Io. 10¹⁶: καὶ ἄλλα πρόβατα ἔχω.

μου ἐπάταξά σε, καὶ διὰ ἔλεον
11 ἠγάπησά σε (κβ). [11] καὶ ἀνοιχθή-
σονται αἱ πύλαι σου διὰ παντός,
ἡμέρας καὶ νυκτὸς οὐ κλεισθήσον-
ται (κγ), εἰσαγαγεῖν πρὸς σὲ δύνα-
μιν ἐθνῶν καὶ βασιλεῖς ἀγομέ-
12 νους (κδ)· [12] τὰ γὰρ ἔθνη καὶ οἱ
βασιλεῖς αὐτῶν οἵτινες οὐ δουλεύ-
σουσί σοι ἀποθανοῦνται (κε), καὶ τὰ
ἔθνη (κϛ) ἐρημίᾳ ἐρημωθήσονται.
13 [13] καὶ ἡ δόξα τοῦ Λιβάνου (κζ)
πρὸς σὲ ἥξει ἐν κυπαρίσσῳ καὶ
πεύκῃ καὶ κέδρῳ ἅμα δοξάσαι τὸν
τόπον τὸν ἅγιόν μου (κη), καὶ τὸν
τόπον τῶν ποδῶν μου (κθ) δοξάσω.
14 [14] καὶ πορεύσονται πρὸς σὲ δεδοι-
κότες υἱοὶ ταπεινωσάντων σε καὶ
παροξυνάντων σε, καὶ προσκυνή-
σουσιν ἐπὶ τὰ ἴχνη τῶν ποδῶν σου
πάντες οἱ παροξύναντές σε (λ),
καὶ κληθήσῃ πόλις κυρίου Σιὼν
15 ἁγίου Ἰσραήλ (λα)· [15] διὰ τὸ γε-
γενῆσθαί σε ἐγκαταλελειμμένην (λβ)
καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοη-
θῶν (λγ)· καὶ θήσω σε ἀγαλλίαμα
αἰώνιον (λδ), εὐφροσύνην γενεῶν

(κβ) διὰ τῆς ὀργῆς ἣν τῇ ἀρχαίᾳ Ἱερουσαλὴμ ὁ Χριστὸς ἐπήγαγεν· ἡ γὰρ νέα τῆς ἀρχαίας θυγάτηρ ἣν διὰ τὸν ἔλεον τὸν πρὸς ἡμᾶς ἠγάπησεν.

(κγ) πᾶς γὰρ καιρὸς εἰς τὸ προσελθεῖν πρόσφορος τοῖς ἐξ ἐθνῶν πιστεύουσιν.

(κδ) τῇ κλήσει τοῦ Χριστοῦ.

(κε) ἐν τῷ αἰῶνι τῷ μέλλοντι.

(κϛ) τὰ μὴ δεχόμενα τῆς νέας Ἱερουσαλὴμ τὰ μυστήρια.

(κζ) ἡ τῶν ἐθνῶν προσκύνησις.

(κη) ἐπειδὴ μετὰ τῆς πίστεως καὶ τὰ αἰσθητὰ πρὸς καλλωπισμὸν τῇ νέᾳ Ἱερουσαλὴμ οἱ ἐξ ἐθνῶν προσφέρουσιν.

(κθ) τὸν Γολγοθᾶν· περὶ γὰρ αὐτοῦ Δαυὶδ «Προσκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ».[a]

(λ) οἱ τῶν Ῥωμαίων παῖδες· καιρῷ γὰρ αὐτὴν τῆς ἀπιστίας ἐταπείνωσαν, ἀλλὰ πιστεύσαντες προσεκύνησαν.

(λα) σύ φησι τῆς ἀρχαίας Σιὼν κληρονομήσεις τὸ ὄνομα.

(λβ) παρὰ τῶν Ἰουδαίων.

(λγ) ἄνθρωπος· ὡς γὰρ ἀνθρώπου μὴ βοηθοῦντος ἐκτήσατο τοῦ Χριστοῦ τὴν βοήθειαν.

(λδ) διηνεκὴ γὰρ καὶ χαροποιὰ τῆς νέας Ἱερουσαλὴμ τὰ μυστήρια.

---

10 διὰ ἔλεον B Hes. (vide κβ); + μου A³. διὰ ἔλεος A. 11 βασιλεῖς + αὐτῶν A³. 13 καὶ τὸν τόπον usque δοξάσω Hes. (vide κθ) cum A³, om. ABS. 14 καὶ προσκυνήσουσιν usque παροξύναντές σε A³, item Hes. (vide λ); om. ABS.

---

[a] Ps. 131 (132)⁷.

16 γενεαῖς. [16] καὶ θηλάσεις γάλα
ἐθνῶν (λε), καὶ πλοῦτον βασι-
17 λέων (λϛ) φάγεσαι . . . [17] καὶ
ἀντὶ χαλκοῦ οἴσω σοι χρυσίον (λζ),
ἀντὶ δὲ σιδήρου οἴσω σοι ἀργύ-
ριον (λη), ἀντὶ δὲ ξύλου οἴσω σοι
χαλκὸν, ἀντὶ δὲ λίθων σίδηρον (λθ).
καὶ δώσω τοὺς ἄρχοντάς σου ἐν
εἰρήνῃ, καὶ τοὺς ἐπισκόπους σου (μ)
18 ἐν δικαιοσύνῃ· [18] καὶ οὐκ ἀκουσθή-
σεται ἔτι ἀδικία ἐν τῇ γῇ σου (μα),
οὐδὲ σύντριμμα οὐδὲ ταλαιπωρία ἐν
τοῖς ὁρίοις σου (μβ), ἀλλὰ κληθή-
σεται σωτήριον τὰ τείχη σου (μγ),
19 καὶ αἱ πύλαι σου γλύμμα (μδ). [19] καὶ
οὐκ ἔσται σοι ὁ ἥλιος . . ., ἀλλ'
ἔσται σοι κύριος φῶς αἰώνιον (με),
20 καὶ ὁ θεὸς δόξα σου. [20] οὐ γὰρ
δύσεται ὁ ἥλιός σου (μϛ), καὶ ἡ

(λε) τουτέστι τῇ σωτηρίᾳ τῶν ἐθνῶν τραφήσῃ.

(λϛ) τὴν πίστιν· ταύτην γὰρ πλουτοῦσιν οἱ ἐν εὐσεβείᾳ βασιλεύοντες.

(λζ) ἀντὶ τοῦ νομικοῦ γράμματος — σκληρὸν γὰρ — δώσω τὸ εὐαγγελικόν — λαμπρὸν γὰρ καὶ πολύτιμον.

(λη) ἀντὶ τῶν προφητικῶν ἀπειλῶν τὴν ἀποστολικὴν παράκλησιν.

(λθ) ἀντὶ τῆς σαθρότητος τῶν f. 137
Φαρισαϊκῶν λογίων καὶ τῆς εὐτελείας τὸ τῆς ἐκκλησιαστικῆς διδασκαλίας ἰσχυρὸν καὶ δραστήριον.

(μ) τοὺς ἀποστόλους· οὗτοι γὰρ ἱερεῖς τῆς ἐκκλησίας καὶ ἄρχοντες.

(μα) ἐν τῇ πολιτείᾳ σου.

(μβ) ἐν τοῖς ἐκκλησιαστικοῖς μυστηρίοις· ἐν αὐτοῖς γὰρ ὡς ὁρίοις ὁ λαὸς ὁ πιστὸς περιέχεται.

(μγ) τὰ εὐαγγελικὰ δόγματα· ταῦτα γὰρ καὶ ἀσφάλεια τῶν πιστῶν καὶ εἰς οὐρανὸν εἴσοδος.

(μδ) ὕμνησις.

(με) ταῦτα ἔσται μὲν ἐν τῷ αἰῶνι τῷ μέλλοντι·[a] δηλοῖ δὲ καὶ τὸν τῆς εὐαγγελικῆς διαθήκης καιρὸν ἐν ᾧ τὸν Χριστὸν ἔχομεν διηνεκῶς φωτίζοντα.

(μϛ) ὁ Χριστός· ἥλιον γὰρ αὐτὸν καὶ προφῆταί φασιν ἕτεροι.[b]

---

18 γλύμμα ABSF; cod. Slav. apud Holmes-Parsons habet δόξα; Hes. in (μδ) ὕμνησις, i. e. lectionem Akylae (cf. Field, Origenis Hexaplorum quae supersunt II, 553), allegat. 19 ἔσται σοι + ἔτι A^3. ὁ θεὸς + σου A^3.

---

[a] Apoc. 21[23]. [b] Mal. 4[2] et al.

σελήνη (μζ) σοι οὐκ ἐκλείψει· ἔσται
γάρ κύριός σοι φῶς αἰώνιον, καὶ
ἀναπληρωθήσονται αἱ ἡμέραι τοῦ
21 πένθους σου (μη). [21] καὶ ὁ λαός
σου πᾶς δίκαιος, καὶ διὰ αἰῶνος
κληρονομήσουσι τὴν γῆν, φυλάσσων
τὸ φύτευμα ἔργα χειρῶν αὐτοῦ εἰς
22 δόξαν (μθ). [22] ὁ ὀλιγοστὸς ἔσται εἰς
χιλιάδας (ν), καὶ ὁ ἐλάχιστος εἰς
ἔθνος μέγα· ἐγὼ κύριος κατὰ
καιρὸν συνάξω αὐτούς (να).

(μζ) ἡ ἐκκλησία· σελήνη γὰρ διὰ τὴν πρὸς τὸν Χριστὸν συγγένειαν, τὸν ἀληθινὸν ἥλιον.

(μη) τουτέστι πρὸς ἀναλογίαν τοῦ τῆς πλάνης πένθους ἕξεις χαρὰν ἐπιστρέφουσα.

(μθ) ὁ γὰρ τῆς ἐκκλησίας λαὸς οὐκ ἔχει τὴν κληρονομίαν καθάπερ ὁ λαὸς τῶν Ἰουδαίων πρόσκαιρον, ἐπειδὴ φυλάττει πρὸς τὴν τοῦ θεοῦ δόξαν ἅπερ αὐτὸς ἐφύτευσεν εἰς ἡμετέραν σωτηρίαν μυστήρια.

(ν) ἐξ ὀλίγων γὰρ ὁ τῆς ἐκκλησίας λαὸς εἰς χιλιάδας προσέκοψεν.

(να) καθ' ἑκάστην γενεὰν τοὺς ἐκ πλάνης ἀνασωθέντας.

61¹⁻¹⁰ᵃ· Κεφ. πα'.

Προφητεία παρουσίας Χριστοῦ καὶ κηρύγματος εὐαγγελικοῦ καὶ τῆς ἐσομένης χαρᾶς τῇ Σιὼν ἐπὶ τῇ συναγωγῇ τῶν ἐθνῶν οἷς αἰώνιον διαθήκην ὁ θεὸς διατίθεται.

61 1 Πνεῦμα κυρίου ἐπ' ἐμὲ οὗ
εἵνεκεν ἔχρισέ με (α) εὐαγγελίσα-
σθαι πτωχοῖς (β) . . . κηρῦξαι αἰχμ-
αλώτοις (γ) ἄφεσιν καὶ τυφλοῖς (δ)
2 ἀνάβλεψιν, [2] καλέσαι ἐνιαυτὸν κυρίου

(α) ὁ Χριστός φησιν Ὅτιπερ ὡς Χριστὸς οὐκ ἐλαίῳ ἐχρίσθην, οὐσίᾳ δὲ θεότητος.

(β) τοῖς ἐξ ἁμαρτίας πτωχεύουσι· τοιοῦτον δὲ τὸ γένος τῶν ἀνθρώπων πρὸ τῆς Χριστοῦ παρουσίας ἐτύγχανεν.

(γ) οὓς ἔλαβον εἰς πλάνην αἰχμαλώτους οἱ δαίμονες.

(δ) τοῖς ἐν ἀγνωσίᾳ.

Κεφ. πα': τῇ Σιὼν > τῆς Σιὼν Migne. 1 ἔχρισέ με + κύριος A³.

δεκτὸν (ε) καὶ ἡμέραν ἀνταπο-
3 δόσεως (ϛ), . . . [3] δοθῆναι τοῖς
πενθοῦσι Σιὼν δόξαν ἀντὶ σποδοῦ (ζ),
ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσι (η),
καταστολὴν (θ) δόξης ἀντὶ πνεύ-
4 ματος ἀκηδίας· . . . [4] . . . καὶ
καινιοῦσι πόλεις ἐρήμους (ι),
5 ἐξηρημωμένας εἰς γενεάς. [5] καὶ
ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες
τὰ πρόβατά σου καὶ ἀλλόφυλοι
ἀροτῆρες καὶ ἀμπελουργοί (ια)·
6 [6] ὑμεῖς δὲ ἱερεῖς κυρίου κλη-
θήσεσθε (ιβ) καὶ λειτουργοὶ θεοῦ,
ἰσχὺν ἐθνῶν κατέδεσθε (ιγ), καὶ ἐπὶ
τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε.
7 [7] οὕτως ἐκ δευτέρας κληρονομήσουσι
τὴν γῆν (ιδ), καὶ εὐφροσύνη αἰώνιος

(ε) τὸν τοῦ εὐαγγελικοῦ κηρύγματος· δεκτὴ γὰρ τῶν ἀνθρώπων τότε ἡ σωτηρία ἐγένετο.

(ϛ) τὴν τοῦ σταυροῦ· ἐν αὐτῇ γὰρ ἀνταπέδωκε τὴν ἀπάτην τοῖς δαίμοσιν ἥνπερ ἡμᾶς ἠπάτησαν.

(ζ) ὅσοι γὰρ τὴν ἀρχαίαν ἐπένθουν f. 137v
Σιὼν ὡς ἐπιλεχθεῖσαν παρὰ θεοῦ καὶ πορθηθεῖσαν, τούτοις εὐφροσύνη καὶ δόξα ἐπὶ τῇ οἰκοδομῇ καὶ καταφυτεύσει καὶ τῇ μέχρις αἰῶνος συστάσει τῆς νέας Σιὼν δέδοται.

(η) μακάριοι γὰρ οἱ πενθοῦντες, ὁ Χριστὸς τοῖς ἀποστόλοις ἔλεγεν, ὅτι αὐτοὶ παρακληθήσονται.[a]

(θ) περιβόλαιον.

(ι) οἱ γὰρ ἐξ ἐθνῶν πιστεύσαντες αἰσθητῶς καὶ νοητῶς τὰς πόλεις τῆς Ἰουδαίας ἀνενέωσαν.

(ια) ἐπειδὴ πολλοὺς ἀλλοφύλους καὶ ποιμένας καὶ διδασκάλους καὶ ἱερεῖς ἡ νέα Ἱερουσαλὴμ ἔλαχεν.

(ιβ) πάντες οἱ πιστοί· χρίσμα γὰρ ἱερατικὸν οἱ βαπτιζόμενοι χρίονται.

(ιγ) τουτέστιν ἐνευφρανθήσεσθε τῇ πίστει· αὕτη γὰρ τῶν ἐπιστρεψάντων ἐθνῶν πλοῦτος ἅμα καὶ δύναμις.

(ιδ) ἐπειδὴ τὴν πρώτην κληρονομίαν διὰ τοῦ ἀρχαίου Ἀδὰμ ἐζημιώθη

2 ἀνταποδόσεως + τῷ θεῷ ἡμῶν A^3. 3 δόξαν A^3 praem. δοῦναι αὐτοῖς. 4 γενεάς + καὶ γενεάς A^3. 5 A^3 add. in fine ὑμῶν. 6 θεοῦ + ἡμῶν, ῥηθήσεται ὑμῖν A^3. 7 οὕτως A^3 praem. ἀντὶ τῆς αἰσχύνης ὑμῶν διπλᾶς καὶ ἐντροπῆς ἀγγαλλιάσονται μερὶς αὐτῶν.

[a] Matth. 5^4.

8 ὑπὲρ κεφαλῆς αὐτῶν (ιε)· [8] ἐγὼ
γάρ εἰμι κύριος ὁ ἀγαπῶν δικαιο-
σύνην καὶ μισῶν ἁρπάγματα ἐξ
ἀδικίας (ις)· καὶ δώσω τὸν μόχθον
9 αὐτῶν δικαίοις (ιζ) . . . [9] καὶ γνωσ-
θήσεται ἐν τοῖς ἔθνεσι τὸ σπέρμα
αὐτῶν (ιη), καὶ τὰ ἔκγονα αὐτῶν
10 . . . [10] καὶ ἐν εὐφροσύνῃ (ιθ)
εὐφρανθήσονται ἐπὶ κύριον.

ὁ ἄνθρωπος, δευτέραν τοῖς πιστοῖς κληρονομίαν τῆς γῆς ὁ Χριστὸς διὰ τοῦ δευτέρου ἔδωκεν.

(ιε) τῶν πιστῶν· κεφαλὴ γὰρ αὐτῶν ὁ Χριστός.

(ις) ἅπερ οἱ δαίμονες τοὺς ἀνθρώπους διήρπασαν.

(ιζ) τὴν ἐργασίαν ἣν αὐτοὶ ὑπὲρ τῆς ἀρετῆς ἐμόχθησαν τῆς οἰκείας οἱ δίκαιοι.

(ιη) τῶν γὰρ σπαρέντων τῶν λόγων τῶν σωτηρίων διὰ τῶν ἐν αὐτοῖς μαθητευθέντων ἐφανερώθη τὸ ἄνθος ἐν τοῖς ἔθνεσιν.

(ιθ) ἐν τῇ μυστικῇ κοινωνίᾳ. f. 138

61^{10b}—62^{12}· Κεφ. πβ΄.

Ἀναφώνησις εὐφροσύνης ἐκ προσώπου τοῦ πιστοῦ λαοῦ· καὶ εὐαγγελισμὸς τῆς Σιὼν τῆς ἐσομένης αὐτῇ διὰ Χριστοῦ δόξης καὶ τῆς πρὸς αὐτὸν νυμφεύσεως καὶ θείων μυστηρίων ἀπολαύσεως καὶ τῆς τοῦ λαοῦ τῶν ἐθνῶν προσαγωγῆς καὶ λυτρώσεως.

Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ
τῷ κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον
σωτηρίου καὶ χιτῶνα εὐφροσύνης (α),
ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν (β)
11 . . . [11] καὶ ὡς γῆν αὔξουσαν τὸ
ἄνθος αὐτῆς, καὶ ὡς κῆπον τὰ
σπέρματα αὐτοῦ, οὕτως ἀνατελεῖ
κύριος δικαιοσύνην (γ) . . .
62 1 Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ
διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως
ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη
μου, τὸ δὲ σωτήριόν μου ὡς λαμ-

(α) τὸ βάπτισμα· ἐξ αὐτοῦ γὰρ καὶ σωτηρία καὶ χαρὰ τοῖς πιστεύουσιν.

(β) τὸ χρίσμα τοῦ πνεύματος ὃ τοῖς κροτάφοις τῶν πιστῶν ὡς νυμφικὸς ἐπιτίθεται στέφανος.

(γ) τοῖς γὰρ διδασκαλικοῖς λόγοις αἱ ψυχαὶ τῶν πιστῶν ποτιζόμεναι καθάπερ τὰ ἄνθη τὰ τῶν κήπων προκόπτουσι, καὶ ἡ τοῦ θεοῦ δικαιοσύνη φανεροῦται ἐν αὐτοῖς ἀνατέλλουσα.

---

9 ἔκγονα αὐτῶν + ἐν μέσῳ τῶν λαῶν A^{3}. Κεφ. πβ΄: τῆς Σιὼν > τῇ Σιὼν CO. 11 αὐτοῦ + ἀνατέλλει A^{3}. κύριος alterum add. A^{3} B.
(ιη) τῶν λόγων τῶν σωτηρίων > τὸν λόγον τὸν σωτήριον F.

2 πᾶς καυθήσεται (δ). ² καὶ ὄψονται
ἔθνη τὴν δικαιοσύνην σου (ε) . . .
καὶ καλέσει σε τὸ ὄνομά σου τὸ
καινὸν ὃ ὁ κύριος ὀνομάσει αὐτό (ϛ).
3 ³ καὶ ἔσῃ στέφανος κάλλους ἐν
χειρὶ κυρίου, καὶ διάδημα βασιλείας
4 ἐν χειρὶ θεοῦ σου (ζ). ⁴ καὶ οὐκέτι
κληθήσῃ καταλελειμμένη (η), καὶ
ἡ γῆ σου οὐ κληθήσεται ἔρημος·
σοὶ γὰρ κληθήσεται θέλημα ἐμὸν (θ),
καὶ τῇ γῇ σου οἰκουμένη, ὅτι
εὐδόκησε κύριος ἐν σοί, καὶ ἡ γῆ
5 σου συνοικισθήσεται (ι). ⁵ καὶ ὡς
συνοικῶν νεανίσκος παρθένῳ, οὕτως
κατοικήσουσιν οἱ υἱοί σου μετὰ
σοῦ (ια)· καὶ ἔσται ὃν τρόπον
εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ,
οὕτως εὐφρανθήσεται κύριος ἐπὶ
6 σοί (ιβ). ⁶ καὶ ἐπὶ τῶν τειχέων
σου (ιγ), Ἱερουσαλήμ, κατέστησα
φύλακας (ιδ) ὅλην τὴν ἡμέραν καὶ
ὅλην τὴν νύκτα (ιε) οἳ διὰ
τέλους οὐ σιωπήσονται μιμνησκό-
7 μενοι κυρίου (ιϛ). ⁷ οὐκ ἔστι γὰρ
ὑμῖν ὅμοιος, ἐὰν διορθώσῃ καὶ ποιήσῃ

(δ) τουτέστιν οὐ παύσομαι κηρύττων, μέχρις ἂν πανταχοῦ λάμψῃ τῆς νέας Ἱερουσαλὴμ καὶ τῆς Σιὼν ἡ εὐπρέπεια.

(ε) ὅταν μάθωσι τὰ ἐν αὐτῇ τελεσθέντα μυστήρια.

(ϛ) ἐκκλησίαν· τοῦτο γὰρ αὐτῇ ὄνομα αὐτὸς ὁ Χριστὸς ἔθηκεν εἰπὼν τῷ Πέτρῳ «Ἐπὶ τῇ πέτρᾳ ταύτῃ οἰκοδομήσω μου τὴν ἐκκλησίαν».[a]

(ζ) τουτέστιν ἐξ αὐτῆς τῆς τοῦ θεοῦ χειρὸς τὴν βασιλείαν ἕξεις καὶ τὴν εὐπρέπειαν.

(η) διὰ γὰρ τῶν μυστηρίων ὁ Χριστὸς αὐτὴν ἐνεκαίνισε καὶ ἀχώριστον ἑαυτοῦ κατεσκεύασεν.

(θ) ἐπειδὴ ἐν αὐτῇ τὴν οἰκείαν βουλὴν ἀπεκάλυψεν.

(ι) ἐκ πάσης γὰρ πολίτας τῆς οἰκουμένης κέκτηται.

(ια) τουτέστι μετὰ τῆς ἑκατέρου, σοῦ τε καὶ αὐτῶν, χαρᾶς ἡ ἐν σοὶ τῶν ἐθνῶν κατοικία γενήσεται.

(ιβ) νύμφην γὰρ ἑαυτῷ τὴν Σιὼν καὶ δι' αὐτῆς τὴν ἐκκλησίαν ὁ Χριστὸς ἐμνηστεύσατο.

(ιγ) τῶν αἰσθητῶν καὶ τῶν νοητῶν.

(ιδ) τοὺς διὰ παντὸς τοῦ θεοῦ τὰς ἐντολὰς φυλάττοντας.

(ιε) διὰ παντός. f. 138ᵛ

(ιϛ) οἱ γὰρ ἐν Χριστῷ φιλοσοφοῦντες οὐ διαλιμπάνουσι πάντοτε τοῦ θεοῦ ἐν εὐχαῖς καὶ ψαλμοῖς μνημονεύοντες.

4 κληθήσεται + ἔτι A³. ὅτι εὐδόκησε usque συνοικισθήσεται A³ B Hes. (vide ι). 7 ABS disting. plene ὅμοιος· ἐάν; aliter Hes. (vide ιζ).

[a] Matth. 16¹⁸: ἐπὶ ταύτῃ τῇ πέτρᾳ.

Ἱερουσαλὴμ γαυρίαμα ἐπὶ τῆς
8 γῆς (ιζ). [8] ὤμοσε κύριος κατὰ τῆς
δόξης αὐτοῦ (ιη) καὶ κατὰ τῆς
ἰσχύος τοῦ βραχίονος αὐτοῦ Εἰ ἔτι
δώσω τὸν σῖτόν σου καὶ τὰ βρώματά
σου τοῖς ἐχθροῖς σου, καὶ ἔτι
πίονται υἱοὶ ἀλλότριοι τὸν οἶνόν
9 σου ἐφ' ᾧ ἐμόχθησας (ιθ), [9] ἀλλ'
οἱ συνάγοντες φάγονται αὐτὰ καὶ
αἰνέσουσι κύριον (κ), καὶ οἱ συνάγον-
τες πίονται αὐτὰ ἐν ταῖς ἐπαύλεσι
10 ταῖς ἁγίαις σου. [10] πορεύεσθε διὰ
τῶν πυλῶν μου (κα) καὶ ὁδοποιήσατε
τῷ λαῷ μου καὶ τοὺς λίθους ἐκ
τῆς ὁδοῦ διαρρίψατε (κβ), ἐξάρατε
11 σύσσημον (κγ) εἰς τὰ ἔθνη. [11] ἰδοὺ
γὰρ κύριος ἐποίησεν ἀκουστὸν (κδ)
ἕως ἐσχάτου τῆς γῆς· εἴπατε τῇ
θυγατρὶ Σιών (κε) Ἰδού σοι ὁ
σωτὴρ παραγίνεται ἔχων τὸν ἑαυτοῦ
μισθὸν καὶ τὸ ἔργον πρὸ προσ-
12 ώπου αὐτοῦ (κϛ). [12] καὶ καλέσει
αὐτὸν λαὸν ἅγιον λελυτρωμένον (κζ)
ὑπὸ κυρίου, σὺ δὲ κληθήσῃ
ἐπιζητουμένη πόλις (κη) καὶ οὐκ
ἐγκαταλελειμμένη.

(ιζ) οὐδείς φησι τῷ πιστῷ λαῷ διορθουμένης τῆς Ἱερουσαλὴμ καὶ γαυριώσης ἐν πάσῃ τῇ γῇ ὡς δι' αὐτῆς τὰ θεῖα παιδευομένης ἰσωθήσεται.

(ιη) ὁ πατὴρ κατὰ τοῦ υἱοῦ· αὐτοῦ γὰρ μεσίτου ὄντος νέαν διαθήκην Ἱερουσαλὴμ τῇ νέᾳ διατίθεται.

(ιθ) οὐκ ἔτι φησὶ συγχωρήσω τοῖς σοῖς μόχθοις ἐντρυφῆσαι τοῖς δαίμοσιν ἐν τῷ τὰς σὰς ἀρετὰς ἐσθίειν καὶ λυμαίνεσθαι.

(κ) ἕκαστός φησι τῆς ἰδίας ἀρετῆς ἀπολαύσει καὶ τὸν θεὸν ὑμνήσει τὰς ἀμοιβὰς δεχόμενος.

(κα) τῶν πρὸς τὸν θεὸν ἀγουσῶν ἐντολῶν.

(κβ) οἱ διδάσκαλοί φησι τὴν πολιτείαν καθάρατε ἔξω ταύτης ὅλα ποιοῦντες τὰ σκάνδαλα.

(κγ) τοῦ σταυροῦ τὸ βασιλικὸν σύνθημα.

(κδ) τὸ εὐαγγελικὸν κήρυγμα.

(κε) τῇ νέᾳ Σιών.

(κϛ) τὴν τῶν πεπλανημένων ἐπιστροφήν· τοῦτο γὰρ μισθὸν ὁ Χριστὸς ἡγεῖται τῆς σαρκώσεως καὶ τῆς εἰς ἀνθρώπους ἐνδημίας κατόρθωμα.

(κζ) τὸν λελυτρωμένον ἐκ πλάνης διὰ βαπτίσματος.

(κη) ἡ τῶν ἐθνῶν ἐκκλησία· εἰς ζήτησιν γὰρ αὐτῆς ὁ Χριστὸς παρεγένετο.

---

7 γαυρίαμα > ἀγαυρίαμα AS. 8 ἔτι πίονται A[8] praem. εἰ. 9 ἀλλ' οἱ > ἀλλ' ἡ A. 10 διὰ τῶν πυλῶν A[8] praem. περιέλθετε. καὶ τοὺς λίθους A[8] praem. σκευάσατε τὴν ὁδὸν καὶ ὁδοποιήσατε. τοὺς λίθους + τοὺς A. 11 μισθὸν + μετ' αὐτοῦ A[8]. τὸ ἔργον + αὐτοῦ A[8].

63$^{1-14}$. Κεφ. πγ'.

Πεῦσις περὶ τοῦ κυριακοῦ πάθους ἐκ προσώπου τῶν οὐρανίων δυνάμεων· καὶ ἀπόκρισις τοῦ Χριστοῦ ὡς τῆς σωτηρίας τῆς ἀνθρωπίνης ἕνεκα τὸ πάθος κατεδέξατο ἐφ' οἷς αὐτὸν ὁ προφήτης ὑμνεῖ, κατηγορεῖ δὲ τῶν Ἰουδαίων καὶ τῶν θαυμάτων ἀναμιμνήσκει τῶν ἔμπροσθεν.

63 1 Τίς οὗτος ὁ παραγινόμενος ἐξ
Ἐδώμ; ἐρυθήματα ἱματίων ἐκ
Βοσόρ (α); οὕτως ὡραῖος ἐν στολῇ,
βίᾳ μετὰ ἰσχύος (β); ἐγὼ διαλέγομαι
δικαιοσύνην καὶ κρίσιν σωτηρίου (γ).
2 [2] διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ
τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ
3 ληνοῦ; [3] πλήρης καταπεπατημέ-
νης, καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ
μετ' ἐμοῦ (δ), καὶ κατεπάτησα
αὐτοὺς (ε) ἐν θυμῷ, καὶ κατέθλασα
αὐτοὺς ὡς γῆν (ϛ), καὶ κατήγαγον
τὸ αἷμα αὐτῶν εἰς γῆν, καὶ πάντα
τὰ ἐνδύματά μου ἐμόλυνα (ζ).

(α) ἐρωτῶσιν αἱ ἄνω δυνάμεις περὶ τοῦ Χριστοῦ ἐκ τῆς γῆς ἀνερχομένου· Ἐδὼμ γὰρ γήϊνος ἑρμηνεύεται· τούτου ἐρυθρὰ διὰ τὰ πάθη τὰ τῆς σαρκὸς ἱμάτια.

(β) τουτέστι σφόδρα εὐπρεπὴς καὶ δυνατὸς ἐν τῇ περιβολῇ τῆς σαρκός.

(γ) ὁ Χριστὸς τοῖς ἐρωτῶσι δικαιο- f. 139
σύνην καὶ κρίσιν σώζουσαν τοὺς ἀνθρώπους ἀποκρίνεται.

(δ) αἱ τῶν οὐρανῶν δυνάμεις τὴν αἰτίαν τῶν μωλώπων παρὰ Χριστοῦ πυνθάνονται, αὐτὸς δὲ τὸν σταυρὸν λέγει· μόνος γὰρ τὸν σταυρὸν ἀγγέλου μὴ παρόντος κατώρθωσεν.

(ε) τοὺς δαίμονας· τούτους γὰρ ἐν τῷ σταυρῷ κατεπάτησε καὶ τὸ αἷμα αὐτῶν τουτέστι τὴν δύναμιν εἰς γῆν ταπεινώσας κατήγαγεν.

(ϛ) τουτέστιν εὐκόπως· τί γὰρ πηλοῦ σαθρότερον;

(ζ) ὅλῃ γὰρ τῇ σαρκὶ Χριστὸς ὑπὲρ ἡμῶν παθεῖν εὐδόκησεν.

Κεφ. πγ': τὸ πάθος om. Migne. αὐτὸν > αὐτῶν C. 1 Ἐδώμ > Ἐδέμ A. στολῇ + αὐτοῦ A^3. 2. 3 interpung. sicut Tisch., non sicut ed. rom. 3 ἐν θυμῷ + μου A^3 B. ὡς γῆν + ἐν ὀργῇ μου A^3. καὶ πάντα usque ἐμόλυνα A^3 Hes. (vide ζ); om. ABS.

4 [4] ἡμέρα γὰρ ἀνταποδόσεως ἐπῆλθεν
αὐτοῖς (η), καὶ ἐνιαυτὸς λυτρώσεως
5 πάρεστι (θ). [5] καὶ ἐπέβλεψα, καὶ
οὐδεὶς βοηθός· καὶ προσενόησα, καὶ
οὐδεὶς ἀντελαμβάνετο (ι)· καὶ
ἐρρύσατο αὐτοὺς ὁ βραχίων μου,
6 καὶ ὁ θυμός μου ἐπέστη (ια). [6] καὶ
κατεπάτησα αὐτοὺς τῇ ὀργῇ μου,
καὶ ἐμέθυσα (ιβ) αὐτοὺς ἐν θυμῷ
μου, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν
7 εἰς γῆν (ιγ). [7] τὸν ἔλεον κυρίου
ἐμνήσθην, τὰς ἀρετὰς κυρίου ἐν
πᾶσιν οἷς ὁ κύριος ἡμῖν ἀντ-
αποδίδωσι (ιδ). κύριος κριτὴς
ἀγαθὸς (ιε) τῷ οἴκῳ Ἰσραήλ, ἐπάγει
ἡμῖν κατὰ τὸ ἔλεος αὐτοῦ καὶ κατὰ
τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ.
8 [8] καὶ εἶπεν Οὐχ ὁ λαός μου; τέκνα
οὐ μὴ ἀθετήσωσι (ιϛ)· καὶ ἐγένετο
9 αὐτοῖς εἰς σωτηρίαν [9] ἐκ πάσης
θλίψεως (ιζ). οὐ πρέσβυς (ιη) οὐδὲ
ἄγγελος, ἀλλ' αὐτὸς κύριος ἔσωσεν
αὐτοὺς διὰ τὸ ἀγαπᾶν αὐτοὺς καὶ
φείδεσθαι αὐτῶν (ιθ)· καὶ αὐτὸς (κ)
ἐλυτρώσατο αὐτούς, καὶ ἀνέλαβεν
αὐτοὺς καὶ ὕψωσεν αὐτοὺς (κα)
πάσας τὰς ἡμέρας τοῦ αἰῶνος.
10 [10] αὐτοὶ δὲ (κβ) ἠπείθησαν καὶ

(η) τοῖς δαίμοσιν, ἵνα τὴν καθ' ἡμῶν ἀπάτην ἀπολάβωσιν.

(θ) τοῖς ἀνθρώποις· ἐν γὰρ τῷ ἐνιαυτῷ ἐν ᾧ δι' ἑαυτοῦ ἐκήρυξε τὸ γένος ἡμῶν ἐκ φθορᾶς ἐλυτρώσατο.

(ι) ἐπειδή φησιν οὐδεὶς ἦν ἱκανὸς ἀντιλαβέσθαι, ἐγὼ διὰ τῆς ἐμῆς ἀντελαβόμην σαρκὸς καὶ ἠμυνάμην ὑπὲρ αὐτῶν τοὺς δαίμονας.

(ια) κατὰ τῶν ἀπατησάντων τὸν ἄνθρωπον.

(ιβ) ἐκάρωσα καὶ ἐσκότωσα.

(ιγ) πᾶσαν αὐτῶν ταπεινώσας τὴν δύναμιν.

(ιδ) ὁ προφήτης ἀναμνησθῆναί φησιν ἐκ τῆς περὶ τοῦ πάθους προφητείας τὴν περὶ ἡμᾶς συμπάθειαν τοῦ θεοῦ καὶ τὰ ἐν αὐτῇ θαύματα.

(ιε) ἐπειδὴ τὸν ἄνθρωπον ὡς ἀπατηθέντα σώζει, κατακρίνει δὲ τὸν διάβολον ὡς ἀπατήσαντα.

(ιϛ) ὁ Χριστὸς τοὺς υἱοθετουμένους αὐτῷ διὰ πίστεως μηκέτι τὰς πρὸς αὐτὸν συνθήκας ἀθετεῖν ἐπαγγέλλεται.

(ιζ) ἐξ ὅλων αὐτοὺς τῶν διαβολικῶν παγίδων ῥυσάμενος.

(ιη) οὐ προφήτης· ὑπὲρ ἡμῶν γὰρ f. 139v
πρὸς τὸν θεὸν πρεσβεύουσιν.

(ιθ) τὸ γὰρ πάθος ἰσχυρὸν ὑπῆρχε τὸ ἡμέτερον.

(κ) ὁ Χριστὸς διὰ σταυροῦ καὶ ἀναστάσεως.

(κα) διὰ τῆς εἰς οὐρανὸν ἀναλήψεως.

(κβ) οἱ τῶν Ἰουδαίων παῖδες.

---

6 καὶ ἐμέθυσα αὐτοὺς ἐν θυμῷ μου **A**[s] **Hes.** (vide ιβ). 8 **A interpung.** ὁ λαός μου τέκνα· καὶ οὐ μή; **Hes. sicut B.** 9 θλίψεως + αὐτῶν **A**[s] **B.** πρέσβυς **B**; πρέσβεις **A.**

παρώξυναν τὸ πνεῦμα τὸ ἅγιον (κγ), καὶ ἐστράφη αὐτοῖς εἰς ἔχθραν, καὶ αὐτὸς ἐπολέμησεν αὐτούς (κδ).
11 [11] καὶ ἐμνήσθη ἡμερῶν αἰωνίων Μωυσῆ (κε) λαοῦ αὐτοῦ· ποῦ ὁ ἀναβιβάσας ἐκ τῆς θαλάσσης τὸν ποιμένα τῶν προβάτων (κϛ); ποῦ ἔστιν ὁ θεὶς ἐν αὐτοῖς τὸ πνεῦμα
12 τὸ ἅγιον; [12] ὁ ἀγαγὼν τῇ δεξιᾷ Μωυσῆν ὁ βραχίων τῆς δόξης αὐτοῦ (κζ); κατίσχυσεν (κη) ὕδωρ ἀπὸ προσώπου αὐτοῦ ποιῆσαι ἑαυτῷ
14 ὄνομα αἰώνιον (κθ) . . . [14] . . . καὶ κατέβη πνεῦμα παρὰ κυρίου καὶ ὡδήγησεν αὐτούς (λ)· οὕτως ἤγαγες τὸν λαόν σου (λα) ποιῆσαι σεαυτῷ ὄνομα δόξης.

(κγ) ἐν τῷ διαβάλλειν τὸ ἐν αὐτῷ ἅγιον πνεῦμα καὶ λέγειν Ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια.[a]
(κδ) διὰ τῆς τοῦ ναοῦ πορθήσεως.
(κε) ἐν αἷς παρώξυναν τὸν θεὸν ὑπὸ Μωυσῆ ποιμαινόμενοι.
(κϛ) τουτέστιν οὐκ ἐμνήσθησαν, τίς ἀπὸ τῆς Ἐρυθρᾶς Μωυσέα καὶ τὸν λαὸν ἀνήγαγεν.
(κζ) συμμαχίαν αὐτοῖς τοῦ ἁγίου πνεύματος χαρισάμενος, ἵνα διηνεκῶς δοξάζηται.
(κη) ἔρρηξεν.
(κθ) εἰς ἑαυτοῦ γὰρ δόξαν ὁ θεὸς ἐπετέλει τὰ τηλικαῦτα θαύματα.
(λ) πνεύματι γὰρ ἁγίῳ δυναμωθεὶς ὁ Μωυσῆς τὸν Ἰσραὴλ ὡδήγησεν.
(λα) ὁ προφήτης πρὸς τὸν θεόν φησιν Ὥσπερ τότε τὸν Ἰσραὴλ ἔσωσας, οὕτω νῦν αὐτῷ χορήγησον ἐξ οὐρανοῦ συμπάθειαν.

63[15]—64[12]. Κεφ. πδ'.

Ἔντευξις τοῦ προφήτου πρὸς τὸν θεὸν ὑπὲρ τοῦ Ἰσραὴλ ὡς παροφθέντος διὰ τὴν πρόσκρουσιν καὶ τὰς ἁμαρτίας ἔτι μᾶλλον πλεονάσαντος· καὶ ἱκετηρία μὴ μέχρι τέλους παρασιωπῆσαι τὸν θεόν, ἀλλὰ τὸν ἑαυτοῦ λαὸν καὶ τὴν Ἱερουσαλὴμ ἐπισκέψασθαι.

15 [15] Ἐπίστρεψον ἐκ τοῦ οὐρανοῦ καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου (α) καὶ δόξης· . . . ποῦ ἐστι

(α) ἐκ τοῦ ναοῦ τῆς σαρκός· ναὸν γὰρ τὴν ἑαυτοῦ σάρκα ὁ Χριστὸς προσηγόρευσεν.[b]

10 τὸ ἅγιον + αὐτοῦ A[3]. ed. rom. disting. ἐπολέμησεν αὐτοὺς, καὶ, plene post αἰωνίων. 11 Μωυσῆ λαοῦ αὐτοῦ A[3] Hes. (vide κε). ποῦ prius A[3] B ὁ ἀναβιβάσας > ὁ ἀναγαγὼν F; forse et Hes. (vide κϛ). ἐκ τῆς θαλάσσης > ἐκ τῆς γῆς A; ἐκ γῆς S; Hes. sicut B (vide κϛ). προβάτων + αὐτοῦ A[3].
12 Μωσῆν A. ἑαυτῷ > αὐτῷ A. Κεφ. πδ': ἐπισκέψασθαι > ἐπισκέψασθε O.
15 δόξης + σου A[3].

[a] Luc. 11[15]. [b] Io. 2[19].

τὸ πλῆθος τοῦ ἐλέους σου καὶ
οἰκτιρμῶν σου, ὅτι ἀνέσχου ἡμῶν (β);
16 [16] σὺ γὰρ ἡμῶν εἶ πατὴρ, ὅτι
Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ
οὐκ ἐπέγνω ἡμᾶς· ἀλλὰ σὺ κύριε
πατὴρ ἡμῶν (γ), ῥῦσαι ἡμᾶς, ἀπ'
ἀρχῆς (δ) τὸ ὄνομά σού ἐστιν ἐν
17 ἡμῖν. [17] τί ἐπλάνησας ἡμᾶς (ε)
κύριε ἀπὸ τῆς ὁδοῦ σου; ἐσκλήρυ-
νας ἡμῶν τὰς καρδίας τοῦ μὴ φο-
βεῖσθαί σε (ς); ἐπίστρεψον διὰ τοὺς
δούλους σου (ζ), διὰ τὰς φυλὰς τῆς
18 κληρονομίας σου (η), [18] ἵνα μικρὸν
κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου
σου (θ)· οἱ ὑπενάντιοι ἡμῶν κατ-
19 επάτησαν τὸ ἁγίασμά μου· [19] ἐγενό-
μεθα ὡς τὸ ἀπ' ἀρχῆς (ι) . . .
64 1 Ἐὰν ἀνοίξῃς τὸν οὐρανὸν, τρό-
μος λήψεται ἀπὸ σοῦ ὄρη (ια),
2 καὶ τακήσονται, [2] . . . καὶ κατακαύσει
πῦρ (ιβ) τοὺς ὑπεναντίους, καὶ φα-
νερὸν ἔσται τὸ ὄνομα κυρίου ἐν τοῖς
ὑπεναντίοις (ιγ)· ἀπὸ προσώπου σου
3 ἔθνη (ιδ) ταραχθήσονται, [3] ὅταν
ποιῇς τὰ ἔνδοξα (ιε)· τρόμος λήψεται
4 ἀπὸ σοῦ ὄρη. [4] ἀπὸ τοῦ αἰῶνος
οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ
ἡμῶν εἶδον θεὸν πλὴν σοῦ (ις)
καὶ τὰ ἔργα σου (ιζ) ἃ ποιήσεις
5 τοῖς ὑπομένουσιν ἔλεον. [5] συν-

(β) τουτέστιν ὅτι τοσοῦτον πλανωμένοις ἐνέδωκας.

(γ) τουτέστιν εἰ καὶ οἱ πατριάρχαι διὰ τὸ πλῆθος ἡμᾶς τῆς κακίας ἠρνήσαντο, ἀλλὰ σὺ πατὴρ μένεις διὰ τὴν συμπάθειαν.

(δ) ἀφ' οὗπερ ἑαυτῷ τὸν λαὸν ἐπ- f. 140
ελέξατο.

(ε) τουτέστι διὰ τί πλανηθῆναι συνεχώρησας;

(ς) μὴ μαστίξας τοσαῦτα ὅσων ἡμεῖς ἐχρήζομεν.

(ζ) τοὺς προφήτας.

(η) διὰ τοὺς πατριάρχας ἐξ ὧν αἱ φυλαὶ τὴν καταγωγὴν ἔχουσιν.

(θ) οἱ ἐκ περιτομῆς ἐν τῇ ἐκκλησίᾳ· ἡ γὰρ μείζων μοῖρα τοῖς ἔθνεσιν ὡς προλαβοῦσα ἐν τῇ χάριτι δέδοται.

(ι) ὥσπερ ἦμεν ἐν πλάνῃ, πρὶν τὸν νόμον κτησώμεθα.

(ια) μετὰ τῶν αἰσθητῶν τὰ νοητὰ τουτέστιν οἱ δαίμονες.

(ιβ) ἡ τοῦ πνεύματος ἐνέργεια.

(ιγ) φευγόντων τῶν ἐχθρῶν καὶ μὴ τολμώντων ἀνθίστασθαι.

(ιδ) τὰ τῇ ἀσεβείᾳ ἐπιμένοντα.

(ιε) τὰ τοῦ σταυροῦ θαύματα.

(ις) εἰ γὰρ καὶ ἄλλους ἠκούσαμεν θεοὺς ψευδεῖς, ἀλλ' οὐκ ἀληθινὸν ὡς σὲ θεὸν καὶ δημιουργὸν καὶ συμπαθῆ διὰ τῶν ἔργων εἴδομέν τε καὶ ἔγνωμεν.

(ιζ) τὰ διὰ τῆς οἰκονομίας τῆς ἐν τῇ σαρκὶ θαύματα ὧν τὸ ἔλεος

---

2 ὑπεναντίοις + σου A^{3}. 4 θεὸν πλὴν σοῦ om. A.

αντήσεται γὰρ ἔλεος τοῖς ποιοῦσι τὸ
δίκαιον, καὶ τῶν ὁδῶν σου μνησ-
θήσονται. ἰδοὺ σὺ ὠργίσθης, καὶ
ἡμεῖς ἡμάρτομεν· διὰ τοῦτο ἐπλα-
6 νήθημεν (ιη), [6] καὶ ἐγενήθημεν ὡς
ἀκάθαρτοι (ιθ) πάντες ἡμεῖς, ὡς
ῥάκος ἀποκαθημένης (κ) πᾶσα ἡ
δικαιοσύνη ἡμῶν· καὶ ἐξερρύημεν
ὡς φύλλα διὰ τὰς ἀνομίας ἡμῶν·
οὕτως ἄνεμος οἴσει ἡμᾶς (κα).
7 [7] καὶ οὐκ ἔστιν ὁ ἐπικαλούμενος
τὸ ὄνομά σου καὶ ὁ μνησθεὶς
ἀντιλαβέσθαι σου (κβ) . . . καὶ
παρέδωκας (κγ) ἡμᾶς διὰ τὰς ἁμαρ-
8 τίας ἡμῶν. [8] καὶ νῦν κύριε πατὴρ
ἡμῶν σὺ, ἡμεῖς δὲ πηλὸς (κδ),
9 ἔργον τῶν χειρῶν σου πάντες. [9] μὴ
ὀργίζου ἡμῖν σφόδρα (κε), καὶ μὴ
ἐν καιρῷ (κϛ) μνησθῇς ἁμαρτιῶν
ἡμῶν· καὶ νῦν ἐπίβλεψον (κζ), ὅτι
10 λαός σου πάντες ἡμεῖς. [10] πόλις
τοῦ ἁγίου σου ἐγενήθη ἔρημος, Σιὼν
ὡς ἔρημος ἐγενήθη (κη), Ἱερου-
11 σαλὴμ εἰς κατάραν [11] ὁ οἶκος τὸ
12 ἅγιον ἡμῶν (κθ) . . . [12] καὶ ἐπὶ
πᾶσι τούτοις ἀνέσχου (λ) κύριε
καὶ ἐσιώπησας, καὶ ἐταπείνωσας
ἡμᾶς σφόδρα.

συναντᾶται τοῖς δικαιοπραγοῦσι καὶ διὰ πίστεως τὸν θεὸν ὑπομένουσιν.

(ιη) ἀποστροφὴ γὰρ θεοῦ ἐπὶ πλέον ἁμαρτεῖν καὶ πλανηθῆναι παρασκευάζει τὸν ἄνθρωπον.

(ιθ) ὡς οἱ δαίμονες· τὰ γὰρ τῶν δαιμόνων μετήλθομεν.

(κ) ἡ γὰρ δοκοῦσα φιλοσοφία τῶν ἐν πλάνῃ ῥάκος ἀκάθαρτον τῆς ἀπῳκισμένης ἀπὸ θεοῦ ἀσεβείας ἐτύγχανεν.

(κα) ἡ συστροφὴ τῆς τῶν δαιμόνων f. 140v
ἀπάτης τοὺς πλανωμένους ὧδε κἀκεῖσε ῥιπίζουσα.

(κβ) κατορθῶσαι τὰς ἐντολάς σου.

(κγ) παραδοθῆναι συνεχώρησας.

(κδ) τουτέστιν εἰ καὶ ἐκ πηλοῦ τὸν ἄνθρωπον ἐποίησας, ἀλλ᾽ εἰκόνα τὴν σὴν ἔδωκας καὶ πατὴρ ἡμῶν διὰ τοῦτο καθέστηκας.

(κε) τουτέστι διηνεκῶς.

(κϛ) ἐν ᾧ συμπαθείας καὶ συγχωρήσεως χρῄζομεν.

(κζ) κατανόησον.

(κη) τουτέστιν οὐδὲν ἐρήμη τῆς μηδέποτε πολισθείσης διενήνοχεν.

(κθ) ἐπικατάρατός φησιν ὁ ναὸς ἐν ᾧ τοῦ Ἰσραὴλ ὑπῆρχε τὸ ἁγίασμα.

(λ) τουτέστιν ἐπέμεινας παιδεύων.

---

5 ἔλεος A^3 Hes. (vide ιζ). 6 ὡς ῥάκος A^3 praem. καὶ. φύλλα + πάντες ἡμεῖς A^3. 8 πηλὸς + καὶ σὺ πλάστης ἡμῶν A^3. πάντες + ἡμεῖς A^3. 9 ὀργίζου ἡμῖν + κύριε ἕως A^3. 9 et 10 coniung. A; non item Hes. 10 et 11 coniung. Hes. cum A (vide κθ). 12 σφόδρα A^3 praem. ἕως.

(κ) ῥάκος alterum κ suprascript. in F.

65$^{1-7}$. Κεφ. πε'.

Ὑπόσχεσις Χριστοῦ τοῖς ἔθνεσιν αὐτὸν ἐμφανισθήσεσθαι· καὶ ἀπειλὴ κατὰ τῶν Ἰουδαίων ὡς ἀπειθησάντων ἐν τῷ σταυρῷ καὶ εἰδώλοις μὲν δουλευσάντων, ἑαυτοὺς δὲ δικαιούντων ὑπὲρ ὧν αὐτοῖς ἀποδώσειν τὰς ἁμαρτίας ἠπείλησεν.

65 1 Ἐμφανὴς ἐγενόμην (α) τοῖς
ἐμὲ μὴ ζητοῦσιν· εὑρέθην τοῖς ἐμὲ
μὴ ἐπερωτῶσιν (β)· εἶπα Ἰδοὺ
εἰμι τῷ ἔθνει οἵτινες οὐκ ἐκάλεσαν
2 τὸ ὄνομά μου (γ). [2] ἐξεπέτασα τὰς
χεῖράς μου (δ) ὅλην τὴν ἡμέραν
πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντι-
λέγοντα (ε) οἳ οὐκ ἐπορεύθησαν ὁδῷ
ἀληθινῇ, ἀλλ' ὀπίσω τῶν ἁμαρτιῶν
3 αὐτῶν (ϛ). [3] ὁ λαὸς οὗτος ὁ παρ-
οξύνων με ἐναντίον ἐμοῦ διὰ παντός (ζ)·
αὐτοὶ θυσιάζουσιν ἐν τοῖς κήποις καὶ
θυμιῶσιν ἐπὶ ταῖς πλίνθοις (η) τοῖς
4 δαιμονίοις ἃ οὐκ ἔστιν (θ), [4] καὶ ἐν
τοῖς μνήμασι καὶ ἐν τοῖς σπηλαίοις
κοιμῶνται δι' ἐνύπνια (ι) ἔσθοντες
κρέα ὕεια καὶ ζωμὸν θυσιῶν (ια), . . .
5 [5] οἱ λέγοντες (ιβ) Πόρρω ἀπ' ἐμοῦ,
μὴ ἐγγίσῃς μου, ὅτι καθαρός εἰμι·

(α) ἀπόκρισις τοῦ θεοῦ πρὸς τὸν προφήτην δηλοῦσα τῆς οἰκονομίας τοῦ Χριστοῦ τὸ μυστήριον.

(β) τοῖς ἔθνεσιν· οὐδὲ γὰρ πρότερον αὐτὸν πολυπραγμονοῦντες διὰ τὸ μηδὲ νόμον ἔχειν μηδὲ προφήτας ἐτύγχανον.

(γ) οὐδὲ γὰρ τοῦ θεοῦ τὸ ὄνομα οἱ ἐκ τῶν ἐθνῶν ᾔδεισαν.

(δ) ἐν τῷ σταυρῷ.

(ε) τὸν Ἰουδαϊκόν.

(ϛ) κατὰ γὰρ τὸν σκοπὸν τῶν οἰκείων ἁμαρτημάτων ὥδευον.

(ζ) τουτέστιν οἱ ἐπὶ τῇ κακίᾳ παρρησιαζόμενοι.

(η) ἐν τοῖς πλινθίνοις εἰδώλοις.

(θ) τουτέστιν ἅπερ ἰσχὺν οὐ κέκτηνται.

(ι) τοὺς τὰς νεκρομαντίας ἐπι- f. 141
τελοῦντας αἰνίττεται δαιμόνων ἐπιστασίας φανταζομένους.

(ια) τουτέστιν οἱ τοῦ νόμου καὶ τὸ γράμμα συγχέοντες καὶ μετὰ τῶν ἀνόμων θυσιῶν ἐσθίοντες ὅσα τοῦ νόμου τὸ γράμμα ἀπηγόρευσεν.

(ιβ) τοὺς ὑποκριτὰς καὶ ὑπερηφάνους αἰνίττεται.

Κεφ. πε': κατὰ τῶν > κατῶν sic C. 1 Ἰδού εἰμι dupl. A^{3}. 2 in fine interpungo sicut Tisch., non sicut ed. rom. 3 θυσιάζουσιν > θυμιάζουσιν A. ἔστιν > ἔσται A.

οὗτος καπνὸς τοῦ θυμοῦ μου, πῦρ
καίεται ἐν αὐτῷ (ιγ) πάσας τὰς
6 ἡμέρας (ιδ). [6] ἰδοὺ γέγραπται
ἐνώπιόν μου Οὐ σιωπήσομαι (ιε)
ἕως ἂν ἀποδῶ εἰς τὸν κόλπον
7 αὐτῶν (ις) [7] τὰς ἁμαρτίας αὐτῶν
καὶ τῶν πατέρων αὐτῶν (ιζ), λέγει
κύριος· οἳ ἐθυμίασαν ἐπὶ τῶν
ὀρέων (ιη) καὶ ἐπὶ τῶν βουνῶν
ὠνείδισάν (ιθ) με, ἀποδώσω τὰ ἔργα
αὐτῶν εἰς τὸν κόλπον αὐτῶν (κ).

(ιγ) τουτέστιν ὁ σφοδρὸς θυμὸς ὥστε μὴ λανθάνειν καθάπερ τὸ πῦρ ἐξ οὗ καπνὸς ἀναδίδοται.
(ιδ) διηνεκὴς γὰρ ὁ κατὰ τῶν ὑποκριτῶν τε καὶ ὑπερηφάνων θυμὸς καὶ ἀληθάργητος.
(ιε) οὐ παύσομαι.
(ις) τῶν Ἰουδαίων τῶν νῦν.
(ιζ) ἐπειδὴ τὴν κακίαν τῶν προγόνων ἐζήλωσαν.
(ιη) τὸν νόμον παραβάντες ἐν τῷ ναῷ μόνῳ προσφέρειν θυμίαμα τῷ θεῷ καὶ θυσίαν κελεύοντα.
(ιθ) ἐφαύλισαν τοῖς εἰδώλοις θύοντες.
(κ) τουτέστι πρότερον τὴν ἀρχαίαν Ἱερουσαλὴμ τιμωροῦμαι καὶ τότε τὴν νέαν ἐγείρω.

65⁸⁻²⁵. Κεφ. πς'.

Ἀπόφασις θεοῦ τὸν Ἰσραὴλ μὴ εἰς τέλος φθαρήσεσθαι, ἀλλὰ τοὺς ἀπειθοῦντας ἀπολεῖσθαι, τοὺς δουλεύοντας δὲ θεῷ καὶ μυστηρίων ἀπολαύσειν καὶ ὀνόματος καινοῦ τεύξεσθαι, καὶ τῷ λαῷ τῆς νέας Ἱερουσαλὴμ ἀρετῶν ἔσεσθαι τελειότητα καὶ τῶν πόνων τῶν οἰκείων ἀπόλαυσιν.

8 [8] Οὕτως λέγει κύριος Ὃν τρόπον
εὑρεθήσεται ὁ ῥὼξ ἐν τῷ βότρυϊ . . .,
οὕτως ποιήσω ἕνεκεν τοῦ δουλεύοντός
μοι, τούτου ἕνεκεν οὐ μὴ ἀπολέσω
9 πάντας (α). [9] καὶ ἐξάξω τὸ ἐξ
Ἰακὼβ σπέρμα καὶ τὸ ἐξ Ἰούδα,
καὶ κληρονομήσει τὸ ὄρος τὸ ἅγιόν
10 μου (β) . . . [10] καὶ ἔσονται ἐν τῷ

(α) ἕνεκέν φησι τῶν ἀποστόλων καὶ τῶν ἄλλων τῶν ἐκ περιτομῆς πιστευσάντων κληρονομίαν ἐκ μέρους τῷ Ἰσραὴλ ἐν τῇ νέᾳ Ἱερουσαλὴμ καὶ τῇ ἐκκλησίᾳ χαρίζομαι.
(β) τὸν Γολγοθᾶν καὶ τὸ θυσιαστήριον.

7 πατέρων αὐτῶν + ἐπὶ τὸ αὐτὸ A⁸. CO Migne. τῷ λαῷ > τῷ ναῷ Migne. Κεφ. πς': ἀπολαύσειν > ἀπόλαυσιν 8 οὕτως A⁸ praem. ὅτι.

δρυμῷ (γ) ἐπαύλεις ποιμνίων, καὶ
φάραγξ Ἀχὼρ (δ) εἰς ἀνάπαυσιν
βουκολίων (ε) τῷ λαῷ μου οἳ
11 ἐζήτησάν με. [11] ὑμεῖς δὲ οἱ ἐγ-
12 καταλείποντές με . . ., [12] ἐγὼ παρα-
δώσω ὑμᾶς εἰς μάχαιραν, πάντες
ἐν σφαγῇ πεσεῖσθε· ὅτι ἐκάλεσα
ὑμᾶς καὶ οὐχ ὑπηκούσατε (ϛ)
. . . καὶ ἐποιήσατε τὸ πονηρὸν
ἐναντίον ἐμοῦ (ζ) καὶ ἃ οὐκ
13 ἐβουλόμην ἐξελέξασθε (η). [13] διὰ
τοῦτο τάδε λέγει κύριος Ἰδοὺ οἱ
δουλεύοντές μοι φάγονται (θ),
ὑμεῖς δὲ (ι) πεινάσετε· ἰδοὺ οἱ
δουλεύοντές μοι πίονται, ὑμεῖς δὲ (ια)
διψήσετε· ἰδοὺ οἱ δουλεύοντές μοι
εὐφρανθήσονται (ιβ), ὑμεῖς δὲ
14 αἰσχυνθήσεσθε (ιγ)· [14] ἰδοὺ οἱ
δουλεύοντές μοι ἀγαλλιάσονται ἐν
εὐφροσύνῃ, ὑμεῖς δὲ κεκράξεσθε διὰ
τὸν πόνον τῆς καρδίας ὑμῶν (ιδ),
καὶ ἀπὸ συντριβῆς πνεύματος
15 ὀλολύξετε (ιε). [15] καταλείψετε γὰρ
τὸ ὄνομα ὑμῶν εἰς πλησμονὴν τοῖς
ἐκλεκτοῖς μου (ιϛ), ὑμᾶς δὲ ἀνελεῖ
κύριος· τοῖς δὲ δουλεύουσιν αὐτῷ
16 κληθήσεται ὄνομα καινὸν (ιζ) [16] ὃ
εὐλογηθήσεται (ιη) ἐπὶ τῆς γῆς·
εὐλογήσουσι γὰρ τὸν θεὸν τὸν
ἀληθινὸν (ιθ), καὶ οἱ ὀμνύοντες ἐπὶ
τῆς γῆς ὀμοῦνται τὸν θεὸν τὸν

(γ) ἐν τῷ συστήματι τῶν ἐθνῶν· δρυμὸς γὰρ διὰ τὴν ἔμπροσθεν ἀκαρπίαν ἐτύγχανεν.

(δ) ἡ ἐκκλησία· χωρίον γὰρ τῶν διὰ μετανοίας ἐπιστρεφόντων· Ἀχὼρ γὰρ ἐπιστροφὴ ἑρμηνεύεται.

(ε) τῶν τὸν θεῖον ἀγρὸν ἐργαζομένων καὶ πενομένων.

(ϛ) διαβάλλει τοὺς Ἰουδαίους ὡς εἰδώλοις δουλεύοντας καὶ τιμωρεῖσθαι μέλλοντας, ὅτι κληθέντες εἰς μετάνοιαν οὐχ ὑπήκουσαν.

(ζ) τουτέστιν ἀναιδῶς καὶ τολμηρῶς. f. 141v

(η) τὰς σκιὰς γὰρ τοῦ νόμου ἐξελέξαντο ἀφέντες τὴν ἀλήθειαν.

(θ) τοὺς ἐξ ἐθνῶν πιστοὺς αἰνίττεται τοὺς ἐσθίοντας τοῦ Χριστοῦ τὰ μυστήρια.

(ι) οἱ τὸν ἄρτον τῆς ζωῆς παραιτησάμενοι.

(ια) οἱ τὸ μυστικὸν ποτήριον ἀρνησάμενοι.

(ιβ) τὴν εὐφροσύνην τοῦ πνεύματος.

(ιγ) ἀπόβλητοι τῶν μυστηρίων γενόμενοι.

(ιδ) ὃν παραζηλοῦντες τὰ ἀγαθὰ τῶν ἐθνῶν ὑπομενοῦσιν.

(ιε) συντριβὴν γὰρ τῆς ψυχῆς ἡ λύπη καὶ παρὰ τοῖς πονηροῖς ἐργάζεται.

(ιϛ) τουτέστι παραχωρήσετε τὸ καύχημα ὑμῶν διηνεκῶς τοῖς ἐξ ἐθνῶν πιστεύουσιν.

(ιζ) τὸ τοῦ Χριστοῦ.

(ιη) πλεονάσει καὶ δοξασθήσεται.

(ιθ) τὸ τῆς τριάδος μυστήριον.

---

13 διψήσετε > διψήσεσθαι A. 14 καρδίας + ὑμῶν A[3]. 15 κύριος· τοῖς; ed. rom. interpung. κύριος, τοῖς. κύριος + ὁ θεός A[3].

ἀληθινόν (κ). ἐπιλήσονται γὰρ τὴν
θλῖψιν αὐτῶν τὴν πρώτην (κα), καὶ
οὐκ ἀναβήσεται αὐτῶν ἐπὶ τὴν
17 καρδίαν. 17 ἔσται γὰρ ὁ οὐρανὸς και-
νὸς (κβ) καὶ ἡ γῆ καινὴ (κγ), καὶ
οὐ μὴ μνησθῶσι τῶν προτέρων (κδ),
οὐδ' οὐ μὴ ἐπέλθῃ αὐτῶν ἐπὶ τὴν
18 καρδίαν, 18 ἀλλ' εὐφροσύνην καὶ
ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ (κε)·
ἰδοὺ ἐγὼ ποιῶ Ἱερουσαλὴμ
ἀγαλλίαμα καὶ τὸν λαόν μου (κϛ)
19 εὐφροσύνην. 19 καὶ ἀγαλλιάσομαι ἐπὶ
Ἱερουσαλὴμ (κζ), καὶ εὐφρανθήσομαι
ἐπὶ τῷ λαῷ μου (κη)· καὶ οὐκέτι
μὴ ἀκουσθῇ ἐν αὐτῇ φωνὴ κλαυθμοῦ
20 οὐδὲ φωνὴ κραυγῆς (κθ), 20 καὶ οὐ
μὴ γένηται ἐκεῖ ἄωρος (λ) καὶ
πρεσβύτης ὃς οὐκ ἐμπλήσει τὸν
χρόνον αὐτοῦ (λα)· ἔσται γὰρ ὁ νέος
ἑκατὸν ἐτῶν (λβ), ὁ δὲ ἀποθνήσκων
ἁμαρτωλὸς ἑκατὸν ἐτῶν, καὶ
21 ἐπικατάρατός ἐστιν (λγ). 21 . . . καὶ
καταφυτεύσουσιν ἀμπελῶνας καὶ αὐτοὶ
φάγονται τὰ γεννήματα αὐτῶν (λδ)·
22 22 . . . καὶ οὐ μὴ φυτεύσουσι, καὶ
ἄλλοι φάγονται (λε)· κατὰ γὰρ τὰς
ἡμέρας τοῦ ξύλου τῆς ζωῆς (λϛ)

(κ) τουτέστιν οἱ πρὸς ἀλλήλους συνθήκας συνθέμενοι μεσῖτιν ἐν ταῖς συνθήκαις τὴν ἁγίαν τριάδα παρέξουσιν.

(κα) τὰ τῶν εἰδώλων ὀνόματα.

(κβ) καινῶν ἐξ αὐτοῦ μυστηρίων φερομένων.

(κγ) καινιζομένης ἐν αὐτῇ τῆς πολιτείας.

(κδ) τῆς ἀρχαίας πλάνης.

(κε) ἐν τῇ κτίσει διὰ τὰ ἐπιτελούμενα θαύματα.

(κϛ) τὸν πιστόν.

(κζ) ἐν τοῖς μυστηρίοις τοῖς ἐν αὐτῇ τελουμένοις.

(κη) ἐπὶ τῇ σωτηρίᾳ τοῦ λαοῦ.

(κθ) οἷα ἐν τῇ ἀρχαίᾳ Ἱερουσαλὴμ συνεχῶς διὰ τὴν κακίαν τῶν κατοικούντων ἠκούετο.

(λ) ἀτελὴς τὴν πολιτείαν. f. 142

(λα) τουτέστιν οὐδεὶς τῶν τῷ βίῳ προβεβηκότων ἀτελῆ τὴν ἑαυτοῦ φιλοσοφίαν καταλείψει.

(λβ) ὁ διὰ λουτροῦ ἀναγεννώμενος φιλοσοφίαν τελείαν πιστευθήσεται.

(λγ) ὁ ἐν τελείᾳ φιλοσοφίᾳ γεγονὼς, εἶτα παραβὰς ὑπὸ κατάραν ὡς ἀποθνήσκων τῆς ἁμαρτίας τὸν θάνατον.

(λδ) τουτέστι τὸν καρπὸν τῶν οἰκείων ἀρετῶν τελεσφορήσουσιν.

(λε) τῶν γὰρ ἀτελῶς τὴν ἀρετὴν μετιόντων ἁρπάζουσι τὴν κτῆσιν καὶ τοὺς καρποὺς οἱ δαίμονες.

(λϛ) τουτέστι κατὰ τὸν καιρὸν τῆς τοῦ Χριστοῦ παρουσίας ὅστις τὴν

---

18 αὐτῇ + ὅσα ἐγὼ κτίζω A^{8}. ἰδοὺ ἐγὼ A^{8} B praem. ὅτι. Ἱερουσαλὴμ A^{8} praem. τήν. 20 γένηται + ἔτι A^{8} B. ἄωρος + ἡμέραις A^{8}. ὁ νέος + υἱὸς A^{8}. ἁμάρτωλος + υἱός A^{8}. ἐπικατάρατος + ἔσται A^{8}.

ἔσονται αἱ ἡμέραι τοῦ λαοῦ
μου· τὰ ἔργα τῶν πόνων αὐτῶν
23 παλαιώσουσιν (λζ). [23] οἱ δὲ ἐκλεκτοί
μου οὐ κοπιάσουσιν εἰς κενὸν, οὐδὲ
τέκνα ποιήσουσιν εἰς κατάραν (λη),
ὅτι σπέρμα εὐλογημένον ὑπὸ τοῦ
θεοῦ ἐστι, καὶ τὰ ἔκγονα αὐτῶν μετ'
24 αὐτῶν ἔσονται (λθ). [24] . . . ἔτι
λαλούντων αὐτῶν ἐρῶ Τί ἐστι (μ);
25 [25] τότε λύκοι καὶ ἄρνες βοσκηθήσονται
ἅμα (μα), καὶ λέων ὡς βοῦς
φάγεται ἄχυρα (μβ), ὄφις δὲ γῆν
ὡς ἄρτον (μγ)· οὐκ ἀδικήσουσιν (μδ),
οὐδὲ μὴ λυμανοῦνται ἐπὶ τῷ ὄρει
τῷ ἁγίῳ μου, λέγει κύριος.

τελείαν ἀρετὴν ἐν ἀνθρώποις πολιτευσάμενος ἔδειξεν.

(λζ) τουτέστι ταῖς οἰκείαις ἀρεταῖς ἐγγηράσουσιν.

(λη) τοῦτο γὰρ οἱ ὑποκριταὶ πάσχουσιν εἰκῇ τὰς ἀρετὰς καὶ μετὰ κατάρας ἐργαζόμενοι, ἐπειδὴ ἀνθρώποις ἀρέσαι, οὐχὶ δὲ θεῷ βούλονται.

(λθ) ἔκγονοι γὰρ τῶν εὐλογηθέντων παρὰ Χριστοῦ ἀποστόλων οἱ τῆς ἐκείνων πολιτείας διάδοχοι.

(μ) τουτέστι χωρὶς ἀναβολῆς αὐτοῖς χορηγῶ τὴν βοήθειαν.

(μα) οἱ ἐκ πλεονεξίας ἐπιστρέψαντες μετὰ τῶν ἀσκουμένων τὴν ἐπιείκειαν ἄνωθεν τὰ θεῖα θηλάσουσιν.

(μβ) ὅ ποτε ἁρπακτικὸς καὶ ὠμοβόρος τὴν ἁπλοδίαιτον τῶν δικαίων διώξεται τράπεζαν.

(μγ) ὅ ποτε δολερὸς ἕξει καὶ αὐτὸς ἰοῦ τὴν τροφὴν καθαρεύουσαν.

(μδ) οὐδὲ γὰρ οἱ ἐξ ἁμαρτωλῶν ἐπιστρέφοντες βλάβης γίνονται τοῖς ἐν τῇ ἐκκλησίᾳ πρόξενοι.

66^{1-14}. Κεφ. πζ'.

Ἀπόφασις θεοῦ οἴκους αἰσθητοὺς μὴ ἐκλέγεσθαι μηδὲ ταῖς ἐξ ἀδικίας θυσίαις ἀρέσκεσθαι· καὶ παραίνεσις τοῖς πιστοῖς ἀνεξικακίαν πρὸς τοὺς ἐχθροὺς ἐνδείκνυσθαι· καὶ πρόρρησις τοῦ τεχθησομένου λαοῦ τῇ νέᾳ Σιών· καὶ προσφώνησις εὐφροσύνης ἐπὶ τοῖς ἀγαθοῖς ἃ τῇ νέᾳ Ἱερουσαλὴμ εὐτρεπίζεται.

66 1· Οὕτως λέγει κύριος Ὁ οὐρανός
2 μοι θρόνος . . . [2] . . . καὶ ἐπὶ τίνα

22 τὰ ἔργα A[3] B interpon. γάρ. Κεφ. πζ': ἀδικίας > ἀδικίαις O. τῇ νέᾳ Σιών > τὴν νέαν Σιών O. εὐφροσύνης dupl. O.

ἐπιβλέψω ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν
καὶ ἡσύχιον καὶ τρέμοντα τοὺς
3 λόγους μου (α); ³ ὁ δὲ ἄνομος ὁ
θύων μοι μόσχον (β) ὡς ὁ ἀπο-
κτέννων κύνα (γ) . . . ὁ διδοὺς
λίβανον εἰς μνημόσυνον ὡς βλάσ-
φημος (δ). καὶ οὗτοι ἐξελέξαντο τὰς
ὁδοὺς αὐτῶν καὶ τὰ βδελύγματα
αὐτῶν ἃ ἡ ψυχὴ αὐτῶν ἠθέλησε,
4 ⁴ κἀγὼ ἐκλέξομαι τὰ ἐμπαίγματα
αὐτῶν, καὶ τὰς ἁμαρτίας αὐτῶν
ἀνταποδώσω αὐτοῖς (ε)· ὅτι ἐκάλεσα
αὐτοὺς (ϛ), καὶ οὐχ ὑπήκουσάν
μου, ἐλάλησα (ζ), καὶ οὐκ ἤκουσαν
καὶ ἐποίησαν τὸ πονηρὸν ἐναντίον
μου (η), καὶ ἃ οὐκ ἐβουλόμην
5 ἐξελέξαντο. ⁵ ἀκούσατε τὸ ῥῆμα
κυρίου οἱ τρέμοντες τὸν λόγον
αὐτοῦ (θ) Εἴπατε ἀδελφοὶ ἡμῶν
τοῖς μισοῦσιν ἡμᾶς καὶ βδελυσσομέ-
νοις, ἵνα τὸ ὄνομα κυρίου δοξασθῇ
καὶ ὀφθῇ ἐν τῇ εὐφροσύνῃ αὐτῶν (ι),
6 κἀκεῖνοι (ια) αἰσχυνθήσονται. ⁶ φωνὴ
κραυγῆς ἐκ πόλεως (ιβ), φωνὴ ἐκ
ναοῦ (ιγ), φωνὴ κυρίου ἀνταπο-
διδόντος (ιδ) ἀνταπόδοσιν τοῖς ἀντι-

(α) τουτέστιν ὁ πάσῃ τῇ κτίσει μὴ χωρούμενος ἐν τοῖς ταπεινοῖς οἰκεῖν καὶ ἡσυχίοις καὶ τὴν εὐλάβειαν ἀσκουμένοις ἀρέσκεται.

(β) τὸν ἐξ ἁρπαγῆς. f. 142 v

(γ) ἐπειδὴ χερσὶ βεβήλοις προσφέρει, καὶ τὸ θυμίαμα μεμόλυνται.

(δ) ἐπειδὴ τολμᾷ θεῷ προσφέρειν καὶ ὑβρίζει διὰ τῆς τοῦ νόμου παραβάσεως.

(ε) τουτέστιν ὥσπερ τὰ ἀρέσκοντα αὐτοῖς τῶν ἀρεσκόντων τῷ θεῷ προετίμησαν, οὕτως ἐν τῷ κρίνειν καταλείψω τὴν ἐμαυτοῦ συμπάθειαν καὶ προβαλοῦμαι τὰς ἁμαρτίας ἐν αἷς τῷ θεῷ ἐμπαίζειν ἐλογίσαντο.

(ϛ) εἰς μετάνοιαν.

(ζ) διὰ τῆς εὐαγγελικῆς χάριτος.

(η) τουτέστιν οὐ μόνον τῇ γνώσει τῆς θεότητος, ἀλλὰ καὶ τοῖς ὀφθαλμοῖς ὁρῶντος τῆς σαρκός.

(θ) πᾶσι τὴν ἀνεξικακίαν πρὸς τοὺς δοκοῦντας ἐχθροὺς παραινεῖ, τοῖς πιστοῖς πρὸς Ἰουδαίους μάλιστα.

(ι) τῶν προβαλλομένων τὴν τοῦ θεοῦ χρηστότητα.

(ια) οἱ καλούμενοι καὶ μὴ ὑπακούοντες.

(ιβ) τῆς Ἱερουσαλὴμ πορθουμένης.

(ιγ) τοῦ Ἰουδαϊκοῦ πυρπολουμένου ναοῦ.

(ιδ) τοῦ Χριστοῦ ἀποδιδόντος ὅσα τοῖς Ἰουδαίοις ἠπείλησεν.

---

3 μόσχον + ὡς ὁ τύπτων ἄνδρα· καὶ ὁ θυσιάζων ἐκ ποιμνίου A³.

7 κειμένοις. [7] πρὶν ἢ τὴν ὠδίνουσαν
τεκεῖν (ιε), πρὶν ἢ ἐλθεῖν τὸν πόνον
τῶν ὠδίνων (ις) ἐξέφυγε καὶ ἔτεκεν
8 ἄρσεν. [8] τίς ἤκουσε τοιοῦτο, καὶ τίς
ἑώρακεν οὕτως, εἰ ὤδινε γῆ ἐν μιᾷ
ἡμέρᾳ (ιζ), εἰ ἐτέχθη ἔθνος εἰς
ἅπαξ, ὅτι ὤδινε καὶ ἔτεκε Σιὼν τὰ
9 παιδία αὐτῆς (ιη); [9] . . . καὶ οὐχ
ἐμνήσθης μου, εἶπε κύριος. οὐχ
ἰδοὺ ἐγὼ γεννῶσαν καὶ στεῖραν ἐποί-
10 ησα (ιθ); εἶπεν ὁ θεός· [10] εὐφράν-
θητι Ἱερουσαλὴμ (κ), καὶ πανηγυ-
ρίσατε ἐν αὐτῇ πάντες οἱ ἀγαπῶντες
αὐτὴν (κα), χάρητε ἅμα αὐτῇ χαρᾷ
11 πάντες ὅσοι πενθεῖτε ἐπ' αὐτῇ, [11] ἵνα
θηλάσητε καὶ ἐμπλησθῆτε ἀπὸ
μαστοῦ παρακλήσεως αὐτῆς (κβ), ἵνα
ἐκθηλάσαντες τρυφήσητε ἀπὸ εἰσόδου
12 δόξης αὐτῆς. [12] ὅτι τάδε λέγει
κύριος Ἰδοὺ ἐγὼ ἐκκλίνω εἰς
αὐτοὺς (κγ) ὡς ποταμὸς εἰρήνης,

(ιε) τὴν συναγωγήν· ὤδινε γὰρ ἀρετὴν διὰ τὸν νόμον, ἀλλὰ διὰ τὴν οἰκείαν ἀνομίαν οὐκ ἔτικτεν.

(ις) τῆς θεοτόκου παρθένου καὶ τῆς ἐκκλησίας· ἑκατέρα γὰρ τοὺς πόνους τῶν ὠδίνων ἐξέφυγε καὶ ἄρσενα, ἡ μὲν τὸν Χριστόν, ἡ δὲ τὸν λαὸν τῶν χριστιανῶν ἔτεκεν.

(ιζ) χρόνῳ γὰρ πολλῷ ἡ γῆ ὠδίνει τὰ σπέρματα.

(ιη) οὐδὲ γὰρ ἀθρόον, ἀλλὰ χρόνῳ πολλῷ καὶ ἐκ πολλῶν γενεῶν διαδοχῆς συνίσταται πᾶν ἔθνος, Σιὼν δὲ ἐν ἡμέρᾳ μιᾷ ἐν ᾗ παρέδωκεν ὁ Χριστὸς τὰ μυστήρια τὸν πιστὸν λαὸν ἔτεκεν.

(ιθ) πρὸς τὴν συναγωγὴν ὁ λόγος· οὐδὲ γὰρ ἐμνήσθη τοῦ Χριστοῦ τοιαῦτα θαυματουργοῦντος καὶ αὐτὴν μὲν στεῖραν, γεννῶσαν δὲ τὴν ἐκκλησίαν ποιήσαντος.

(κ) τῇ νέᾳ. f. 143

(κα) οἱ ἀξίως τῆς ἀγάπης αὐτῆς πολιτευόμενοι.

(κβ) τουτέστιν οἱ διὰ τὴν Ἰουδαϊκὴν συκοφαντίαν πρὸς ὀλίγον ἐπὶ τῇ νέᾳ Ἱερουσαλὴμ στυγνάσαντες, τῆς ἐξ αὐτῆς χαρᾶς διηνεκῶς ἀπολαύσατε ἥτις ἐκ τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως ὡς ἐκ μαστῶν προέρχεται.

(κγ) προστίθεμαι αὐτοῖς.

---

6 A[8] add. in fine αὐτῷ. 8 οὕτως, εἰ disting. ed. rom.; οὕτως; εἰ Tisch. 9 A[8] B add. in fine σου. 10 εὐφράνθητι + ἅμα A[8]. πανυγυρίσατε πάντες οἱ ἐνοικοῦντες ἐν αὐτῇ, χάρητε χαρὰν πάντες οἱ πενθεῖτε ἐπ' αὐτῆς A; Hes. sicut B (vide κα et κβ). ἀγαπῶντες αὐτὴν + καὶ οἱ κατοικοῦντες αὐτὴν A[8]. χάρητε + ἅμα αὐτῇ A[8] B.

καὶ ὡς χειμάρρους ἐπικλύζων δόξαν
ἐθνῶν (κδ)· τὰ παιδία αὐτῶν ἐπ'
ὤμων ἀρθήσονται καὶ ἐπὶ γονάτων
13 παρακληθήσονται (κε). [13] ὡς εἴ τινα
μήτηρ παρακαλέσει, ὅτι οὕτως καὶ
14 ἐγὼ παρακαλέσω ὑμᾶς, . . . [14] καὶ
ὄψεσθε, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὰ ὀστᾶ ὑμῶν ὡς βοτάνη ἀνατελεῖ (κς)· καὶ γνωσθήσεται ἡ χεὶρ κυρίου (κζ) τοῖς σεβομένοις αὐτὸν, καὶ ἀπειλήσει τοῖς ἀπειθοῦσιν (κη).

(κδ) ἐπιφέρω γὰρ δόξαν δι' ἧς ἡ τῶν ἐθνῶν ἔμπροσθεν ἀδοξία μετὰ τῆς τῶν Ἰουδαίων ἀπιστίας ἐπικλύζεται.

(κε) οἱ γὰρ ἐκ πλάνης ἐπιστρέφοντες ἐν τοῖς ὤμοις βαστάζονται τοῦ Χριστοῦ τοῦ βαστάσαντος τὸ πλανώμενον πρόβατον[a] καὶ ἐν τῇ εὐαγγελικῇ διδασκαλίᾳ ὡς ἐν γόνασι μητρῴοις παρακληθήσονται.

(κς) αἱ τῆς ψυχῆς δυνάμεις τοῖς ὕδασι τοῖς μυστικοῖς ἀρδόμεναι.

(κζ) ἡ ἐν τοῖς σημείοις καὶ τοῖς θαύμασιν.

(κη) τοῖς Ἰουδαίοις τὴν ἅλωσιν.

66 15—24. Κεφ. πη'.

Προφητεία δευτέρας Χριστοῦ παρουσίας καὶ ἀπωλείας τῶν ἀσεβῶν· καὶ πρόρρησις τῆς τῶν ἐθνῶν μετὰ δόξης εἰς τὴν νέαν Ἱερουσαλὴμ συνόδου καὶ τῆς διὰ Χριστοῦ καινῆς κτίσεως· καὶ ὅπως τὰ κακὰ τοῦ λαοῦ τῶν Ἰουδαίων τοῖς ἔθνεσιν εἰς θεωρίαν προκείσεται.

15 [15] Ἰδοὺ γὰρ κύριος ὡς πῦρ (α)
ἥξει, καὶ ὡς καταιγὶς τὰ ἅρματα
αὐτοῦ (β), ἀποδοῦναι ἐν θυμῷ ἐκ-
δίκησιν (γ) καὶ ἀποσκορακισμὸν (δ)
16 ἐν φλογὶ πυρός. [16] ἐν γὰρ τῷ πυρὶ
κυρίου (ε) καταναλωθήσεται πᾶσα ἡ γῆ, καὶ ἐν τῇ ῥομφαίᾳ αὐτοῦ (ς)

(α) ἐν φόβῳ καὶ ἐν φωτί.

(β) αἱ δορυφοροῦσαι τῶν ἀγγέλων δυνάμεις καὶ προτρέχουσαι.

(γ) τιμωρίαν.

(δ) ὄλεθρον.

(ε) τῷ τὰ κρυπτὰ φανεροῦντι καὶ πᾶσαν πρᾶξιν πυροῦντι καὶ δοκιμάζοντι.

(ς) ἐν τῷ λόγῳ περὶ οὗ ὁ θεῖος Παῦλός φησι «Ζῶν γὰρ ὁ λόγος

13 μήτηρ + αὐτοῦ A[3]. 14 ὄψεσθε > ὄψεται A. Κεφ. πη': in C deest numerus capituli. τὰ κακὰ τοῦ λαοῦ > τὰ κατὰ τοῦ λαοῦ CV Migne (vide infra glossam ις). 15 ἐκδίκησιν + αὐτοῦ A[3] B, item post ἀποσκορακισμὸν.

[a] Luc. 15[5].

17 πᾶσα σάρξ· . . . [17] οἱ ἁγνιζόμενοι καὶ
καθαριζόμενοι εἰς τοὺς κήπους (ζ),
καὶ ἐν τοῖς προθύροις ἔσθοντες κρέα
ὕειον . . . καταναλωθήσονται, εἶπε
18 κύριος. [18] κἀγὼ τὰ ἔργα αὐτῶν
καὶ τὸν λογισμὸν αὐτῶν ἔρχομαι
συναγαγεῖν (η) πάντα τὰ ἔθνη καὶ
τὰς γλώσσας, καὶ ἥξουσι καὶ ὄψονται
19 τὴν δόξαν μου. [19] καὶ καταλείψω
ἐπ' αὐτῶν σημεῖον, καὶ ἐξαποστελῶ
ἐξ αὐτῶν σεσωσμένους εἰς τὰ ἔθνη
. . . καὶ εἰς τὰς νήσους τὰς
πόρρω (θ), . . . καὶ ἀναγγελοῦσί μου
20 τὴν δόξαν ἐν τοῖς ἔθνεσι (ι), [20] καὶ
ἄξουσι τοὺς ἀδελφοὺς ὑμῶν ἐκ
πάντων τῶν ἐθνῶν δῶρον κυρίῳ μεθ'
ἵππων καὶ ἁρμάτων ἐν λαμπίναις
ἡμιόνων μετὰ σκιαδίων (ια) εἰς
τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ, εἶπε
κύριος, ὡς ἀνενέγκαισαν οἱ υἱοὶ
ἐμοὶ Ἰσραὴλ τὰς θυσίας αὐτῶν
μετὰ ψαλμῶν εἰς τὸν οἶκον κυρίου.
21 [21] καὶ ἀπ' αὐτῶν λήψομαι ἐμαυτῷ
22 ἱερεῖς καὶ Λευίτας, εἶπε κύριος. [22] ὃν

τοῦ θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον».[a]

(ζ) οἱ μετὰ τὸ ἁγιασθῆναι τοῖς μυστηρίοις τοῦ θεοῦ τοῖς ἐπικαταράτοις καθαρμοῖς εἰς τὰ ἄλση τῶν εἰδώλων τελούμενοι.

(η) τουτέστι παντὸς γένους ἀνθρώπων καὶ τὰς πράξεις καὶ τοὺς λογισμοὺς εἰς ἐξέτασιν ἐν τῷ καιρῷ συνάγω τῆς κρίσεως.

(θ) περὶ τῶν εἰς τὴν νέαν Ἱερου- f. 143v
σαλὴμ προσκυνεῖν ἐρχομένων ἡ πρόρρησις οἷς σημεῖον μὲν προσκυνήσεως ὁ σταυρὸς καταλέλειπται, ἐξ αὐτῶν δὲ σεσωσμένοι τουτέστι τὴν σωτηρίαν ἐν ἑαυτοῖς κομίζοντες εἰς τὰ ἔθνη, τὰ πόρρω μάλιστα, πέμπονται.

(ι) διὰ τῶν σημείων αὐτὴν τῆς θεοφανείας καταξιωθέντες θεάσασθαι.

(ια) τοῦ Ἰσραὴλ ἀδελφοὶ οἱ ἐξ ἐθνῶν πιστεύσαντες· ἀδελφοὶ γὰρ πρότερον διὰ τὴν φύσιν, ὕστερον δὲ τὴν κλῆσιν γεγόνασιν· οὗτοι μετὰ τῶν ἀποστολικῶν ἔρχονται λογίων — ἅρματα γὰρ καὶ ἵπποι οἱ ἀπόστολοι καὶ καθ' ἕνα καὶ κατὰ συζυγίας τὴν γῆν μὲν περινοστήσαντες — καὶ

---

18 Hes. (vide η) cum A inter αὐτῶν et ἔρχομαι non distinguit; at B Tisch.: αὐτῶν· ἔρχομαι. 19 σημεῖον B Hes. (vide θ); σημεῖα A.
20 λαμπίναις Hes. in glossa (ια), a λάμπειν deducens; λαμπήναις ABS et alii codd.; η et ι saepissime in codd. confunduntur; ceterum consulas Stephani Thesaurum graecae linguae s. v. λαμπήνη.

---

[a] Hebr. 4[12].

τρόπον γὰρ ὁ οὐρανὸς καινὸς καὶ
ἡ γῆ καινὴ (ιβ) ἃ ἐγὼ ποιῶ μένει
ἐνώπιόν μου, λέγει κύριος, οὕτως
στήσεται τὸ σπέρμα ὑμῶν καὶ τὸ
23 ὄνομα ὑμῶν (ιγ). [23] καὶ ἔσται μὴν
ἐκ μηνὸς καὶ σάββατον ἐκ σαββά-
του (ιδ) ἥξει πᾶσα σὰρξ ἐνώπιόν
μου προσκυνῆσαι ἐν Ἱερουσαλὴμ (ιε),
24 εἶπε κύριος. [24] καὶ ἐξελεύσονται (ις)
καὶ ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων
τῶν παραβεβηκότων ἐν ἐμοί· ὁ γὰρ
σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ
πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ
ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί.

ἐν ταῖς βίβλοις τῶν προφητῶν· ἡμίονοι γὰρ ὡς παρὰ Ἰουδαίοις προφητεύσαντες καὶ πιστευθέντες ἐν ἔθνεσι· λαμπῖναι δὲ αὐτῶν αἱ βίβλοι, ἐπειδήπερ ἐξ αὐτῶν ἔλαμψαν τοῦ Χριστοῦ τὰ μυστήρια· ἥξουσι δὲ καὶ μετὰ σκιαδίων, τῶν νομικῶν ἐντολῶν· σκιὰν γὰρ εἶχεν ὁ νόμος, καθὰ τῷ Παύλῳ λέλεκται.[a]

(ιβ) «εἴ τις γὰρ ἐν Χριστῷ καινὴ κτίσις», ὁ Παῦλός φησιν.[b]

(ιγ) καινὸς γὰρ λαὸς καὶ μηδέποτε παλαιούμενος ὁ ἐξ ἐθνῶν πιστεύσας ἔσπαρται τῷ θεῷ καὶ πεπλήθυνται.

(ιδ) τουτέστι διὰ παντός.

(ιε) τῇ νέᾳ.

(ις) εἰς τὴν ἀρχαίαν Ἱερουσαλὴμ τῶν Ἰουδαίων· ἐν γὰρ τῇ ἐρημώσει τοῦ ναοῦ καὶ τῆς πόλεως ἡ τοῦ ἀρχαίου λαοῦ διαφθορὰ δείκνυται.

---

23 μὴν > μῆνα A. A om. in fine κύριος. 24 in A legitur subscriptio: Ἡσαΐας προφήτης.

---

[a] Hebr. 10^{1}. [b] II Cor. 5^{17}.

Corrigenda et addenda.

pag. 1 glossa (γ) post οἱ ἐκ περιτομῆς adde δίκαιοι.
16 in calce delendum est «24 Ἰσραὴλ praem. ἁγίου A[3]».
17 in adnot. Matth. pro Mat.
18 κεφ. θ′ lege κηρῦξαι pro κηρύξαι.
23 versic. 22 litteras οβύτυρον transponas in βούτυρον.
23 glossa (κγ) εἰδωλολατρείαν pro εἰδωλολατρίαν itemque aliquoties.
24 glossa (κθ) signum distinctionis (·) inter κατορθούμεναι et ἄκαρποι deleatur.
24 glossa (λα) delendum est γὰρ.
24 glossa (α) inter χάριτι et καινὸν deleatur comma.
35 glossae (δ) addas in adnot. «Iud. 7».
40 cap. 13 versic. 2 Ἐπ' ὄρους pro ἐπ' ὄρους.
46 versic. 21 πόλεων pro πολέμων ponas (ABS leg. πολέμων, Ἀ. Σ. Θ. vero πόλεων Field II, 457).
80 glossa (ιζ) Ἀβραὰμ pro Ἀβραὰμ itemque pag. 83 gl. (ιη); pag. 90 versic. 22.
86 in adnot. legendum est «non imperativus, sed indicativus».
95 glossa (κζ) ἀφέδρου pro ἐφέδρου.
96 versic. 25 inseras (λε) post μετεώρου.
111 κεφ. νβ′ bis Σεναχηρεὶμ pro Σενναχηρεὶμ.
126 glossa (β) εὐδόκησε pro εὐδόκησα.
133 versic. 14 ἐν πλοίοις pro ἐν κλοιοῖς (e glossa ξδ coll. glossis ad 11^{14}. 60^{9} colligo Hes. lectionem B, non A prae se habuisse).
147 linea transversa inferior removeatur.
156 glossa (η) τὴν pro την.
169 glossa (ιγ) Μωυσαϊκοῦ pro Μωσαϊκοῦ.

Index nominum et rerum.






3 2044 023 411 275

